4 τραύματι V 6 φέρουσα *i. e.* λαβοῦσα τούτῳ V 7 φύρουσα] φέρουσα A [τῷ τραύματι] *seclusi* 8 ὑγεία *forma uolgaris* 9 γε *om.* BV 11 ἀφηρείτω V 12 ἀναλαβοῦσα? 16 κατὰ ἠκάζειν (γ supra) A 18 παρεκάλει] precatus est, optauit, ηὔχετο *cf. p.* 35 B. *extr.* καθ' ἑαυτὸν] ἦλθε αὐτὸν A 19 ἐπιθείσει V 21 ἐκκαθάραι V (AB) Boiss. 23 πάθει V 24 ζητήσῃς (D) *ne scribatur prohibet* εὑρήσεις 24 *inepte!*

πών, προσέθηκε τοῖς αὐτοῦ λόγοις καὶ τοῦτο, ὡς „τῶν γυναικῶν τοὺς δόλους, ὦ βασιλεῦ, πολλοὺς καὶ ποικίλους εἶναι ἀκήκοα, ἐξ ὧν ἕνα τρόπον κακίας γυναικὸς παρατίθημι εἰς διήγησιν. γυνή τις ἦν, ἔχουσα φίλον κατ' ἔρωτα, ὃς καὶ ὑπῆρχεν εἷς τῶν τοῦ βασιλέως στρατιωτῶν. ἔτυχε γοῦν τὸ κατ' ἐκεῖνο καιροῦ τὸν στρατιώτην πέμψαι τὸν δοῦλον αὐτοῦ πρὸς τὴν ἐρωμένην καὶ πυθέσθαι αὐτῇ [ἤτοι ἐρωτῆσαι] εἰ καιρὸς ἁρμόδιός ἐστιν, ἀπόντος τοῦ ἀνδρὸς αὐτῆς, τὸν κύριον τούτου παραγενέσθαι. ὅτε
p.30 B. καὶ ἡ ἀσελγὴς γυνὴ ἐρασθεῖσα τοῦ δούλου εἰς μῖξιν τοῦτον ἐλθεῖν κατηνάγκασε. τούτου οὖν γενομένου καὶ τοῦ δούλου χρονίζοντος ἀπελθεῖν πρὸς τὸν κύριον αὐτοῦ καὶ ἀπαγγεῖλαι τί γέγονεν, ὁ κύριος παρεγένετο πρὸς ζήτησιν τοῦ δούλου. ἡ δὲ γυνὴ αἰσθομένη τοῦτο, λέγει τῷ δούλῳ· „εἴσελθε σὺ εἰς τὸ ἐσώτερον οἴκημα.“ καὶ τούτου γενομένου, ὁ κύριος τοῦ δούλου ἐλθὼν πρὸς αὐτὴν συνεμίγνυτο. οὕτως οὖν ἐκείνων συμφθειρομένων καὶ τοῦ δούλου ἔσω προσκαρτεροῦντος, ἐξαίφνης ὁ τῆς γυναικὸς ἀνὴρ παρεγένετο. ἡ δὲ μοιχαλὶς φοβουμένη τὸν μοιχὸν εἰσάξαι εἰς τὸ ἐνδότερον καὶ αὐτόν, μή πως θεάσαιτο τὸν ἑαυτοῦ δοῦλον, ἀλλοτρόπως ἐνόησε τὰ καθ' ἑαυτὴν ἐξοικονομῆσαι, καὶ λέγει πρὸς τὸν μοιχόν· „γύμνωσόν σου τὴν σπάθην καὶ μετὰ θυμοῦ, φέρων

6 τὸ κατ' ἐκεῖνο καιροῦ] *formula recentioribus usitata* 7 πέμψαι] *cf.* 15, 9 8 αὐτῇ *non erit mutandum: uide commentationem* [ἤτοι ἐρωτῆσαι] *delebat Boissonade* 9 ἐστὶ *libri* 11 ἐρεσθεῖσα V μίξιν *libri hic et infra* 12 τούτου *libri: scripsi* τοῦτον *quod malebat* Boissonade 14 τί γέγονεν] *fortasse formula sermonis uolgaris est; requiras autem potius* τί δεῖ γίνεσθαι *uel* τί ἐπέσκηψεν, ἔλεγεν (ἡ γυνή) *uel* προσετάχθη 16 λέγει *om.* A 22 θεάσαιτο *scripsi:* θεάσοιτο *libri, quod dubitet aliquis an scriptori tribuendum sit*

„ἐν χερσὶ τὴν μάχαιραν γυμνήν, προσποιητῶς ὕβριζε
„κἀμὲ καὶ τοῦ οἰκήματος ἐξέρχου, τὸν δὲ ἄνδρα μου
„μηδέν τι ὅλως λαλήσῃς.“ καὶ ὁ μοιχὸς αὐτίκα τοῦτο p. 31 B.
ἐποίησε, καὶ ξιφηφόρος τῆς οἰκίας ἐξερχόμενος τὴν γυναῖκα καθύβριζεν. ὁ δὲ κύριος τοῦ οἴκου εἰσελθὼν ἔνθα καὶ ἡ γυνὴ διέτριβεν, ἐπηρώτα αὐτὴν λέγων· „τίς ἡ τοῦ ξένου τούτου ἔλευσις πρὸς τὴν „οἰκίαν ἡμῶν, ὦ γύναι, καὶ αἱ ὕβρεις πρὸς σὲ αἱ „μετὰ ξίφους;“ ὅτε καὶ ἡ γυνὴ „τούτου τοῦ ξένου „ὁ δοῦλος“ ἔφη „φεύγων κατέφυγεν εἰς τὴν οἰκίαν „ἡμῶν σύντρομος, φονευθῆναι δειλιῶν· καὶ παρ' „ἐμοῦ τοῦ δούλου κρυφθέντος, ὁ κύριος τούτου „χειρὶ βιαίᾳ ἐπειρᾶτο τοῦτον λαβεῖν καὶ φονεῦσαι. „ἐμοῦ δὲ τοῦτον ἐμποδιζούσης ἐνδότερον εἰσελθεῖν, „ἵστατο, ὡς οἶδας, μετὰ θράσους καθυβρίζων με, „ἀνῃρημένος τὴν σπάθην.“ ὁ δὲ ἀνὴρ λέγει· „ποῦ „ἐστιν ὁ δοῦλος;“ ἡ δὲ γυνὴ „ἔσω“ ἔφη „τοῦ ἐν„δοτέρου οἰκήματος.“ τοῦ δὲ οἰκοδεσπότου ἐξελθόντος θεάσασθαι εἰ ὁ δεσπότης τοῦ δούλου ὑπανεχώρησε, καὶ ἄνω καὶ κάτω συστρέψας οὐκ εἶδεν
αὐτόν· τότε στραφεὶς βλέπει τὸν δοῦλον καὶ λέγει p. 32 B.
αὐτῷ· „ἄπελθε τὸ λοιπὸν ἐν εἰρήνῃ· ὁ γὰρ κύριός „σου μακρὰν ἀπὸ τῶν ὧδε ἐγένετο.“ καὶ στραφεὶς

3 *λαλήσας* ABV: *λαλήσῃς scripsi* 4 *οἰκίας i. e. οἰκήματος?* 6 *διέτριβε libri* 11 *φονευθῆναι scripsi, ut legitur p.* 67 B. *λαλῆσαι ἐδειλία*: *φονευθεὶς* ABV, *in quo latere formam φονευθῆν* [*uel φονευθῇ a recentioribus usurpatam*] *uidit Boissonade. φ. δ. om.* D. *ἐφοβήθη μὴ φονευθῇ* Ven. 12 *τὸν δοῦλον τοῦ δούλου* A 15 *ἵστατο non multum differt a u. διετέλει cf. p.* 122 B. *καθ' ὑβρ.* V *ut saepe* 20 *συστρέψας*] caput conuertens, *περιβλέψας. ἄνω καὶ κάτω* quoquouersus *e sermone uolgari desumtum uidetur. structura inmutata* (*ἐξελθόντος .. συστρέψας*) *in hoc libro ne te offendat* 21 *i. e. ἐμβλέπει* 22 *ἐν εἰρήνῃ*] *formula Vet. et Noui T.* 23 *ὧδε*] ibi, hic

πρὸς τὴν γυναῖκα λέγει· „μεγάλην εὐεργεσίαν ὑπο- „λαμβάνω τῷ δούλῳ τούτῳ ποιῆσαί σε.“ καὶ ἰδού, ὦ βασιλεῦ, ἀπεδείχθη τῷ κράτει σου ὡς οὐ πρέπει καθόλου τοῖς τῶν γυναικῶν ἀπατηλοῖς λόγοις ἀκολουθεῖν.“

Τούτων πάλιν ὁ βασιλεὺς παρὰ τοῦ δευτέρου ἀκούσας (φιλοσόφου τῶν) λόγων, κελεύει τὸν υἱὸν αὐτοῦ μὴ ἀναιρεθῆναι. ἡ δὲ πονηρὰ γυνὴ πάλιν τὴν ἀναβολὴν μαθοῦσα τῆς ἀναιρέσεως, παρέστη αὖθις τῷ βασιλεῖ κατὰ τὴν τρίτην ἡμέραν καὶ λέγει αὐτῷ· „ὦ βασιλεῦ, οἱ σοφώτατοί σου σύμβουλοι μᾶλλόν εἰσι μωροὶ καὶ κακότροποι, καὶ πολλήν σοι τὴν βλάβην ποιῆσαι δοκιμάζουσιν.“ καὶ ὁ βασιλεὺς ἔφη πρὸς αὐτήν· „πῶς, ὦ γύναι;“ ἡ δὲ ἔφη· „ἦν γάρ τις, ὡς λέγεται, βασιλεύς, [ὃς] ἔχων υἱὸν κατὰ πολὺ τὰ κυνηγέσια ὀρεγόμενον· καὶ μιᾷ τῶν ἡμερῶν
p. 33 B. ἔφη ὁ υἱὸς τὸν τοῦ πατρὸς αὐτοῦ σοφώτατον σύμβουλον· „ζήτησον τὸν βασιλέα τὸν πατέρα μου, ἵνα „μοι ὁρίσῃ ἐξελθεῖν εἰς κυνήγιον.“ ὁ δὲ σύμβουλος ζητεῖ τοῦτο παρὰ τοῦ βασιλέως· καὶ ὁ βασιλεὺς ἀπεκρίνατο· „ἐὰν καὶ σὺ μετὰ τοῦ υἱοῦ μου ἐξέλθῃς, „γενέσθω τὸ αἴτημά σου.“ ἐξέρχεται οὖν μετὰ τοῦ υἱοῦ τοῦ βασιλέως ὁ τοῦ πατρὸς σύμβουλος, καὶ ἀμφότεροι ἐπορεύοντο. καὶ ὁρῶσί τινα ὄναγρον ἐν τῷ ὄρει, καὶ λέγει ὁ σύμβουλος τῷ παιδί· „κατα- „δίωξον ὀπίσω τοῦ ὀνάγρου, καὶ σὺ μόνος αὐτὸν

2 *ποιῆσαι noli restituere genus medium* 3 ὡς] *καὶ* V 7 *φιλοσόφου τῶν adieci: nam siue hoc siue συμβούλων utique excidit; cf.* D 13 *δοκιμάζουσι*] temptant [*τὴν*?] 14 *lemma: διήγησις γυναίου* 15 *ὃς seclusi, cf. p.* 43. 24. 29. 71. 92. 115 B. *poterat etiam scribi ὃς εἶχεν, de qua formula dictum ad p.* 63 B. 16 *κυνηγέσια ὀρεγόμενον*] *cf. p.* 159 B. *extr.* 17 *τὸν*] *cf.* 3, 11 18 *ζήτησον*] ora *μου om.* A

„κυνήγησον.“ ὁ δὲ παῖς ἐδίωκε τὸν ὄναγρον. καὶ οὕτως, δρομαίως διώκων, μόνος ἐγένετο τῶν συντρόφων, καὶ μὴ εἰδὼς τὴν ὁδὸν ἐν ᾗ πορεύεται, μίαν ὁδὸν εὑρών, ταύτην ἐβάδιζεν. εἶτα εὑρίσκει κατὰ τὴν ὁδὸν γυναῖκα θρηνοῦσαν νεάνιδα καί φησι πρὸς αὐτήν· „ὦ γύναι, τί κλαίεις; πόθεν εἶ σύ;“ ἡ δὲ νεᾶνις λέγει αὐτῷ· „βασιλέως εἰμὶ θυγάτηρ. καὶ „ἐπὶ ἐλέφαντος ἐκαθήμην καὶ τούτου ἐξολισθήσασα „ἔπεσον, μηδαμῶς ἐννοήσασα πῶς ἔπεσον. καὶ μό- p. 34 B. „λις τοῦ πτώματος ἀνένευσα καὶ ἀναβλέψασα ἰδεῖν „τινα τῶν ἐμῶν οἰκετῶν, οὐδένα ἑώρακα. ἔκτοτε „πλανηθεῖσα, οὐκ οἶδα ποῦ καὶ πόθεν πορεύομαι, „καὶ ἔτρεχόν γε σφοδρῶς, ἕως οὗ τὰ νῦν ἠγανά„κτησα.“ ταῦτα τῆς κόρης εἰπούσης, ὁ τοῦ βασιλέως υἱὸς ἐλεήσας αὐτήν, ὄπισθεν τοῦ ἑαυτοῦ ἀνεβίβασεν ἵππου. ἡ δὲ κόρη τούτοις τοῖς λόγοις αὐτὸν ἀπατήσασα, παρεσκεύασε διαφθεῖραι αὐτὸν ἐπί τινι ἀοίκῳ καταλύματι. καὶ λέγει τῷ νεανίσκῳ· „χρεία μοι ἐστὶν ἐν τῷδε εἰσελθεῖν.“ καὶ καταγαγόντος αὐτὴν τοῦ ἵππου καὶ εἰσελθούσης ἐκείνης, ἀκούει ὁ παῖς θόρυβον ἐντὸς καὶ ἀλαλαγμόν. καὶ ἀπελθὼν παρέκυψε τοῦ ἰδεῖν τίς ὁ θόρυβος· καὶ ὁρᾷ τὴν κόρην ἐκείνην ὡς λάμιαν προσομιλοῦσαν ταῖς ἑτέραις λαμίαις καὶ λέγουσαν· „ἰδοὺ ἤγαγον ὑμῖν νεανίσκον „ἔφιππον.“ αἱ δὲ λάμιαι αὐτῇ ἔλεγον· „ἀπάγαγε „τοῦτον εἰς τὸ ἄλλο κατάλυμα.“ καὶ τούτων οὕτω

2 *οὕτως scripsi: οὗτος libri; om.* D *δρομέως* V 9 *ἐννόησα* V *ἐννοῆσα* B 10 *ἀνάβλεψα* A 17 *αὐτὴν* ABV: *αὐτὸν scripsi* 19 *ἐνθάδε? ὧδε? καταγαγόντος .. ἀκούει cf.* 23, 20 21 *ἀπελθὼν*] eo profectus 24 *ὑμῖν*] uobis *est etiam in* D *et in uersione Hebraea* 25 *ἀπαγάγετε* B; *ἀπάγαγε δή?* 26 *ἄλλον* V *qua forma infima aetas non abstinuit. cf. p.* 59. 80 B. *τούτων οὕτω λεγομένων om.* V. *καὶ ὁ νέος τούτων*

λεγομένων, ὁ νέος στραφεὶς ἅμα ἐπὶ τὸν τόπον ἔνθα p. 35 B. τὴν κόρην ἐκ τοῦ ἵππου κατήγαγεν, ὥρμησεν ἀπελθεῖν. καὶ ἐκείνη ταχέως πρὸς αὐτὸν ἦλθε καὶ ἐπέβη τοῦ ἵππου ὡς τὸ πρότερον. ὁ δὲ νέος σφόδρα ἐδεδίει καὶ ἔτρεμε ταύτην. καὶ λέγει αὐτῷ ἐκείνη· „τί „οὕτως, ὦ νεανία, τρέμεις καὶ δέδοικας;“ ὁ δὲ τοῦ βασιλέως υἱὸς πρὸς αὐτὴν ἀντέφησεν· „ἐνθυμηθείς „τινος τῶν ὁμηλίκων καὶ ἐκεῖνον φοβούμενος ὑπο„τρέμω.“ ἡ δὲ πρὸς αὐτόν· „διὰ τί σὺ μὴ δωρεαῖς „καὶ χαρίσμασι τὸν ἐκείνου θυμὸν καταπραΰνεις; „λέγεις γὰρ εἶναί σε βασιλέως υἱόν, καὶ πολλοῦ „χρυσίου εὐπορεῖς.“ καὶ ὁ νέος πάλιν φησίν· „ἀλλ' „οὐ διὰ χαρισμάτων ἐκεῖνος ἐμοὶ φιλίαν ποιεῖ.“ καὶ ἡ λάμια πρὸς αὐτόν· „παρακάλεσον τὸν πα„τέρα σου, καὶ αὐτός σε τῆς κακίας ἐλευθερώσει.“ καὶ ὁ νέος· „οὐδὲ ὁ πατήρ μου, νομίζω, δύναται· „ὅμως καλῶς εἶπας καὶ πρεπόντως ἔφησας.“ καὶ εὐθὺς εἰς οὐρανὸν ὁ νέος τοὺς ὀφθαλμοὺς ἀνατείνας καὶ τὰς χεῖρας, „δέσποτα Χριστέ,“ παρεκάλει λέγων, „δός μοι τῷ δούλῳ σου κατισχῦσαι τοῦ δαι-
p. 36 B. „μονίου τούτου, καὶ τῶν αὐτοῦ με μηχανημάτων „ἐξάρπασον.“ καὶ ταῦτα τούτου εὐξαμένου, ἐκείνη ἑαυτὴν κάτω ῥίπτει ἐπὶ τοῦ ἐδάφους καὶ τῷ χοΐ ἐνεκυλίετο, καὶ δοκιμάζουσα ἀναστῆναι οὐδ' ὅλως ἴσχυεν. ὁ δὲ νέος ἅπαντα χαλινὸν χαλάσας, ἀκρα-

οὕτω λεγομένων νέος στραφείς A: *itaque in communi libro archetypo tria illa uocabula omissa uel in margine uel intra lineas suppleta erant* 1 τύπον A 2 κόριν A *nonnunquam* 8 ὁμιλήκων ABV: *corr.* Boissonade 11 πολλοῦ δήπου χρ.? 12 ἀπορεῖς A. εὐπορεῖν?? 13 ποιεῖ. καὶ] *facile est corrigere* ποιεῖται. καὶ: *sed cf. p.* 70 B. 15 αὐτός] οὗτός? (ἴσως D) 16 οὐδὲν A 20 . . ύ . . *libri* 24 δοκιμάζουσα *cf.* 24, 13. 25 ἴσχυεν *i. e.* ἠδύνατο (D) χαληνὸν V ἀνὰ κράτος?

τῶς ἐκεῖθεν τὸν ἵππον ἤλαυνε, καὶ τὸ κάκιστον δαιμόνιον διαδρὰς μέχρι τῆς πατρῴας οἰκίας διασώζεται, ἔτι σύντρομος τυγχάνων ἀπὸ τῆς λαμίας. — Ἐκ ταύτης τῆς προτεθείσης σοι παρ' ἐμοῦ διηγήσεως γνῶθι ἀκριβῶς οἷόν ἐστι τὸ τῶν συμβούλων ἀπατηλὸν καὶ ψευδὲς ἔργον. καὶ αὐτὸν σὲ φενακίζοντες καὶ ἀπατῶντες λέγουσι ταῦτα τῷ κράτει σου. ὅθεν κἀγὼ διὰ τὴν εἰς ἐμὲ γενομένην ἀτοπίαν παρὰ τοῦ υἱοῦ σου γνωρίζω τῇ σκηπτουχίᾳ σου· οἱ σύμβουλοι ψεύδονται, (καὶ τὸ ἑαυτῶν μόνον κέρδος σκοποῦσι) κἂν μεγάλως φυλάττειν τὸν (σὸν) υἱὸν προσποιῶνται."

Τούτων πάλιν τῶν λόγων τῆς μαινάδος ἀκούσας ὁ βασιλεὺς κελεύει πάλιν τὸν υἱὸν σφαγῆναι. κατ' p. 37 B. αὐτὴν οὖν τὴν ἡμέραν καὶ ὁ τρίτος σύμβουλος τῷ βασιλεῖ παραστάς, προσεκύνησε κατὰ τὸ ἔθος, αἰτῶν τοῦτον τῷ παραδείγματι προσέχειν καὶ ἀκούειν προσηνῶς. ὅτε καί φησιν· „ὦ βασιλεῦ, ζῆθι εἰς τὸν αἰῶνα. ἕν σε αἰτῶ, προσέχειν τοῖς ἐμοῖς λόγοις καὶ τούτων μὴ καταφρονεῖν ὡς ἐλαχίστων· οὕτω γὰρ

4 προςτεθείσης V 6 ἀπατηλὸν καὶ ψευδὲς *non apte interiecta sunt. ceterum quae sapiens ille tam grauia commiserit quaque re deceperit regem non enarratur* (*cf.* 24, 25). *in Hebraea quidem uersione refertur ad regem reuersus ei falsum retulisse nuntium, filium a leone dilaniatum esse: sed idem commentum infra leges in altera narratione* p. 44 B., *quae apud Hebraeum a priore non seiuncta est* ἀψευδὲς BV ἔργον *etiam* D: γένος? 9 σκηπτουχείᾳ V ὅτι οἱ? 10 καὶ τὸ ἑ. μ. κ. σκ. *et* σὸν *adieci ut sententiam explerem* 15 τὴν γ' ἡμέραν? *ut p.* 80 B *et saepius. sed cf. p.* 62 B *et* D. *lemma* τρίτος σύμβουλος 16 προσεκύνησα V 17 τοῦτον *scripsi*: τουτὶ *libri* 18 προσηνῶς *scripsi*: *libri* προσεχῶς; *nisi u. u.* καὶ ἀκ. πρ. *omnino sunt delenda* καὶ *om.* A 19 ἕν .. τῷ B „cum lacunula" ἕν .. τῷ V *trium fere litterarum spatio uacuo*, ἐνῶταιτῶ A: ἓν αἰτῶ Boissonade. σε *addidi*

ἐμάθομεν πολλάκις παρ᾽ ἀνθρώποις γίνεσθαι· οἱ γὰρ ἄνθρωποι, ὅπερ οὐδαμινὸν τυγχάνει, πολλάκις ἐπὶ μέγα αἴρουσι καὶ ὑψοῦσι καὶ ὡς ἐξαίσιον διατρανοῦσιν. ἄκουσον οὖν διηγήσεως συμμαρτυρούσης τῷ λόγῳ μου.

„Δύο χωρία ὑπῆρχον περιφανῆ, ἅτινα διὰ μόνου μελισσείου κηρίου ὑπ᾽ ἀλλήλων διώλοντο.“ τοῦ δὲ βασιλέως „πῶς καὶ τίνι“ φήσαντος „τρόπῳ;“ ὁ φιλόσοφος πρὸς αὐτόν· „ἦν τις ἀνὴρ κυνηγός, καὶ ἐγένετο αὐτὸν μελίσσειον ἐφευρεῖν μετὰ κοφίνου. p. 38 B. ὅπερ λαβὼν ὁ ἀνὴρ ἔφερε τοῦ πωλῆσαι αὐτό. ἔτυχε δὲ ἕνα τῶν αὐτοῦ κυνηγετικῶν κυνῶν συμπορεύεσθαι αὐτῷ. μετὰ δὲ τὸ διακομισθῆναι παρὰ τοῦ κυνηγοῦ τὸ μελίσσειον ἐκεῖνο βαράδιον, ἐνέτυχέν τινι τῶν ἐν τοῖς τροφίμοις κατὰ τὴν ἀγορὰν συνήθειαν ἐχόντων καθῆσθαι· καὶ ἰδὼν οὗτος ὀρεκτικὸς ἐγένετο τοῦ ἀγοράσαι τὸ μελίσσειον σὺν κηρίῳ, καὶ ἐντὸς τοῦ μέλιτος τὴν χεῖρα βαλὼν ἕνεκα θεωρίας καὶ γεύσεως, τὶ ἐκπεσὸν ἐκ τῆς χειρὸς τοῦ κατέχον-

1 V 6 AB *in marg.* ἀρχὴ τῆς διηγήσεως παρ᾽ ἀνθρώποις] *uernacule* in der Welt; *ut non sit necessarium scribere* ἀνθρώπων 3 αἶρουσι V 4 *hanc narrationem* Ven. *om.* (Boiss.) 6 μόνον V 7 μελισίου V, Du Cange; AB „*uariant hic et infra exhibentes* μελλίσιον, μελίσιον, μελήσιον, μελλήσιον“ Boissonade, *qui* μελισσίου *scripsit*: *ego reposui* μελισσείου ὑπ᾽ *adieci* 10 εὑρεῖν μελήσιον ἐφευρεῖν VB; *in* V εὑρεῖν *punctis infra positis deletum.* εὑρεῖν μελλήσιον ἐφορεῖν A: *inde* Boissonade ἐφευρεῖν *deleuit*, *ego potius* εὑρεῖν *praetermittendum esse censui.* 10. 14. 17 μελήσιον V μελίσσιον Boiss.: *scripsi* μελίσσειον, *ut* 29, 1 μελισσείου, *ubi* V *exhibet* μελισίου 14 ἐκεῖνος VB βαράδιον *i. e.* σίμβλος. *noli delere* ἐνέτυχεν *scripsi*: ἐντυχών ABV: *nisi uerba aliquot uelut* ἐλάλει αὐτῷ *exciderunt; id autem quod primo adspectu facillimum uidetur ut* τινί *mutetur in* τις, *cum datiuus* αὐτῷ *abesse non possit*, *fieri nequit* 16 οὗτος *scripsi*: τοῦτο ABV 19 ἐκπεσὸν *scripsi*: ἐμπεσὸν ABV τὶ ... κατ. *om.* D

τος, εὐθὺς μέλισσά τις ἐλθοῦσα καὶ τοῦ μελισσείου σταλάγματος ἐπικαθίσασα ἤσθιεν. ἦν δέ τις γυνὴ ἐκ τοῦ (αὐτοῦ) ἐκείνου χωρίου, οὗ ὁ ἀγοράζων τότε κἀκεῖνος ἐτύγχανεν, ἐν τῇ ἀγορᾷ· ἥτις καλῶς θεασαμένη ἔδραμεν ἐπ' αὐτὸ καὶ ἔλεγεν ἐγνωκέναι τὸ μέλι καὶ τὸ βαράδιον (ὡς) ἐκ τοῦ χωρίου αὐτῶν ἐστι. καὶ δραμὼν ὁ κυνηγὸς ἐκεῖνος βίᾳ κατέσχε βουλομένην ἁρπάσαι τὸ μέλι. καὶ πολλῆς φιλονεικίας γενομένης, ὁ κυνηγετικὸς ἐκεῖνος κύων, ἰδὼν τὴν τοῦ κυρίου αὐτοῦ μάχην, πρός τε τὴν γυναῖκα καὶ τὸν ἀγοραστὴν ἤρξατο ὑλακτεῖν. p. 39 B. ὅθεν ὁ κυνηγὸς σπασάμενος καὶ τὴν μάχαιραν, ἐβούλετο τὸν ἀγοραστὴν ἀνελεῖν ὡς ἐκ τοῦ χωρίου αὐτῶν λέγοντα κλέψαι αὐτό. καὶ γέγονε μεταξὺ τῶν δύο τούτων μάχη μεγίστη, τοῦ μὲν λέγοντος κεκλοφέναι, τοῦ δὲ εὑρεῖν. [ἦσαν γὰρ καὶ οἱ δύο κάτοικοι τῶν δύο χωρίων ἐκείνων τῶν περιφανῶν.] καὶ μεγάλως ἑκάτεροι παρακινηθέντες, θυμοῦ ἐπλήσθησαν, ὡς ἐκ τούτου καὶ τοὺς ὁμοχώρους παρακινηθῆναι, ὅτι ὁ μὲν θηρευτὴς ἐκ τοῦ ἑνὸς ὑπῆρχε χωρίου, ὁ δὲ ἀγοράζων τὸ μέλι ἐκ τοῦ ἑτέρου. ἐπαναστάντες δὲ ἀλλήλοις,

2 ἐπικαθήσασα V ἤσθιε *libri* 3 αὐτοῦ *adieci* 6 μέλι καὶ τὸ] μελίσσειον? ῥάδιον A *post* βαράδιον Boissonade *suspicabatur excidisse* ὅτι: *malui supplere* ὡς *quod legitur p.* 60 *m.* B ἀκριβῶς γινώσκω σε .. ὡς .. γεγένησαι 7 κατέσχαι V 10 *ante* πρὸς *ego distinxi*, *ante* ἤρξ. Boiss. *cf.* D 11 ὅθεν] ὅτε? *conexio seriesque rerum neque hic neque* 16—18 *perspicua est* 12 καλὴν *libri*: καὶ τὴν *scripsi. nam etsi Graeci recentiores saepe ita dixerunt* καλός *ut sit i. q. Germanorum* tüchtig (*cf. etiam* 91 B. Corais στοχ. αὐτ. *ante Aelian. p.* πδ'. *ad Aesop. p.* 434 *ad* 187. *Heliod.* 291), *hoc loco neque quare additum sit liquet et articulus requiritur.* 13 κλέψειν ABV: κλέψαι Boissonade (D) 16 ἦσαν .. περιφανῶν *seclusi utpote dittographiam enuntiati insequentis* 19 ὅτι ὁ μὲν .. ἑτέρου (*hoc om.* D) 20 *part. pr.* ἀγοράζων *substantiui loco est* (3)

μαχαίρας ἔργον ἐγένοντο. θέασαι γοῦν, ὦ βασιλεῦ, ἐκ ποταπῆς ἀφορμῆς ἡλίκα δεινὰ ἐτελέσθησαν. καὶ νῦν ἐπάκουσόν μου, παρακαλῶ, καὶ μὴ ἀπὸ ψιλῆς καὶ ἀπατηλῆς συσκευῆς τὸν σὸν υἱὸν καὶ διάδοχον ἀνεξετάστως ἀποκτεῖναι θελήσῃς· ἀλλ' ἐπίσχες ἕως οὗ τὸ ἀληθὲς περὶ αὐτοῦ σοι βεβαιωθείη. ὅμως καὶ ἄλλην διήγησιν ἀκουτισθεῖσάν μοι παρατίθημι.

p. 40 B. „Ἀνήρ γάρ τις τὴν ἑαυτοῦ σύζυγον ἐπὶ τὴν ἀγορὰν ἔπεμψεν ἀγοράσαι ἑνὸς ἀργυρίου ὀρύζιον. ἣ δὲ ἀπῆλθεν ἔν τινι τῶν κατὰ τὴν ἀγορὰν ἐργαστηρίων καὶ δοῦσα τὸ ἀργύριον, ἐξωνεῖτο τὸ ὀρύζιον χωρὶς τοῦ καλουμένου σαχάρεως, μεθ' οὗ ἐσθίειν τοῦτο συνήθειαν ἔχομεν οἱ ἄνθρωποι. ὁ δὲ πωλῶν τὸ ὀρύζιον ἔφη πρὸς τὴν γυναῖκα· „οὐδαμῶς, ὦ γύναι, τὸ ὀρύζιον ἄνευ σαχάρεως ἐσθίεται· τί σοι γοῦν ὄφελος ἀγοράσαι τοῦτο μόνον;“ ἡ δὲ πρὸς αὐτὸν· „ἡμεῖς τοῦτο ἄρτυμα οὐκ ἔχομεν.“ ὃ δὲ πρὸς αὐτὴν· „ἐὰν εἰς τὸ ἐνδότερον ἐργαστήριων „συνεισέλθῃς μοι, καὶ ἐκ τῆς σαχάρεως δώσω σοι.“ ἣ δὲ ἀντέφησε· „δός μοι πρῶτον, καὶ τότε συνεισε„λεύσομαί σοι· γινώσκω γὰρ καὶ ἐγὼ τὰς τῶν ἀν„δρῶν πανουργίας.“ ὃ δὲ σταθμήσας δέδωκεν αὐτῇ

3 ψιλῆς] quae fundamento certo careat, tenuis. *cf.* D. *an ψευδοῦς?* 6 *ὅμως sic saepe adhibetur* 7 *lemma τοῦ αὐτοῦ τρίτου φιλοσόφου διήγησις* 10 *ἐργαστήριον*] taberna 11 *ὀρύζιον* V *semper et* AB *plerumque; in his enim nonnunquam ὁρύζιον, in* A *hoc loco τὸ ῥύζιον inest. ὀρίζιον* Du Cange, Boissonade 13 ὁ *δὲ scripsi dubitanter pro eo quod est in libris ὁ γάρ. nam cum mutatione uix maiore restitui poterat etiam ὁ γοῦν uel ὅτε ὁ, tum scriptores recentes mire interdum abutuntur particula γάρ: quo de egit* Coraes *in* Atactis. *cf. not. ad p.* 61 B. πολλῶν V 16 *ἀγοράσασα* V 17 τοῦτο V τοῦτον B τούτον A. *fortasse scr. τοῦτο τὸ. forma τοῦτον infima aetas non abstinuit.* ἄρτυμαν V 19 *ἐκ aliquotiens in hoc libello sic usurpatur* (20, 15) 20 πρῶτον *i. q.* πρότερον

ἐκ τῆς σαχάρεως. ἐκείνη δὲ τό τε σάχαρ καὶ τὸ ὀρύζιον ἐν τῷ μανδυλίῳ κατέδησε καὶ τὸ μανδύλιον παρέθετο πρὸς τῷ παιδίῳ τῷ ὑπηρετοῦντι τὸ ἐργαστήριον, καὶ αὐτίκα συνεισῆλθε τῷ ἀνδρὶ ἐπὶ τὸ p. 41 B. ἐνδότερον οἴκημα, τοῦ πληρῶσαι τὸ ποθούμενον τοῦ ἐργαστηριακοῦ. ὁ δὲ παῖς λύσας ἀπὸ τοῦ μανδυλίου τὸ ὀρύζιον καὶ τὸ σάχαρ, χοῦν ἀντ' αὐτῶν εἰσβαλὼν εἰς τὸ μανδύλιον ἐνέδησεν. ἡ δὲ γυνὴ θᾶττον ἐκεῖθεν ἐξελθοῦσα σύντρομος καὶ φοβουμένη ὑπὸ τῆς ἐντροπῆς, ἄρασα τὸ μανδύλιον, εἰς τὴν ἑαυτῆς οἰκίαν ἀπήρχετο. (καὶ) εἰσελθοῦσα παρὰ τὸν ἄνδρα, ἔγγιστα τούτου τὸ μανδύλιον ἔθηκε, καὶ εἰσῆλθεν εἰς τὸ ἐνδότερον τοῦ οἰκήματος τοῦ ἀγαγεῖν χύτραν. ὁ δὲ ἀνὴρ αὐτῆς λύσας τὸ μανδύλιον, ὁρᾷ χοῦν ἐντὸς καί φησι πρὸς αὐτήν· „ὦ γύναι, τί „ἔστι τοῦτο; χοῦν μοι ἐκόμισας μᾶλλον ἢ ὀρύζιον.“ γνοῦσα δὲ καθ' ἑαυτὴν ἡ γυνὴ ὡς ὁ παῖς τοῦ μυρεψοῦ τοῦτο εἰργάσατο, σινίατρον [ἤτοι κόσκινον] ἀντὶ τζουκαλίου ἐκόμισε καὶ λέγει τῷ ἀνδρί· „ἐν τῇ „ἀγορᾷ, ὦ ἄνερ, πορευομένης μου, ἵππος μοι ἐλάκτισε, καὶ πέπτωκα καὶ τὸ ἀργύριον ἀπώλεσα· p. 42 B. „διόπερ τὸν χοῦν τοῦτον ἐκλεξαμένη ἤγαγον, ὅπως „αὐτὸν κοσκινίσω, εἰ ἴσως τὸ ἀργύριον εὕροιμι.“

2 *μανδύλιον*] Herodian. Epim. *p.* 150 Boiss. *μανδήλιον interpretatur χειρόμακτρον*. Lex. Sched. v. 864 *in* Boiss. Anecd. 4, 410 *χειρόμακτρον, μανδύλιον*; *ubi uide adn.* 3 *τὸ παιδίον τῷ* ABV: *corr.* Boissonade *ὑπηρετοῦν τι* V *τῷ ἐργαστηριακῷ? habet quidem τὸ ἐργαστήριον quo defendatur* 6 *λύσας mire dictum; cf. l.* 14 *et* D; *num κλέψας? συλήσας?* 8 *ἐνέδυσεν* V 11 *καὶ adieci* 12 *ἔγκιστὰ* V 13 *ἀγαγεῖν i. e. φέρειν* 16; V 18 *ἤτοι κόσκινον seclusi. κόσκυνον* ABV: *κόσκινον* Boissonade, D *σινίατρον* cribrum. Lob. Phr. 131 19 *τζουκάλιον i. e. χύτραν* 20 *μοι*] *με?* 23 *ex κοσκινίσω in* V *m. pr. fecit κοσκυνίσω εἰ scripsi: καὶ libri; sed tum addendum erat ἄν. cf.* D

ταῦτα αὐτῆς τῷ ἀνδρὶ λαλησάσης, ἐκεῖνος πεπίστευκε καὶ αὐτοχείρως τὸν χοῦν ἐκοσκίνιζεν, ὡς καὶ τὸ γένειον κονιορτοῦσθαι. Ταῦτα τοῦ μιαροῦ γυναίου τὰ κατορθώματα· καὶ ἀπὸ τούτου γνῶθι, βασιλεῦ, ὡς τῶν γυναικείων μηχανημάτων καὶ τῶν οἰκείων αὐτῶν βουλευμάτων οὐδεὶς περιγενέσθαι δύναται, ἂν μὴ γνώσει καὶ ἀρετῇ ἐμπεφραγμένος ὑπάρχῃ.“

Τούτοις τοῖς λόγοις μαλακισθεὶς ὁ βασιλεὺς τὴν ἀναίρεσιν τοῦ υἱοῦ αὐτοῦ διεκώλυσεν. ἡ δέ γε πονηρὰ γυνὴ κατὰ τὴν τρίτην ἡμέραν παρέστη τῷ βασιλεῖ μάχαιραν κατέχουσα τῇ χειρὶ καί φησι πρὸς αὐτόν· „εἰ μὴ ἀπὸ τοῦ παιδός σου θᾶττόν με ἐκδικήσεις, ὦ βασιλεῦ, ταύτῃ τῇ μαχαίρᾳ φονεύσω ἐμαυτήν· πέποιθα δὲ ἐπὶ τὸν θεόν, ὅτι κατὰ τῶνδε τῶν ἐχθρῶν σου μᾶλλον ἢ συμβούλων σου, τῶν

2 ἐκοσκύνιζεν V κοσκύνισεν B (*aor.* D) 3 τὸ *om.* A ταῦτα ἦν τοῦ? 5 καὶ τῶν *om.* A 7 ἐμπεφραγμένον V 10 διεκώλυσε *libri* 11 *lemmate caret* V. τῆς μιαρᾶς γυναικὸς γ' B. τῆς μιαρᾶς γυναίου A τρίτην] *et uxor die tertio iam dixit, et postulant cum ordo narrationum hucusque seruatus tum res ipsa ut mulier ubi illuxit ad regem se conferat de eo edocta quod sub uesperum sapientes de salute iuuenis a rege impetrauerunt, neque uero ordine inuerso, quo fit ut incommode inter edictum regis et prohibitum supplicium nox intercedat. in quem errorem incidit non librarius sed scriptor* (*quem secuti sunt qui utramque recensionem* B *et* M *confecerunt*), *ita ut die tertio uxor bis, usque ad sextum post sapientes eodem quoque die* (*p.* 47. 58; 60. 71; 74. 80. B), *septimo omnino non dicat* (81. 83). *accedit quod quae mulier sexto protulisse fertur* εἰ μὴ τὴν σήμερον ὁ τοῦ βασιλέως υἱὸς φονευθῇ τὴν αὔριον τῷ πατρὶ λαλήσει *septimo demum dici poterant, nam iuuenis rumpit silentium octauo. itaque cum scriptor sero se a uero ordine aberrasse cognosceret, quae uxor septimo die fecit eisdem fere uerbis quibus de sexto usus est* (*p.* 80) *et tam confuse narrauit ut intellegi uix possint* (*p.* 81 B.). *denique p.* 80 B. *seruauit* M κατὰ τὴν ἕκτην ἡμέραν *ex archetypo, haec altera recensio additum habet* αὐτήν.

φιλοσόφων, νίκην τοιάνδε δῴη μοι, ὁποίαν δὴ καί τινι βασιλέως υἱῷ κατὰ τοῦ φιλοσόφου καὶ συμβούλου λέγεται τοῦ πατρὸς αὐτοῦ γεγενῆσθαι.“ ὁ δὲ p. 43 B.
βασιλεὺς λέγει τῇ γυναικί· „καὶ τίς ἦν ἐκείνου τοῦ σοφοῦ συμβούλου (ἡ) ὑπόθεσις;“ ἡ δὲ φησίν· „ἦν τις βασιλεὺς ἔχων υἱόν, καὶ ἐμνηστεύετο αὐτῷ θυγατέρα βασιλέως ἑτέρου, ἧς ὁ πατὴρ ἐμήνυσε τῷ τοῦ γαμβροῦ πατρὶ εἰπών· „πέμψον πρός με τὸν „ἐμὸν γαμβρόν, ὡς ἂν ἐνταῦθα ἐκτελέσω τοὺς γά„μους· καὶ μετὰ ταῦτα, ὅτε θελήσει ὁ υἱός σου, „μετὰ τῆς ὁμοζύγου αὐτοῦ αὐτόθι ἐπανήξει.“ ὁ δὲ πατὴρ τοῦ γαμβροῦ ἅμα τὸν υἱὸν κελεύει πρὸς τὸν πενθερὸν ἀπιέναι. εἶχε δέ τινα σοφώτατον σύμβουλον ὁ βασιλεὺς ἐκεῖνος, (ὃν) καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ ἀπελθεῖν ἐκέλευσε. καὶ δὴ ἀμφοτέρων τῆς ὁδοῦ ἐχομένων, ὁ ἀκολουθῶν αὐτοῖς ὄχλος ἦν ἔμπροσθεν πορευόμενος. καὶ ὁδοιποροῦντες δίψῃ μεγίστῃ ἐκρατήθησαν ὁ φιλόσοφος ἅμα τῷ γαμβρῷ· καὶ δὴ ὧδε κἀκεῖσε διερχόμενοι ἐντυγχάνουσί τινι πηγῇ, ἥτις εἶχε τοιαύτην φύσιν, ὅτι ὁποῖος ἀνὴρ ἐξ αὐτῆς ἔπιεν, εἰς γυναικείαν εὐθὺς ὄψιν μετεμορφοῦτο. ὁ μέντοι σοφώτατος ἐκεῖνος τοῦ βασιλέως σύμβουλος ἐγίνωσκε p. 44 B.
πρὸ τούτου τῆς πηγῆς ἐκείνης τὴν συνήθειαν, καὶ οὐδὲν περὶ τούτου τῷ νέῳ βασιλεῖ διεσάφησε· τοὐναντίον δὲ λέγει αὐτῷ· „καρτέρησον παρὰ τῇδε τῇ

1 δώῃ V: *requiras fut. uel coniunctiuum loco futuri positum; cf.* 36, 1   5 ἡ *ante* ὑπόθεσις *addidi*   7 ἐμήνισε ABV: *corr.* Boissonade   8 πρός με] *sic aliquotiens*   11 αὐτόθι] istuc, *om.* D   ἐπανοίξει V   12 ἅμα *i. e.* αὐτίκα   13 σύμβουλον *om.* V   14 ὃν *adieci*   16 ἐρχομένων A *ex corr.*   ἔμπροσθεν] *i. e.* περαιτέρω, εἰς τὸ ἔμπροσθεν. ὄπισθεν? *p.* 34, 17. 40, 10. 41, 8.   18 ὧδε κἀκεῖσε, *formula frequentissima* huc illuc   19 διερχόμενοι] a uia discedentes   20 ὅτι *etiam* D   ἔπιε *libri*   23 καὶ] ἀμὴ D   25 καρτέρισον V

„πηγῇ, ἄχρις ἐγὼ μόνος μακρότερον προελθὼν γνώ„σομαι εἴπερ ἄρα τὴν ὀρθὴν ὁδὸν πορευόμεθα.“ καὶ καταλιπὼν ἐκεῖσε τὸν τοῦ βασιλέως υἱόν, πρὸς τὸν αὐτοῦ πατέρα ὑπέστρεψε, καί τινα ἀγγελίαν πλασάμενος λυπηρὰν ἀπήγγειλε τῷ πατρὶ λέγων· „βασι„λεῦ, οἴμοι· ὁ υἱός σου ὑπὸ λέοντος κατεβρώθη.“ ὁ μέντοι παῖς παρὰ τῇ πηγῇ καρτερῶν ὑπῆρχε τὸν σύμβουλον· τῇ δὲ δίψῃ καταφλεχθεὶς αὐτίκα ἐξ ἐκείνης τῆς πηγῆς ἔπιε, καὶ ἅμα τῷ πιεῖν εἰς γυναικείαν ὄψιν μετεποιήθη, καὶ διηπορεῖτο τί ἄρα ποιήσειε. κηπωρὸς δέ τις ἀνὴρ ἐκεῖσε παραγενόμενος, ἐπηρώτησε τὸν παῖδα λέγων· „πόθεν εἶ σὺ καὶ τί„νος υἱὸς τυγχάνεις; καὶ τίς ἐνταῦθά σε ἤγαγεν;“ ὁ δὲ παῖς ἀπεκρίνατο· „ἐγὼ βασιλέως τοῦ δεῖνος „τυγχάνω υἱὸς καὶ ἀπερχόμην καθ' ὁρισμὸν τοῦ p. 45 B. „πατρός μου πρὸς βασιλέα ἕτερον τὸν δεῖνα χάριν „τοῦ τελέσαι μου τοὺς γάμους, καὶ ἔμπροσθεν „πορευόμενος, τοῦ ἀκολουθοῦντός μοι ὄχλου μα„κρὰν γεγονώς, ἀπεπλανήθην καὶ δίψῃ μεγάλῃ „συνεχόμενος, τῇ πηγῇ τῇδε προσπελάσας, ἔπιον „ἀπ' αὐτῆς, καὶ ἅμα εἰς γυναικείαν ὄψιν μετεβλή„θην.“ ὁ δὲ ἀνὴρ ἐκεῖνος τῶν ῥημάτων τοῦ νέου ἀκούσας, κατοίκτειρε τοῦτον τῆς συμφορᾶς καὶ λέγει αὐτῷ· „ἐγὼ ἀντὶ σοῦ εἰς γύναιον μεταμορφω„θήσομαι καὶ ἐπὶ μῆνας τέσσαρας τῇ γυναικείᾳ „μορφῇ ἐγκαρτερήσω, ἄχρις ἂν σὺ τοὺς σοὺς γάμους

7 καρτερῶν τὸν σύμβουλον *i. e.* ἀναμένων 9 τῷ Boissonade: τὸ ABV 12 ἐπηρώτισε ABV: *corr.* Boissonade 15 ἀπερχόμην *et paulo post* κατοίκτειρε 23 *incertum utrum librario an scriptori tribuenda sint* 17 μου *uel* μοι *scribendum erat*: με ABV 23 κατοῖκτειρε V 24 μεταμορφοθήσομαι V 26 ἐγκαρτερήσω *scripsi*: καρτερήσω ABV. *prorsus autem differt Euripideum* καρτερεῖν μάχῃ

„ἐκτελέσῃς. πλὴν ὄμοσόν μοι ὡς μετὰ τὴν τελείωσιν τῶν τεσσάρων μηνῶν πάλιν ἐλεύσῃ πρός με.“ ὁ δὲ τοῦ βασιλέως υἱὸς ὤμοσε τῷ κηπωρῷ ἐκείνῳ ὡς ἐκ παντρόπου πρὸς αὐτὸν ἐλεύσεται. ὁ δὲ κηπωρὸς παραχρῆμα εἰς γυναῖκα μετεβλήθη, καὶ ὑπέδειξεν αὐτῷ καὶ τὴν πρὸς τὸν πενθερὸν αὐτοῦ ὁδὸν τὴν εὐθεῖαν. μετὰ δὲ ταῦτα τῶν τεσσάρων μηνῶν περαιωθέντων, ἐμνήσθη ὁ τοῦ βασιλέως υἱὸς τῶν p. 46 B. μεθ᾽ ὅρκου αὐτοῦ ὑποσχέσεων ὧν ὑπέσχετο τῷ κηπωρῷ, καὶ πρὸς αὐτὸν εὐθὺς παραγίνεται τὴν γυναικείαν ἔτι μορφὴν περικείμενον· εὑρίσκει δὲ αὐτὸν καὶ κατὰ τὴν φύσιν τῶν γυναικῶν ἐν γαστρὶ ἔχοντα. καὶ τῆς γαστρὸς αὐτοῦ ἐξογκουμένης οὔσης, φησὶ πρὸς αὐτὸν ὁ τοῦ βασιλέως υἱὸς ἐξ εὐλόγου προφάσεως· „πῶς ἄρα γε νῦν ἀντὶ σοῦ εἰς γυναῖκα „μεταβληθῶ; καὶ γὰρ ὅτε με πλησίον τῆς πηγῆς ἐν „γυναικείᾳ μορφῇ εὕρηκας, παρθένος ἐγὼ τὸ σῶμα „ἐτύγχανον, καὶ σὺ γοῦν ἄρτι ἐν γαστρὶ ἔχεις· „πῶς ἐγὼ ἐγγαστρωμένος γενήσομαι;“ οὕτως οὖν διαλεχθεὶς ὁ τοῦ βασιλέως υἱὸς νενίκηκεν ἅμα τὸν κηπωρὸν τῇ τοῦ λόγου πιθανότητι, καὶ πρὸς τὸν ἴδιον πατέρα καὶ βασιλέα μετὰ χαρᾶς ὑπέστρεψε. καὶ τῷ πατρὶ διηγήσατο ὅσα παρὰ τοῦ κακοῦ συμβούλου τοῦ σοφωτάτου ἐκείνου ἐν τῇ ὁδῷ πέπονθεν. ὁ δὲ βασιλεὺς ἐκεῖνος μεγάλως ὀργισθεὶς ἐπὶ τῇ συμβουλῇ καὶ πονηρίᾳ τοῦ κακοῦ συμβούλου ἐκείνου, ἀναιρεθῆναι προσέταξε τὸν φιλόσοφον. Οὕτως οὖν κἀγώ, βασιλεῦ, ἐπὶ τῇ θείᾳ θαρρῶ κρίσει, p. 47 B.

1 ὤμοσον V 4 ἐκ παντὸς τρόπου *ci.* Boissonade *cl.* *p.* 63 B. 8 περαιωθέντων *in tali scriptore ferendum neque in* περανθέντων *uel* περατωθέντων *mutandum* 17 τὸ σ., 19 πῶς .. γεν. *om.* D 19 πῶς δ᾽? ἐγκαστρωμένος BV 24 πέπονθε ABV 26 ἐπιβουλῇ?

ὅτι δῴη μοι ἐκδικηθῆναι ἀπὸ τούτων τῶν ἀναισχύντων καὶ σοφῶν σου τῇ κακίᾳ συμβούλων. εἰ δ' οὖν ὡς προεῖπόν σοι, ἐμαυτὴν διαχειρίσομαι, καὶ ἔστα ἡ τοῦ ἁμαρτήματός μου αἰτία ἐπὶ σέ, ὅτι με ἀπὸ τοι υἱοῦ σου οὐκ ἐκδίκησας ὡς ἔδει κατὰ τὸ δίκαιον κα ἀληθές, ὅστις κατ' ἐμοῦ ἐχώρησεν εἰς τοσοῦτον μωρίας καὶ ἀναισχυντίας καὶ παρανομίας."

Τότε ὁ βασιλεὺς τοῖς τῆς γυναικὸς λόγοις ὑπαχθείς, κελεύει τὸν υἱὸν αὐτοῦ ἀναιρεθῆναι. μετι δὲ τὴν ἀπόφασιν πάλιν, κατὰ τὴν τετάρτην ἡμέραι ὁ τῶν φιλοσόφων αὐτοῦ καὶ συμβούλων τέταρτο; ἔρχεται. καὶ συνήθως αὐτὸν προσκυνήσας, „ζῆθι βασιλεῦ," εἶπεν „εἰς τὸν αἰῶνα. γνωρίζω τῷ κράτει σου, ὡς οὐ χρή τινα τῶν κατὰ σὲ βασιλέων κατι συναρπαγήν τι τὸ σύνολον διαπράξασθαι, ἕως οι καθαρῶς ἐρευνήσῃς καὶ τὴν ἀλήθειαν στήσῃς, κα ὅπερ ἀκούσῃς ἀκριβῶς ἐξετάσῃς, ὅπως μὴ συμβήσε-
p. 48 B. ται ὡς ἔν τινι τῶν βασιλέων λέγεται προγενέσθαι.' ὁ δὲ βασιλεὺς ἔφη· „καὶ πῶς γε, σαφήνισόν με." (ὁ δὲ ἔφη·) ἦν γάρ τις υἱὸς βασιλέως· καὶ ἐγένετο ἐι μιᾷ ἡμέρᾳ τοῦτον ἀπελθεῖν εἰς τὸ λουτρὸν τοι ἀπολοῦσαι τὸ ἑαυτοῦ σῶμα. ἦν δὲ αὐτὸς παχὺς ἅμι

1 δῴη *cf.* 33, 1. δώσει? δώσῃ? θέλει δώσει D 2 εἰ δ' οὖν, ὡς πρ. σοι ἐ. δ., καὶ ἔ.? *cf. p.* 58 B. 5 ἐκδίκησας *cf.* 34, 15 6 ὅςτι V 8 τοῖς *om.* A 12 ἔρχεται *om.* VA ζῆθι .. αἰῶνα *om.* A *lemma*: ὁ (*om.* V) τέταρτος σύμβουλος ABV 16 *tertiam requiras personam*; *u.* D *de u* στήσῃς *dubitauerim* 17 ἀκούσῃς V: ἀκούσεις AB. *coniuncti uus apud scriptores recentiores sequitur pronomina et aduerbi relatiua etiam p.* ἂν *non addita* σοι *adiciendum uidetur ant* συμβήσεται μὴ *om.* V 18 καί τινι? ἑνὶ? βαλανέων *u.* 38, 19 παραγενέσθαι B. *an* προςγενέσθαι? 19 *uu.* (δὲ ἔφη *in libris praetermissa suppleui; u.* D *lemmata* τοῦ τετάρτου φιλοσόφου V. διήγησις τετάρτου τοῦ τετάρτου φιλοσόφου A 20 ἦν] ὢν B 22 αὐτὸς] οὗτος? *om.* D

καὶ εὐμεγέθης, ὡς ἐκ τοῦ πάχους μὴ καθορᾶσθαι τὰ τούτου αἰδοῖα. τοῦτον θεασάμενος ὁ λουτράρης ὡς κακοῦ ὄντος τοῦ πάθους ἔκλαιεν. ὁ δὲ τοῦ βασιλέως υἱὸς πρὸς αὐτὸν εἶπεν· „ἵνα τί οὕτως δακρύεις ἐλεεινῶς;“ ὃ δὲ ἀντέφησεν ὅτι „κλαίω, διότι „ὁρῶ σε, βασιλέως ὄντα σε υἱόν, σὺ δὲ υἱὸν οὐ „δυνήσῃ κτήσασθαι. ὁρῶ γάρ σε μὴ ἔχοντα τὰ τῶν „ἀνδρῶν αἰδοῖα· καὶ πῶς δυνήσῃ γυναικὶ συγγε„νέσθαι;“ ὁ δὲ νέος τὰ ῥήματα τοῦ λουτραρίου εὐφροσύνως δεξάμενος, δέδωκεν αὐτῷ χρυσίον, λέξας πρὸς αὐτόν· „θέλω γινώσκειν σε ὡς ὁ βασιλεὺς „ὁ πατήρ μου γυναῖκά μοι ἀγαγέσθαι βούλεται· καὶ „τοῦτο ὅπερ μοι εἶπας καὶ ἐγὼ γινώσκων, ἀπορῶ „τὰ μέγιστα, πῶς ἔσται μοι ἐκείνῃ τῇ γυναικὶ κατὰ p. 49 B. „τὴν τάξιν τῶν ἀνδρῶν συναφθῆναι. ἀλλὰ νῦν λάβε „τουτονὶ τὸν χρυσὸν καὶ ἀπελθὼν φέρε μοί τινα „γυναῖκα περικαλλῆ, ὡς ἂν ἐπ' αὐτῇ δοκιμάσω „ἐμαυτόν.“ ὁ δὲ λουτράριος τὸν χρυσὸν λαβών, ἔλεγεν ἐν ἑαυτῷ· „ἐνέγκω ἐνθάδε τῷ νέῳ βασιλεῖ „τὴν ἐμὴν γυναῖκα, ἐπεί, ὡς ὁρῶ, οὐκ ἔχει μόριον „πρὸς συνουσίαν.“ καὶ ταῦτα συλλογισάμενος, ἀπελθὼν ὁ μάταιος ἤνεγκεν αὐτῷ τὴν ἑαυτοῦ σύζυγον. ὁ δὲ τοῦ βασιλέως υἱὸς εἰσήγαγε τὴν γυναῖκα ἔνθα ἡ στρωμνὴ ἐν τῷ λοετρῷ ἡτοίμασται, καὶ ὅλην τὴν νύκτα ὡς συνήθεια τοῖς ἀνδράσι τῇ γυναικὶ συνεμίγνυτο. εἶτα περὶ τὴν αὐγὴν παρακύψας ὁ λουτράριος ἀπό τινος ὀπῆς, ὁρᾷ τοῦτον

6 σε, *nescio an delendum sit; potest tamen ab auctore profectum esse, ut structura interrupta pergat l.* 7. *cf. p.* 19, 9. 31, 20. 38, 21. 23. 15 λάβε ABV; *u.* 8, 14 16. 18 χρυσὸν] χρυσοῦν? 16 φέρε 22 ἤνεγκεν: *cf.* 20, 20 19 ἐνέγκω *fut. loco est;* ἂσ φέρω D ἐνθάδε *scripsi:* τάδε ABV, *om.* D 24 ἡτοίμαστο? 26 . . μμ . . V

γαυριῶντα μεγάλως καὶ ὥσπερ ἵππον μετὰ χρεμετισμοῦ τῇ γυναικὶ μιγνύμενον· καὶ πικρῶς ὁ βαλανεὺς ἀνοιμώξας ὠδύρετο λέγων· „οἴμοι, τίς γένω„μαι; τί πέπονθα ὁ τάλας; τί εἴπω τῇ γυναικί μου, „ἢ αὐτὴ τί εἴπῃ πρός με; ἆρα θελήσει ἐμοὶ συνοι„κεῖν ἢ τὸν νέον ἀγαπήσασα, ἐμὲ καταλείψει;“ οὕ-
p. 50 B. τως οὖν τοῦ ἀνδρὸς τῇ ἀθυμίᾳ τρυχομένου, ὡς ὁ νέος ἐπαύσατο, ὁρᾷ τὴν γυναῖκα ἐκεῖθεν ἐξερχομένην καί φησι πρὸς αὐτὴν ὁ ματαιόφρων ἀνήρ· „ἄπιθι τὸ λοιπόν, γύναι, πρὸς τὴν οἰκίαν ἡμῶν.“ ἡ δὲ πρὸς αὐτὸν ἀντέφησε· „πῶς ἄρα προθύμως „ἐπὶ τὴν οἰκίαν πορεύσομαι, οὕτως παρὰ σοῦ ὑβρι„σθεῖσα ὁλόκληρον νύκτα, ὅς με τὴν σὴν γυναῖκα „οὐκ ἐνετράπης τῷ τοῦ βασιλέως υἱῷ συγκοιτάσαι;“ τούτοις τοῖς λόγοις ὁ ἀνὴρ τρωθείς, τῇ λύπῃ καὶ τῇ πολλῇ ἀθυμίᾳ λιποψυχήσας τὴν ζωὴν κατέστρεψε. Διὸ καὶ σύ, βασιλεῦ, μακροθύμησον καὶ μὴ σπεύσῃς οὕτως ἀνερευνήτως ἀπολέσαι σου τὸν υἱόν, μή πως καὶ σὺ κατ' ἐκεῖνον τὸν μὴ ἐξετάσαντα βαλανέα πικρότατα μεταμεληθεὶς τὸ ζῆν ἐκμετρήσῃς. πῶς γὰρ ἕνα σε παῖδα καὶ μόνον κεκτημένον οὕτω συναρπάζεσθαι πρέπον εἰς τὴν ἐκείνου ἀναίρεσιν; καὶ ταῦτα μὴ γινώσκοντά σε καθαρῶς εἴτε ἀληθὲς εἴτε ψευδὲς τὸ κατ' ἐκείνου λαλούμενον. καὶ δὴ πρὸς τούτοις ἕτερόν τί σε βούλομαι διηγήσασθαι.

3 ἀνοιγκώσας A *τί ut* D? *u.* Cobet V. L. 106 γένομαι V 5 ἢ αὐτῇ V ἡ αὕτη A 6 ἢ VBD: ἡ A ἡ .. ἀγαπήσασα; Boiss. καταλίψει VB κατὰλίψει A: *correxit* Boissonade 7 τρυχωμένου V 10 τολοιπὸν V *saepius* 12 πορεύομαι A 14 συγκοιτᾶσαι VAB Boiss. 15 τοῖς *om.* A 18 ἀνερμηνεύτως VB ἀπωλέσαι V 20 μεληθεὶς A *omissa praepositione* ἐκμετρήσεις *libri*: *u.* 48, 20 25 σε] *cf.* 3, 11

Γυνή τις ἀνδρὶ νομίμῳ συζῶσα, ἄνδρα τὸν ἑαυτῆς p. 51 B. *εἴς τινα ὁδοιπορίαν βουλόμενον ἀπελθεῖν καὶ τῆς αὐτοῦ ἐξιέναι οἰκίας, συνθήκας καὶ ὑποσχέσεις τοῦτον ἐξήτησεν, ὁμοίως δὲ καὶ αὐτὸς αὐτήν. καὶ ἄμφω συνετάξαντο πρὸς ἀλλήλους ὡς τὴν κοίτην αὐτῶν ἀμίαντον διαφυλάξουσι καὶ σωφρονοῦντες ἔσονται ἄχρι τῆς τοῦ ἀνδρὸς ἐπαναστροφῆς. εἶτα καὶ ἀριθμὸν ἡμερῶν δέδωκεν ὁ ἀνὴρ τῇ γυναικί, ὅτι „μετὰ τὰς „ἡμέρας ταύτας εἰς τὴν οἰκίαν ἐπανελεύσομαι.“ διὸ καὶ τῆς διωρίας τῶν ἡμερῶν τελεσθείσης, ἡ γυνὴ τῇ ὁδῷ ἐπλησίαζε. (καὶ) ὁρῶσα εἴπερ ὁ ἀνὴρ αὐτῆς καθορᾶται ἐρχόμενος, οὐχ ἑώρα· ὅτε καὶ νέος τις αὐτὴν θεασάμενος, ἥλω τῷ ταύτης ἔρωτι καὶ ἤρξατο περὶ τούτου αὐτῇ διαλέγεσθαι. ἡ δὲ οὐδαμῇ οὐδαμῶς τοὺς περὶ ἔρωτος λόγους ἐδέχετο. ὁ δὲ νεανίας τῷ τῆς γυναικὸς ἔρωτι μάλα δηχθείς, πρός τινα γραῦν ἀπήει πλησίον τῆς ἐρωμένης οἰκοῦσαν καὶ λέγει τῇ γραΐδι ὡς „ἐξαίφνης ἰδὼν τὴν σὴν γει„τόνισσαν, ἠράσθην αὐτὴν καὶ πρὸς ὁμιλίαν ἐβια-* p. 52 B. *„σάμην· ἡ δὲ οὐδαμῶς εἰς τὸ παντελὲς ὑπακούει „μου, ἀλλὰ καὶ βαρέως τοὺς ἐμοὺς δέχεται λόγους. „εἰ οὖν σύ, ὦ μῆτερ, ταύτην καταπείσεις τοῖς ἐμοῖς „εἶξαι λόγοις, ὃ ἂν αἰτήσῃς με δώσω σοι.“ ἡ δὲ*

1 *lemma codd.*: *διήγησις τοῦ τετάρτου φιλοσόφου* *num delendum ἄνδρα τὸν ἑαυτῆς?* 6 *διαφυλάξωσι libri* 8 *λέγων ὅτι?* 9 *ἐπανελεύομαι* A 10 *διωρίας* ABV: *διορίας* Boissonade 11 *ἐπλησίαζεν* Val. Schmidt. *ego καὶ adieci: quod facere malui quam ἀλλ' addere ante οὐχ, quia tum dicendum erat ἐπλησίαζεν ὀψομένη* 12 *ὅτε καὶ cf.* 40, 10 16 *δειχθεὶς* VB 18 *γειτόνισαν* ABV: *corr.* Boissonade. *cf.* Corais Isocr. 110 (31) 19 *ἠρώθην* A *αὐτὴν et* 20 *εἰς non sunt mutanda; cf. p.* 159 B. *extr. inde ab hoc loco ubique uersuum politicorum dodecasyllaborum uestigia pellucent* 21 *μου* ABV: *μοι? sed cf.* Cobet. N. L. 520. 23 *με scripsi*: *μοι* ABV; *quamquam u.* 22, 8

γραῦς τῶν λόγων ἀκούσασα, λέγει τῷ νέῳ ὡς „ἐγὼ „τὴν κόρην εἰς θέλημα σὸν καταστήσω.“ καὶ τοῦτο εἰποῦσα, εὐθὺς ἐγείρεται, καὶ τεχνικῶς τὰ τοῦ πράγματος κατορθοῖ· ἄλευρον γὰρ ἀγαγοῦσα καὶ τοῦτο μεθ' ὕδατος ὡς ζύμην σμίξασα, πεπέρεως ὕστερον πολλοῦ γεμίζει τὸ ζυμάριον καὶ οὕτως αὐτὸ εἰς ψωμὸν κατασκευάζει. εἶτα ἑψήσασα καὶ τὸν ἄρτον λαβοῦσα, ἔτι δὲ καὶ ἣν εἶχε σκύλαν μεθ' ἑαυτῆς, πρὸς τὴν κόρην πορεύεται. ἦν δὲ ἡ κύων ὄπισθεν τῆς γραὸς ἀκολουθοῦσα. ὅτε δὲ τῷ οἰκήματι τῆς ἐρωμένης ἐπλησίασε, ῥίπτει τῷ κυναρίῳ ἐκ τοῦ ἄρτου ἐκείνου· ἡ δὲ κύων φαγοῦσα τοὺς ὀφθαλμοὺς αὐτῆς δακρύων ἐγεμίσθη ἐκ τοῦ πεπέρεως, καὶ
p. 53 B. σφοδρῶς δακρύουσα ἠκολούθει τῇ γραΐδι. ταύτης εἰσελθούσης πρὸς τὴν ἐρωμένην, ὁρᾷ αὕτη ἡ γυνὴ τὴν κύνα κλαίουσαν καὶ δάκρυα ἐκ τῶν ὀφθαλμῶν ἀφιεῖσαν· λέγει τῇ γραΐδι· „τίς ἡ αἰτία τῶν δακρύων τῆς κυνός;“ ἡ δὲ γραῦς τῇ ἐρωτομωραιοπλοκοσυνθέτῳ καὶ ποθαγαπημενοπλουμισμένῃ κόρῃ ἀπεκρί-

2. 9 κόριν A *μεταστήσω?* 4 *cf.* 21, 6 5 ὡς] εἰς ut fiat? *σμίξασα ex εἰσμίξασα correptum recentiorum est, cf.* Schäfer Greg. Cor. 679 *n.* πεππέρεως VB 8 *exciditne ἀγαγοῦσα?* *ἡ σκύλα, ἡ σκύλλα dicitur* canis femina, *ὁ σκύλος* mas. *cf.* Corais Heliod. 105 *m.* 10 δὲ VA: καὶ B. *sed ὅτε καὶ idem est atque τότε* 13 πεππέρεως VB 15 *ὁρῶσα? an* 17 *καὶ λέγει? cf.* 20, 13 17—19. 41, 6 *uersus integri. etiam in monstris illis uerborum, in quibus procudendis Graeculorum aetas infima mirum quantum sibi placebat, dodecasyllaborum uestigia restant.*
18 ..μοραιω.. ABV, ..μωραιο.. Boissonade *qui explicat* „dolis quos uesanus amor intexuit circumuentae“. *ego interpreter* comis prae nimio (in maritum) amore artificiose cincinnatis, *cum* Val. Schmidtio *πλοκοσύνθετος de cultu atque gradu capillorum intellegens ..μυραιω.. adtulit* Du Cange; *unde* Val. Schmidt *coniecit scr. esse ..μυριο..* 19 ..αγαπημενω.. ABV: *corr.* Boissonade *πλουμισμένη i. e.* ornata (*cf.* Corais Heliod. 299) 18. 19. 41, 1 *tria illa adi. om.* D

νατο μετὰ δακρύων· „αὕτη ἡ κύων, ἣν ὁρᾷς, γλαυκο„φθαλμοφρυδοβαπτόχειλε, θυγάτηρ μου, φεῦ, ἐτύγ„χανέ ποτε, καί τις νεανίας ἀγαπήσας αὐτὴν πρὸς „συνουσίαν ἠνάγκασεν· αὕτη δὲ οὐδ' ὅλως ἐκείνῳ „ἤκουσε. καὶ ὁ νέος ὑπὸ τῆς πολλῆς ἀθυμίας κατη„ράσατο ταύτην ἐκ πολυπόνου καρδίας, καὶ εὐθὺς „εἰς κύνα, οἴμοι, μετεβλήθη. καὶ ὁσάκις βουληθῶ „ἐξελθεῖν τῆς οἰκίας, οὕτω πικρῶς κλαίουσα ὀπίσω „μου ἀκολουθεῖ.“ ταῦτα τῆς μαστροποῦ μετὰ δακρύων εἰπούσης, ἡ κόρη καταπλαγεῖσα ἐφ' οἷς ἤκουσε καὶ ἑώρακε, φόβῳ συλληφθεῖσα τὴν καρδίαν εἶχε πηδῶσαν καὶ πρὸς τὴν γραῦν ἔλεγε· „φόβος „μοι πολὺς προσεγένετο ἀπὸ τῆς σῆς διηγήσεως· „νεανίας γάρ τις ἰδών με παρακύψασαν ἐκ τοῦ πα- p.54 B.
„ραθυρίου, ἐκρατήθη τῷ ἐμῷ ἔρωτι, καὶ πρὸς „συνουσίαν ἀναγκασθεῖσα οὐκ ἤκουσα· διὸ φοβοῦ„μαι μή ποτε πάθω, καθὼς πέπονθεν ἡ θυγάτηρ „σου, ἀπὸ κατάρας ἐκείνου. καὶ τὸ λοιπὸν ἀνα„στᾶσα πορεύου καὶ εὑροῦσα τοῦτον ὡς ἐμὲ ὁδή„γησον, καὶ ἐγώ σε φιλοτίμως ἀμείψομαι.“ ἡ δὲ γραῦς ἀπεκρίνατο· „ἐγὼ κατὰ τὸ σὸν θέλημα τοῦ„τον εὑροῦσα πρὸς σὲ φέρω. σὺ δ' ἀναστᾶσα κατα„κόσμησον τὴν οἰκίαν σου καὶ τὸ πρόσωπόν σου ἅμα

2 ..φρυδο.. *om.* VB. φρύδιον *natum est ex* ὀφρύδιον ..χειλε] Boissonade *uocabulum exiisse suspicatur in* ..χείλης, *interpretatus* filia glaucis ocellis, superciliis labiisque pictis: *cui officit* βαπτο *inter* οφθαλμο *et* χειλε *collocatum. mihi ante* φρυδο *nomen adiectiuum uidetur excidisse et* βαπτόχειλος, *quod eodem errore a recentioribus formatum esse potest quo* λεπτόχειλος *et* παχύχειλος, *intellegendum de labris quae ad basia incitant* 3 τις Val. Schmidt: τινος ABV 4 ἠνάγκασε ABV ἐκείνη V. — *an* ἐκείνου? 11 συληφθεῖσα V ληφθῆσα A 19 ὡς] *structura apud hos scriptores rarissima; solent dicere* εἰς 22 φέρω *u.* 20, 20

„τῷ σώματι μύροις νίψον.“ καὶ ἡ κόρη ἀναστᾶσα ἐν τῇ ἑαυτῆς στρωμνῇ κοσμίως διετέθη, καὶ δεῖπνον πολυτελῆ προητοίμασεν. ἡ δέ γε μαστροπὸς τὸν νέον ἐκεῖνον ζητήσασα οὐχ εὗρεν· ἕτερον δὲ νέον ἀντ' ἐκείνου εὑροῦσα, „ἀκολούθει μοι“ ἔφη· τούτου δὲ ἐρωτήσαντος „ποῦ ἀπάγεις με;“ ἡ γραῦς ἔφη· „φέρω σε, ὦ νεανία, εἰς οἶκον κοσμιώτατον „πάνυ, ἐν ᾧ καὶ ὡραιοτάτη καὶ περικαλλής (τις) „κάθηται, δρόσον ἀποστάζουσα τῇ ὀσμῇ, καὶ κατὰ „ἀλήθειαν σοι ἁρμοδία πρὸς συνουσίαν.“ ὁ δὲ ἀνὴρ
p. 55 B. τοῖς λόγοις τῆς γραὸς καταθελχθείς· „πορεύου ἔμ„προσθέν μου.“ κἀκείνης ἔμπροσθεν (πορευομένης) καὶ τούτου ὄπισθεν, εἰσῆλθον εἰς τὴν οἰκίαν. ὁ δὲ ἀνὴρ τὸν ἑαυτοῦ οἶκον ἑωρακώς, συνεταράχθη τῇ λύπῃ καὶ καθ' ἑαυτὸν ἔλεγεν ὡς „ἔοικε κατὰ ἀλή„θειαν ὅτι τοιαῦτα διέπραττεν ἡ σύζυγός μου, ἀφ' „οὗ ἐγὼ τῶν ὧδε ἐξῆλθον.“ εἰσαγαγοῦσα δὲ αὐτὸν ἡ προαγωγὸς ἐπὶ τῆς συνήθους κλίνης καθεσθῆναι πεποίηκεν. θεασαμένη δὲ ἡ γυνὴ ὅτι ὁ ἀνὴρ αὐτῆς ἐστιν, εὐτέχνῳ τινὶ πανουργίᾳ ἐνήργησε, καὶ εὐθὺς ἀναστᾶσα, χεῖρας ἐπέβαλε τῷ ἀνδρὶ καὶ τῆς αὐτοῦ γενειάδος ἀναιδῶς ἁψαμένη, πλήττει αὐτοῦ τὴν ὄψιν, καὶ σὺν δάκρυσιν ἐβόησε λέγουσα· „ὦ ἀκόλαστε καὶ „διεφθαρμένε, αὗται ἡμῶν αἱ πρὸς ἀλλήλους συν-

3 πολυτελῆ] *nam etiam* ὁ δεῖπνος *a recentioribus usurpatur* προητοίμασε ABV. παρητοίμασεν? μαστρωπὸς AV 8 περικαλλὶς V γυνή τις *deesse suspicabatur* Boissonade. *ego* τις *addidi; cf.* D *et p.* 12, 2 9 ὀσμῇ *u.* D 11 καθελχθεὶς ABV: καταθελχθεὶς Val. Schmidt „πορεύου“ ἔφη? 12 πορευομένης *adieci*; *u.* D 15 ἔλεγε ὡς ἔοικε A ἔλεγε· ὡς ἔοικε V ἔλεγεν· ὡς ἔοικε B 16 ὅτι τοιαῦτα *scripsi cl.* 43, 23: ὅτι αὐτὰ BV ὅτι αὐτᾶ A, *cf.* D δι' ἔπραττεν A 21 ἐπέβαλε V λ *eadem manu supra scriptum* 23 συνδ. V

„θῆκαι τυγχάνουσιν; οὗτοι οἱ μεθ' ὅρκου δεσμοί; „οὐ σωφρονεῖν ἐπηγγείλω μοι μέχρι τοῦ ἐπαναστρέ- „ψαι σε εἰς τὸν οἶκον; ἵνα τί λοιπὸν εἰς οὐδὲν ταῦτα p. 56 B. „θέμενος, εἰς θέλημα καὶ λόγους ἦλθες τῆς γραὸς „ταύτης;" ὁ δὲ ἀνὴρ ἐκπλαγεὶς σφόδρα ἐπὶ τῇ τοῦ γυναίου τοσαύτῃ διανοίᾳ καὶ αἰφνιδίῳ ἀναισχυντίᾳ, „καὶ τί ἦν τὸ ζήτημα ὃ σήμερον συνέβη σοι," ἔφη „γύναι;" αὕτη ἀπεκρίνατο· „ἐγὼ σήμερον ἠκηκόειν „καταλαβεῖν σε τὰς θύρας τοῦ κάστρου, καὶ δοκι- „μὴν βουληθεῖσα ποιήσασθαι τῆς πρὸς ἐμέ σου ἀγά- „πης καὶ ὑποσχέσεως, τὴν οἰκίαν σκοπίσασα καὶ „ἐμαυτὴν κοσμήσασα, προσποιητῶς ταύτην τὴν „γραῦν πρὸς σὲ ἔπεμψα, ἵνα δι' αὐτῆς δοκιμάσω „[σου] τὴν τῆς γνώμης σου βούλησιν καὶ ἐάνπερ „σωφροσύνην ἐτήρησας· καὶ ἰδοὺ ἐν γνώσει κακὰ „ἔχοντα εἶδόν σε καὶ τῶν ἐνόρκων συνθηκῶν κατα- „φρονητήν. λοιπὸν οὐκ ἔτι ἔσομαι μετὰ σοῦ εἰς γυ- „ναῖκα· ἀλλ' οὐδέποτε φιλίαν ἢ ἀγάπην ἕξω πρὸς „σὲ καθαράν." ὁ δὲ ἀνὴρ ὁ μάταιος ἔφη πρὸς αὐ- τήν· „ὦ γύναι, ἐγὼ μᾶλλον κατὰ σοῦ ὑποψίαν εἶ- „χον καὶ τὰ ἐναντία ὑπενόουν, καὶ ὡς εἶδόν σε „οὕτως κεκαλλωπισμένην καὶ πρὸς μῖξιν ἕτοιμον, „τοιαῦτα ἐνόμισα καὶ μετὰ ἑτέρων ἀνδρῶν ἐνεργεῖν p. 57 B. „σε. ἐπεὶ δέ, ὡς λέγεις, χάριν δοκιμῆς ἐπ' ἐμὲ ταῦτα „ἐποίησας, φανεράν σοι ποιήσω καὶ τὴν ἐμὴν γνώ-

1 *τυγχάνουσι* ABV 3 *εἰς οὐδέν*] *i. e. ἐν οὐδενὶ λόγῳ. παρ' οὐδέν* 7 ὃ] τὸ A. *ὃ τὸ coni.* Boissonade 8 *καὶ αὐτὴ* D 8 *ἐνενοήκειν?* 9 *κάστρου i. e. τῆς πόλεως* 14 *delendum σου alterutrum* *ἐάνπερ incertum utrum librario an scriptori tribuendum* 15 *γνώσει*] *γνώμῃ?* 16 *ἐνόρκω* A: *inde ci.* Boissonade *ἐν ὅρκῳ. sed tum scriptor uidetur potius dicturus fuisse σὺν ὅρκῳ, μεθ' ὅρκου. ὄντα καταφρονητήν?* 17 *εἰς*] tamquam 22 *μίξιν libri* 23 *ἐνομίσασα* V

„μην. ἐγὼ τούτου χάριν ἠκολούθησα τῇ γραΐδι, τοῦ „ἰδεῖν εἰ πρὸς τὴν ἐμὴν προσκαλεῖται οἰκίαν· εἰ γὰρ „εἰς ἄλλην τινὰ οἰκίαν ἢ γυναῖκα ἔλεγέ μοι ἀπιέναι, „οὐκ ἂν ὑπέμενον κἂν ἀκοῇ τὸν λόγον ἀκοῦσαι.“ ἡ δὲ γυνὴ σχηματοποιήσασα ὡς μὴ τοῖς λεγομένοις δῆθεν πιστεύουσα, καὶ ἰσχυροτέρως τῇ λύπῃ καταφερομένη, ἤρξατο τύπτειν τὸ πρόσωπον καὶ τὰ ἱμάτια σχίζειν καὶ βοᾶν ὡς „οὐκ ἔτι τοῖς ὅρκοις πι„στεύσω, ἐπεὶ μηδεμία ἐστὶν ἐν αὐτοῖς ἀλήθεια.“ ταῦτα πρὸς τὸν ἄνδρα ποιήσασα, ἀρκετὸν καιρὸν προσποιητῶς τοῦτον ἐμνησικάκει μὴ λαλήσασα αὐτόν, καὶ οὐ πρότερον ἀγάπην τούτῳ πεποίηκεν ἄχρις οὗ ἐκεῖνος πολλὴν ἔξοδον καλλωπισμοῦ ἐκ χρυσοῦ p. 58 B. ταύτῃ ἐχαρίσατο, ἅμα δὲ καὶ ἱμάτια. Καὶ νῦν, ὦ βασιλεῦ, ἀπὸ ταύτης γνῶθι τῆς διηγήσεως, ὡς οὐδὲν τῶν ἀνθρώπων πρὸς τὰς τῶν γυναικῶν μηχανουργίας δύναται μαχέσασθαι.“

Οὕτω παρὰ τοῦ τετάρτου συμβούλου ὁ βασιλεὺς ἀκροασάμενος, κελεύει τὸν υἱὸν αὐτοῦ μὴ ἀποκτανθῆναι. ἡ δὲ μαινὰς ἐκείνη τοῦ βασιλέως παλλακὴ νοήσασα τὴν τοῦ βασιλέως ἀναβολήν, ἣν περὶ τὸν ἄδικον φόνον τοῦ υἱοῦ αὐτοῦ ἀναβάλλεται, κατὰ

2 εἰδεῖν V 6 δῆθεν *a scriptore profectum* καταφερομένῃ V *ut saepius* 8 *u.* D 9 μὴ δὲ μία V 11 τοῦτον ἐμνησικάκει *scriptores Byzantini dixerunt, praecedente fortasse* Xen. Eph. II, 9, 1 *p.* 353, 25 Hr. *ubi* u. not. *p.* 229 Peerlk. λαλήσασα *scripsi:* λαλῆσαι ABV 12 πεποίηκεν *cf. p.* 70 B. 13 ἡ ἔξοδος *e sermone uolgari iam a Polybio,* τὸ ἔξοδον *a Graecis hodiernis dicitur* expensa. *neque tamen maritus pecuniam ei donauit unde ornatum sibi pararet, quod ne sumamus prohibent et* ἐκ χρυσοῦ *et* ἱμάτια, *sed mundum muliebrem ipsum.* 15 οὐδείς? *nisi significat* nichts auf der Welt 18 οὕτω] *solet dicere* τούτων τῶν λόγων *uel* τούτων. (*p.* 24. 60. 70 B.) ἔτζη D 20 ἡ *in* V *librarius rubro colore addere oblitus est: id quod plerumque non adnotaui* παλακὴ V

τὴν τετάρτην ἡμέραν παρέστη τῷ βασιλεῖ κρατοῦσα ἐν ταῖν χεροῖν δεσμόν τινα βοτανῶν καὶ λέγει αὐτῷ· „ἰδού, βασιλεῦ, φάρμακον δηλητήριον ἐπιφέρομαι, καί σοι τὸν ζῶντα θεὸν ἐπόμνυμι ὡς (εἰ) μὴ ἀπὸ τοῦ σοῦ παιδὸς ἐκδικήσεις με καὶ ξίφει αὐτὸν ἀναλώσεις ὅτι ἐνύβρισεν ἀναισχύντως σώφρονι οὔσῃ κἀκ σωφρόνων γονέων, ἐξ αὐτοῦ τοῦ βλαπτικοῦ καὶ θανατηφόρου φαρμάκου πίομαι καὶ βιαίως τῆς ψυχῆς ἀποχωρισθήσομαι· καὶ ἔσται σοι θεόθεν τῆς ἀπωλείας μου ἕνεκα ἀσυγχώρητος ἡ κατάκρισις. πόθεν δὲ οὗτοι οἱ σοφοί σου σύμβουλοι ὠφελῆσαί σε δυ- p. 59 B. *νήσονται; ἀλλὰ μᾶλλον νομίζω, συμβήσεταί σοι ὑπ' αὐτῶν ὥσπερ καί τινι τῶν χοίρων ἐγένετο. Συνήθως γὰρ εἶχεν ἐκεῖνος ὁ χοῖρος ἐπί τινα συκῆν [δένδρον] πορεύεσθαι καὶ τὰ ἀποπίπτοντα ἐκ τοῦ δένδρου σῦκα ἐσθίειν. καὶ μιᾷ τῶν ἡμερῶν κατὰ τὸ εἰθισμένον πορευθεὶς πρὸς τὴν συκῆν, ὁρᾷ τινα πίθηκα [κατὰ] τῆς συκῆς ἐπαναβάντα καὶ τὰ σῦκα ἐσθίοντα. ὁ δέ γε πίθηξ τὸν χοῖρον θεασάμενος, ῥίπτει αὐτὸν κάτω ἓν σῦκον, ὅπερ φαγὼν ὁ χοῖρος, γλυκύτερον τῶν ἄλλων τῶν κάτω πιπτόντων σύκων κατεφάνη. καὶ πάλιν ἄλλο σῦκον ἐκ τοῦ πίθηκος*

1 *κρατοῦσα* tenens 4 *καὶ σοὶ* V *ἐπ' ὤμνυμι* V *εἰ adiecit* Boissonade 6 *με ὕβρισεν* A *ὕβρισεν* BV: *scripsi ἐνύβρισεν. quo nisi duceret quod in* A *est, datiuum uerbo ὑβρίζειν quod hic scriptor subiunxerit non magis mirer quam quod subiunxit Cinnamus uerbo λυπεῖν* 11 *οὗτοι*] *τότε*? 13 λ *lemma*: *πέμπτον* (AB; *πά i. e. πάλιν* V) *παράδειγμα τῆς γυναικός* *συνήθειαν* V, D. *cf. p.* 11. 38. 40. 125. 143 B. 14. 17 *συκὴν et* 16. 18 *σύκα* V: *talia plerumque praetermisi* 15 *δένδρον seclusi; om.* D 18 *κατὰ seclusi* 20 *αὐτῷ*? *κάτωθεν* ABV: *ἄνωθεν requiritur. scripsi κάτω ἓν* 22 *κατεφάνη scripsi*: *κατέφαγε libri*; *quod ut potius quam φαγὼν corruptum iudicauerim effecit γλυκύτερον; u.* D *ἄλλον* ABV: *ἄλλο*

καταλαβεῖν ἤλπιζεν. ὡς δ' ὁ πίθηξ ἄλλο σῦκον οὐκ ἔρριψεν, ἵστατο κάτωθεν ὁ χοῖρος ἐκτεταμένον ἔχων ἄνω τὸν τράχηλον καὶ βλέπων ἀδιαλείπτως τὸν πίθηκα. ἐπὶ πολὺ δὲ τοῦ χοίρου ἄνω τοὺς ὀφθαλμοὺς ἔχοντος, αἱ τοῦ τραχήλου αὐτοῦ φλέβες ἀπεψύγησαν· καὶ παρευθὺς ὁ χοῖρος τῆς ζωῆς ἀπερράγη."

p. 60 B. Τούτων ὁ Κῦρος παρὰ τῆς γυναικὸς ἀκούσας καὶ φοβηθεὶς μή πως ἑαυτὴν τῷ βλαβερῷ ἐκείνῳ κτείνῃ φαρμάκῳ, καὶ αὐτὸς αἰτία φανήσεται τοῦ θανάτου αὐτῆς, κελεύει πάλιν τὸν υἱὸν ἀναιρεθῆναι. Τότε ὁ πέμπτος σύμβουλος καὶ φιλόσοφος κατὰ τὴν πέμπτην ἡμέραν εἴσεισι πρὸς τὸν βασιλέα, καὶ συνήθως αὐτὸν προσκυνήσας, φησί· „ζώοις εἰς τὸν αἰῶνα, βασιλεῦ. ἀκριβῶς γινώσκω σε, βασιλεῦ, ὡς ἄκρος τῇ γνώσει καὶ τῇ σοφίᾳ καὶ τῇ παιδεύσει γεγένησαι· ἵνα τί τοίνυν ὁ οὕτω συνέσεως ἔχων ἀσυλλόγιστον ἀποφαίνῃ τὴν καταδίκην, εἰ μὴ πρότερον συζητεῖς καὶ ἐρευνᾷς τὴν ἀλήθειαν; ὅθεν καὶ ἄκουσόν μου τῆς διηγήσεως.

Ἦν γάρ τις στρατιώτης ἀνήρ, ὅστις τῷ βασιλεῖ καὶ τοῖς ὑπ' αὐτὸν ἄρχουσιν ᾠκείωτο καὶ ἠγαπᾶτο

Boissonade. *cf. p.* 25, 26 1 λαβεῖν A. ἂν *non est addendum* ἄλλο AB: ἄλλον V 2 ἵστατο Boissonade: ἵσα τό A ἴσα τὸ V ἰσατὸ B 3 βλέπων *u.* 23, 21 5 ἀπεψίγησαν V 7 τούτων *cf. p.* 44, 18 9 αἴτιος? φανήσεται *scriptoris est, cf.* 21, 24. 48, 20. *p.* 72 B. 11 *lemmate caret* V. πέμπτος φιλόσοφος AB 13 ζῴοις *cf. n. ad Babr.* 12, 7. *uidetur scribendum* ζῴης 14 ἀκριβῶς γ. σε ὦ β. *om.* V, *ab altero* βασιλεῦ ἀκρ. *ad alterum transiliens* 15 ἄκρως ABV: *correxit* Boissonade 17 εἰ μὴ] *sententia ex his duabus confusa* ἵνα τί .. ἀσυλλόγιστον ἀποφαίνῃ τ. κ. μὴ π. συζητῶν (eo quod —) *et* ἀσυλλ. ἀποφ. τ. κ. εἰ μὴ π. συζητεῖς, *cum scriptoris menti obuersaretur* quod facis nisi cum —. *an pro u.* εἰ *legendum* ὅτι? 18 σὺ ζητεῖς V 20 *lemma* διήγησις πέμπτου φιλοσόφου 21 ὠκείοτο V

(τῆς) γενναιότητος καὶ ἀνδρείας. ὁ δὲ τοιοῦτος στρατιώτης σκύλον ἀνέθρεψε μικρόθεν, καὶ ὅσα ἐνετείλατο τῷ σκυλακίῳ, ἐποίει, ὡς λόγον ἔχον· ὅθεν καὶ μετὰ πολλῆς ἀγάπης ἔτρεφεν ὁ στρατιώτης τὸν p. 61 B. κύνα. ἐν μιᾷ γοῦν τῶν ἡμερῶν ἡ τοῦ ἀνδρὸς σύζυγος πρὸς τοὺς ἑαυτῆς ἀπῆλθε γονεῖς καὶ τὸ αὐτῆς νηπιάζον παιδίον ἀφῆκε τῷ πατρὶ αὐτοῦ, παραγγείλασα αὐτῷ πολλὰ περὶ τοῦ παιδίου, ὥστε βλέπειν καὶ προσέχειν αὐτό. εἶπε γὰρ τῷ ἀνδρὶ ὅτι „οὐκ „ἀργήσω, ἀλλὰ συντόμως ἐλεύσομαι,“ καὶ οὕτως εἰποῦσα, τὸ παιδίον ἐκοίμησε καὶ ἀπῆλθε. τοῦ δὲ ἀνδρὸς (ἐν) τῇ οἰκίᾳ καθημένου καὶ τοῦ παιδίου κοιμωμένου, ἐξαίφνης τις τῶν τοῦ βασιλέως εἰσῆλθε στρατιωτῶν· καὶ τὴν θύραν κρούσαντος, ἐξελθὼν ὁ ἀνήρ, ἰδὼν τὸν παρὰ τοῦ βασιλέως πεμφθέντα, λέγει αὐτῷ· „τί σὺ θέλεις;“ ὃ δὲ λέγει· „ὁ βασιλεὺς καλεῖ σε.“ καὶ ὁ στρατιώτης ἅμα τῷ λόγῳ τὰ στρατιωτικὰ ἐνεδύσατο ἅρματα καὶ τὴν σπάθην ἀράμενος, προσκαλεῖται τὸν σκύλον καὶ παραγγέλλει αὐτῷ φυλάσσειν τὸν οἶκον καὶ τὸ παιδίον, μηδένα ἐάσας εἰσελθεῖν εἰς τὸν οἶκον. ὁ μὲν οὖν στρατιώτης τὸν κύνα παραγγείλας, ἀπῆλθε πρὸς τὸ παλάτιον· τοῦ δὲ σκύλου τῷ παιδὶ παρακαθημένου καὶ τοῦ παιδὸς p. 62 B.

1 τῆς *adieci* 2 σκύλον *cf.* 40, 8 ἐνετείλετο τῷ σκυλακίῳ VB ἐνέτυλε τὸ σκυλακίω A: *emendauit* Val. Schmidt. ἐνέτειλε, τὸ σκυλάκιον Boissonade 3 ἔχων ABV: *correxit* Boissonade 7 παραγγείλας VB παραγκείλας A: *correxit* Boissonade 8 πολλὰ V: *om.* (AB) Boissonade 9 αὐτῷ? γάρ] δὲ? *cf. n. ad p.* 30, 13. 17, 21 10 ἐλεύσομαι *ex sermone uolgari dictum pro u. composito* ἐπάνειμι 12 ἐν *addidi* 13 ἦλθε? 14 καί] οὖ? 18 ἅρματα AB, ἅρμ$\overset{\tau}{\alpha}$ V *uno addito puncto, quod significat* ι, *cum duo l.* α *reddant*: ἅρματα Boissonade, D. *fortiore aspiratione hodierni Graeci uti dicuntur* 21 οὕτω τὸν? *u.* D

κοιμωμένου, ὁρᾷ ὁ κύων ὄφιν τινὰ παμμεγέθη ἐρχόμενον κατὰ τοῦ παιδὸς καὶ αὐτοῦ ἐκροφῆσαι τὸ αἷμα σπουδάζοντα. καὶ παρευθὺς ὁ κύων ἐγερθεὶς πόλεμον πρὸς τὸν ὄφιν ἐποίησε καὶ καταδακὼν αὐτόν, νεκρὸν αὐτὸν ἀπειργάσατο. κατ' αὐτὴν δὲ τὴν ὥραν ἦλθε καὶ ὁ στρατιώτης, καὶ ὁ κύων μετὰ χαρᾶς τούτῳ ἀπήντησεν. ἰδὼν δὲ ὁ στρατιώτης τὸ στόμα τοῦ σκύλου ᾑμαγμένον, ἔδοξεν αὐτῷ ὡς ὁ κύων τὸ παιδίον ἔφαγε, καὶ κρούσας αὐτὸν τῷ ξίφει ἀπέκτεινεν. εἶτα ἐντὸς τοῦ οἴκου γενόμενος, ὁρᾷ τὸν παῖδα κοιμώμενον ἀβλαβῆ, θεωρεῖ δὲ καὶ τὸν ὄφιν σκοτωμένον καὶ πρὸς τῇ κεφαλῇ τοῦ παιδίου κείμενον· καὶ ἅμα ἔγνω ὡς ὁ κύων τὸν ὄφιν ἐφόνευσε, καὶ πικρῶς ὠλοφύρετο ὅτι χωρὶς ἀφορμῆς τὸ τοιοῦτον ἀπέκτεινε κυνάριον. οὐδὲν δὲ ὁ κύων ἐκ τῆς τοῦ αὐθεντὸς αὐτοῦ μεταμελείας ὠφεληθῆναι ἠδυνήθη, οὐδὲ ὁ στρατιώτης ἠδυνήθη ἀπὸ τῆς λύπης καὶ τῆς μεταμελείας ἐγεῖραι τὸν κύνα. Διὸ καὶ σύ, βασι- p. 63 B. *λεῦ, μὴ οὕτως ἀσκέπτως τὸν υἱόν σου φονεύσῃς, μή πως καὶ τῷ σῷ κράτει μετάμελος γενήσεται ὕστερον ὡς τῷ στρατιώτῃ. καὶ ἴσως ἐκεῖνος περί τινος*

1 *ἕρποντα?* 3 *σπουδάζοντος* ABV *et* 7 *ἀπήντισεν* ABV: *correxit* Boissonade 5 *τὴν ὥραν cf.* 27, 15 7 *ante τὸ στόμα in* V *extat alterum ἰδὼν* 11 *ἀβλαβῶς* A *σκοτωμένον i. e.* interfectum *scripsi, ut* D: *σκοτομένον* ABV. *ἐσκοτωμένον dicere debebat. σκοτούμενον* Du Cange 14 *ὀλοφύρετο* ABV: *uitium tam frequens cum Boissonadio tollere malui*
τοιοῦτον] *ex usu scriptoris nescio an addendum sit adiectiuum πιστόν* 16 *αὐθεντὸς*] *uide ind. et p.* 94 B. 17 *οὐδὲ ὁ στρ. ἠδ. om.* A *more solito* 20 *πως* V: *πω* (AB) Boissonade *γενήσεται scriptoris est* 21 *ἴσως*] *ἀλλ' ἐκεῖνος ἐμετανόησε διὰ σκύλον* Ven; *cf.* D. *itaque fieri potuit ut hic exciderit post ἴσως* (suo iure): *μετεμελήθη οὕτως. sed nescio an quae insunt in libris ita possint explicari ut sapiens dicturus fuerit ἴσως* (fortasse) *ἐκεῖνος περὶ ζῴου* (quippe qui in bestiam

ζώου καὶ ταῦτα κυνὸς ὄντος φιλοδεσπότου· σὺ δὲ περὶ υἱοῦ τίνα ἕξεις ἀπολογίαν, ἀδίκως καὶ ἐξ ἀκοῆς μόνης τοιαῦτα ἐπιχειρήσας; ὅμως μέντοι γε, ὦ βασιλεῦ, καὶ ἄλλης διηγήσεως ἐπισχὼν ἄκουσον, παρακαλῶ.

Ἀνήρ τις ἦν τῇ γνώμῃ σαθρός, ἀκόλαστος τῇ φύσει καὶ πορνοκόπος· ὃς ὁπόταν περί τινος ὡραίας γυναικός τι ἤκουε, πᾶν πρᾶγμα δευτέρου λόγου ἐποιεῖτο, καὶ ἐν πρώτοις ὅσον ἠδύνετο ἐσπούδαζεν ἕως οὗ αὐτὴν ἐκ παντὸς τρόπου συμμιγῇ. τούτῳ γοῦν τοιούτῳ τὴν φύσιν ὄντι περί τινος ἤκουσται γυναικὸς λίαν ὡραιοτάτης, ἥτις καὶ ἔν τινι χώρᾳ τὴν οἴκησιν ἐποιεῖτο· ἐν ᾧ χωρίῳ ἀπέστειλεν ὁ ἐραστὴς ἐκεῖνος, καὶ παρακαλῶν καὶ βιαζόμενος πρὸς συνάφειαν. ἡ δὲ γυνὴ σωφρονεστάτη οὖσα, οὐ προσεδέξατο τὴν τοῦ ἀνδρὸς παράκλησιν ἢ ἀπειλήν. ὁ δέ γε θηλυμανὴς ἐκεῖνος ἀνὴρ μὴ οὕτως ἀποδιωχθεὶς παρὰ γυναικὸς παρῃτήσατο, ἀλλ' ἐπ' ἐκείνῳ p. 64 B. τῷ χωρίῳ παραγενόμενος, ἀναισχύντως ὡς εἰς ξενοδοχεῖον καταλύει ἐν τῷ οἰκήματι τῆς ἐρωμένης. εἶτα ὡς τὸ πρότερον ἐπεχείρει ταύτην βιάζεσθαι. ἣ δὲ οὐδαμῶς εἶξε τοῖς λόγοις αὐτοῦ. οὗτος οὖν ὁ ἀνὴρ τῷ ἔρωτι τῆς γυναικὸς τρωθείς, ἀπέρχεται πρός τινα γραῖαν καὶ διηγεῖται τὰ περὶ τοῦ πράγματος. καὶ

tantum peccauerit) καὶ ταῦτα (quamuis) κυνὸς ὄντος φιλοδεσπότου ἕξει τινὰ ἀπολογίαν, σὺ δὲ περὶ υἱοῦ οὐχ ἕξεις, *a qua structura prae magno animi motu discesserit* 3 γε V: *om.* (AB) Boissonade 4 παρακαλῶ *om.* A 6 *lemma in* B: ἑτέρα τοῦ αὐτοῦ 7 ὃς *scripsi*: ὡς ABV. *cf. p.* 16. 32. 88. 125; 60. 118. 148 B. 9 ἠδύνετο *et* αὐτὴν *scriptoris sunt* 11 ἤκουστο? 12 ἔν τινι Boissonade: ἔν τι ABV 13 ἐν ᾧ *i. e.* εἰς ὃ 14 ἐκεῖνος, καὶ] ἐκεῖνος πολλάκις,? 16 ἢ] καὶ? 18 παρὰ τῆς? παρῃτήσατο] incepto destitit 22 οὗτος] οὕτως? 24 καὶ] ἢ καὶ?

ἡ γραῦς τούτῳ ἀπελογήσατο εἰποῦσα· „ὦ ἄνθρωπε, „ἀκαίρως ζητεῖς καὶ κοπιᾷς εἰς μάτην περὶ αὐτῆς· „αὕτη γὰρ τῶν πάνυ σωφρόνων ἐστί, καὶ οὐ τῶν „πορνῶν ὡς σὺ ἐνόμισας.“ καὶ ὁ ἀνήρ· „ὦ μῆτερ, „ἐὰν καταπείσῃς αὐτὴν τῷ ἐμῷ θελήματι, εὐθὺς εἴ „τι ζητήσεις παρ᾽ ἐμοῦ, εὐκόλως σοι ἀποδώσω.“ ἡ δὲ γραῦς τὴν δόσιν τοῦ χρυσίου ἀκούσασα, „ἐγὼ“ φησὶ τῷ ἀνδρὶ „τὴν ἐπιθυμίαν σου ἐκτελέσω. τὸ „λοιπὸν ἄπελθε πρὸς τὸν ἄνδρα ἐκείνης, καὶ εὑρή„σεις αὐτὸν σκεπασμένον μετὰ ῥούχου [ἢ σινδόνην „ἢ ἐφάπλωμα]. ζήτησον οὖν τοῦ πωλῆσαί σοι αὐτό· „καὶ λαβὼν τὸ ῥοῦχον φέρε μοι ἐδώ.“ ὁ δὲ νέος ἅμα
p. 65 B. *τῷ λόγῳ πορεύεται εἰς τὴν ἀγορὰν καὶ τὸ σχῆμα τοῦ ἀνδρὸς μαθὼν παρ᾽ αὐτῆς καὶ τὸ ἐργαστήριον, ἦλθε πρὸς αὐτὸν καὶ λέγει· „πώλησόν μοι τόδε σου „τὸ ἱμάτιον.“ ὃ δὲ διεπώλησεν αὐτῷ. καὶ λαβὼν ὁ νέος τὸ ἔπιπλον διεκόμισε τῇ γραΐδι. ἡ δὲ γραῦς μετὰ χαρᾶς τοῦτο δεξαμένη, εὐθὺς τρία μέρη τοῦ σκεπάσματος ἐκείνου κατέκαυσε καὶ τῷ ἐραστῇ ἔφησε· „κάθου ὧδε ἐν τῷ ἐμῷ ὀσπητίῳ, καὶ μηδεὶς ἔξω ἄν„θρωπος ἴδῃ σε.“ τὸ δὲ ἔπιπλον λαβοῦσα ἐπορεύθη ἐπὶ τὴν οἰκίαν τῆς γυναικός, καὶ ἐξαίφνης εἰς τὴν οἰκίαν εἰσελθοῦσα καὶ τὸ βλέμμα ὑποκλέψασα τῆς κόρης, ἔθηκεν ὑποκάτω τοῦ προσκεφαλαίου τῆς κλίνης τοῦ ἀνδρός· καὶ ὀλίγην ὥραν τῇ γυναικὶ ὁμι-*

1 *τούτω* V *cl.* D: *οὕτως* (AB) Boiss. 9 *ἐκείνης*] *αὐτῆς* V 10 *αὐτὸν*] *ἐκεῖνον* V *σκεπασμένον i. e. ἐσκεπασμένον μετὰ ῥούχου i. e. ἱματίῳ ἢ σινδόνην* (*σινδόνιν* V) *ἢ ἐφάπλωμα deleuit* Boissonade 11 *ζήτησον οὖν*] *num adiciendum αὐτόν?* 12 *ἐδώ uel ἐδῶ est* huc 16 *αὐτῷ scripsi: αὐτό* ABV 20 *ὀσπητίω* VB *ὀσπητίῳ* A: *ὀσπιτίῳ* Boissonade. *hodierni Graeci dicunt et ὀσπίτιον et ὀσπήτιον; sunt etiam qui ὀσπήτιον probent. sine dubio autem est Latinorum* hospitium

λήσασα, ἀπῆλθε, τῆς γυναικὸς μηδ' ὅλως γινωσκούσης τὸ πραχθὲν παρὰ τῆς γραός. περὶ δὲ τὴν ὥραν τῆς τροφῆς ὁ ἀνὴρ ἐλθὼν ὁ τῆς γυναικὸς ἀνέπεσεν ἐπὶ τῆς κλίνης αὐτοῦ. τοῦ δὲ προσκεφαλαίου ὑψηλοῦ ὄντος, ἀνασηκώσας τοῦ τιθέναι καλῶς, βλέπει ὑπ' αὐτῷ κείμενον τὸ ῥοῦχον, ὅπερ ἐπώλησε τὸν νεανίσκον· καὶ πρὸς μὲν τὴν ὁμόζυγον οὐδὲν περὶ τοῦ ῥούχου ἐφθέγξατο, ἀλλ' εὐθὺς ἐγερθείς, τὰς p. 66 B. χεῖρας ἐπέβαλε τῇ γυναικὶ καὶ πολλὰς πληγὰς αὐτῇ περιέθηκεν. ἡ δὲ γυνὴ δειθοπαθήσασα τὴν καρδίαν, τῆς οἰκίας ἐξῆλθε καὶ πρὸς τοὺς ἑαυτῆς γονεῖς παραγίνεται. καὶ διηπόρει καθ' ἑαυτὴν καὶ ἐστέναζε, δι' ἣν αἰτίαν ἔδειρεν αὐτὴν ὁ ἀνὴρ αὐτῆς. ταῦτα δὲ μαθοῦσα ἡ γραῦς παρά τινων, πορεύεται καὶ αὐτὴ ὅπου ἦν ἡ κόρη [πρὸς τοὺς γονεῖς αὐτῆς]. καὶ εἰσελθοῦσα πρὸς τὴν κόρην, περιπαθῶς λυπουμένη ἔλεγε πρὸς αὐτήν· „ἤκουσα πῶς ἀνήρ σου σφοδρῶς „σε ἔδειρε, καὶ γίνωσκε ὅτι τὴν σὴν χολὴν καὶ [τὴν] „λύπην ἐμὴν ἐλογισάμην.“ ἡ δὲ γυνὴ τῇ γραΐδι ἀντέφησεν· „ὁ μὲν ἀνήρ μου χαλεπῶς με ἔτυψεν· „ἐγὼ δὲ οὐ γινώσκω διὰ ποίαν αἰτίαν τοῦτο πεποίηκε.“ καὶ ἡ γραῦς ἀπεκρίνατο· „γίνωσκε καλῶς ὡς „ἐκ μάγων τινῶν καὶ χαιρεκάκων ἀνδρῶν ταῦτα „συμβέβηκε· πλὴν ἐάν σοι καλὸν φαίνηται, ἐλθὲ „ἐπὶ τὴν ἐμὴν οἰκίαν· ὑπάρχει γὰρ ἐν ἡμῖν ἰατρός „τις ἀνήρ, καὶ καλλίων ἰατρὸς τούτου οὐκ ἔνι, καὶ

1 ἀπῆλθεν V 5 ἀνασικώσας AB ἀνασικόσας V: *correxit* Boissonade. ἀνασηκώνειν *est* tollere. *cf.* Corais Isocr. *p.* 37 *m.* 6 ἐπ' ABV: *scripsi* ὑπ' *quod iam* Boissonade *maluerat. u.* D 15 πρὸς τοὺς γονεῖς αὐτῆς *seclusi* 16 κόριν A λυπουμένη tristitiam uoltu prae se ferens, *ut non sit necessarium reponere accusatiuum* 17 ἀνὴρ *libri:* ἁνὴρ *reposui; u.* D 18 τὴν *seclusi* 26 ἔνι *a scriptore profectum*

„ἐκεῖνος παντοίαν θεραπείαν ποιήσει σε· μᾶλλον δὲ p. 67 B. „καὶ ἀπὸ τῆς δοκιμῆς καὶ σὺ νοήσεις τὸν ἄνθρω„πον ὁποῖος ὑπάρχει εἰς τὴν τέχνην, ἣν ζητήσεις „αὐτόν.“ ἡ δὲ γυνὴ τοῖς τῆς γραὸς στέρξασα λόγοις, „ἐγὼ μέν“ ἔφη „ἑτοίμως ἀκολουθήσω σοι· σὺ δὲ „ἐάν μοι ποιήσῃς τρόπον εἰρήνης μετὰ τοῦ ἀνδρός „μου διὰ τούτου δὴ τοῦ ἰατροῦ, φιλοτίμως ἀμεί„ψομαί σοι.“ ἑσπέρας δὲ γενομένης, προλαβοῦσα ἡ γραῦς ἐπὶ τὴν οἰκίαν αὐτῆς (ἀπήει), καὶ τῷ ἐραστῇ λέγει· „ἰδοὺ τὸ κυνήγιον ἐν τοῖς δικτύοις.“ καὶ τῆς γυναικὸς εἰσελθούσης, ὁ δῆθεν ἰατρὸς ἐκράτησε τὴν γυναῖκα καὶ συνεμίγη. ἐκείνη δὲ ὑβριζομένη ἠνιᾶτο καὶ ἤσχαλλεν, ὅμως δὲ λαλῆσαι ἐδειλία· ὕστερον δὲ μετὰ τὴν συνουσίαν ἐξελθοῦσα, συντόμως [ἀπήει] πρὸς τοὺς γεννήτορας ἐπανῆκε. πρωΐας δὲ γενομένης ὁ ἀνὴρ πορευθεὶς πρὸς τὴν γραῦν εἶπε· „διὰ μὲν τοῦ ἔργου, οὗ μοι ἐποίησας, πολλά „σοι χρεωστῶ· ἐπὶ δὲ τῇ γενομένῃ ταραχῇ μέσον „τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς μεγάλως λελύπημαι,

1 *acc.* σε *pendet a uu.* θεραπείαν ποιήσει *quippe quae simplicis uerbi* θεραπεύειν *uice fungantur: an pro u.* ποιήσει *scribendum* θεραπεύσει? 5 σὺ *non est mutandum in* σοι 8 *mutaui* λαβοῦσα *in* προλαβοῦσα (*i. e.* φθάνουσα; *poterat etiam scribi* λαθοῦσα) *et adieci* ἀπήει, *quod in margine fortasse adscriptum, infra l.* 15 *loco non opportuno in uerba scriptoris inrepsit. si quis autem* λαβοῦσα *seruandum censet, ei sumendum est ante* ἡ γραῦς *excidisse* αὐτὴν ἤγαγεν. *cui fauent* D *et* Ven (ἀφόντες γοῦν ἐβραδίασεν, ἐπῆγαν ἀντάμα μὲ τὴν γραῖαν εἰς τὸ σπῖτί της, ἐκεῖ ὁποῦ ἐκάθητον ὁ ἀγαπητικός), *non fauet l.* 10. 11 12 συνεμμίγη V 13 ἠνιᾶτο] ἠνιάτο V μὲν *additum expectes. sed eam particulam sermo uolgaris inde a Polybii temporibus saepissime praetermittit.* ἤσχαλεν V 15 ἀπήει πρὸς ABV: καὶ *addidit* Boissonade *ante* πρός; *cf.* D. *ego* ἀπήει *quippe sua sede motum et alieno loco intrusum suo restitui l.* 9 16 ὁ ἀνὴρ *i. e.* iuuenis, *non* maritus 17 διὰ *a Byzantinis hoc sensu etiam cum genetiuo coniungitur* πολλάς σοι A

„ὅτι αἴτιος ἐγὼ ὑπάρχω τῆς ὀχλήσεως.“ ἡ δὲ γραῦς λέγει· „μὴ λυποῦ, νεανία· ἐγὼ γὰρ διά τινος τεχνι- „κῆς μηχανουργίας ποιήσω ἐκείνους φιλιωθῆναι. σὺ p. 68 B. „δὲ λοιπὸν ἄπελθε εἰς τὴν ἀγορὰν πρὸς τὸν ἄνδρα „τῆς γυναικὸς καὶ μικρὸν ἐκεῖ ἀκαρτέρησον. καὶ „ἐκεῖνος ἅμα ἐξετάσει σε περὶ τοῦ ῥούχου ὅπερ σοι „ἐπώλησε· σὺ δὲ εἰπὲ αὐτῷ ὅτι „τὸ ῥοῦχόν σου φο- „ρέσας ἐκάθισα ἐπάνω κλιβάνου, καὶ ἐμοῦ μὴ εἰ- „δότος, εἰς τρία μέρη ἐκαύθη· ἐγὼ δὲ πολλὰ λυπη- „θεὶς ἐπὶ τῷ γεγονότι, δέδωκα τὸ ῥοῦχον πρός τινα „γραῦν ἣν ἐγνώριζον, ὅπως δώσει αὐτό τινα ὑφαν- „τήν, καὶ τὰ καυθέντα μέρη ποιήσει ὑγιῆ· ἐξ ὅτου „γοῦν ἡ γραῦς ἐκείνη τὸ ῥοῦχον ἔλαβεν, οὐκ ἔτι „αὐτὴν εἶδον, ἀλλ' οὐδὲ (οἶδα) τὸ ῥοῦχον ἐκεῖνο τί „γέγονεν.“ ταῦτα τῷ ἀνδρὶ τῆς γυναικὸς εἰπέ· καὶ „μετὰ ταῦτα,“ εἶπεν ἡ γραῦς, „ἐγὼ ἐμαυτὴν φανε- „ρώσω ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν, καὶ προς- „ποιήσομαι διὰ δουλείαν μου πορεύεσθαι. καὶ εὐθὺς „ὡς ἂν ἴδῃς με, φανέρωσον τῷ ἀνδρὶ εἰπὼν ὅτι „ἰδοὺ ἡ γραῦς ἣν εἶπόν σοι· αὕτη ἐστὶν ἥτις καὶ τὸ „ῥοῦχον ἔλαβε.“ καὶ ἅμα λάλησόν με καὶ ἐρώτησον· „ὦ γύναι, τί τὸ ῥοῦχον ἐκεῖνο γέγονεν; ἐγὼ δὲ „τότε ἅμ' εὐθὺς καλῶς μάλα ἀπολογήσομαι καὶ ὡς p. 69 B. „δεῖ.“ ἀναστὰς οὖν ὁ ἄνθρωπος ἐποίησε καθὼς ἐδιδάχθη παρ' αὐτῆς· καὶ ἐντυχὼν τῷ ἀνδρὶ εἶπεν ἅπαντα· καὶ τῆς γραὸς ἐνώπιον αὐτῶν διερχομένης,

5 *ἀκαρτερεῖν ex usu recentiorum est* 11 δώσῃ ABV: *correxit* Boissonade 12 ποιήσει] *sc.* οὗτος ὑγιᾶ *infra* ἐξότου ABV 14 οἶδα *post* οὐδὲ *adieci* 17 ποιήσομαι ABV: προςποιήσομαι *coniecit* Boissonade 18 δουλείαν] negotium 19 *post* ἀνδρί V *addit* σου 21 λάλησον] *infra* 54, 1 ἐκάλεσε 22 γέγονε ABV 23 παρευθὺς? *om.* D 26 διερχομένης] praetereuntis. δεχομένης BV

ὁ τῆς μοιχείας ἐργάτης αὐτὴν ἐκάλεσε καὶ περὶ τοῦ ῥούχου ἀνηρώτα. ἡ δὲ γραῦς ἀπιδοῦσα πρὸς τὸν ἄνδρα τῆς γυναικός, ἐποιεῖτο τοὺς λόγους λέγουσα αὐτῷ· „ἐλευθέρωσόν με ἀπὸ τὰς ἀδίκους ὀχλήσεις τοῦ ἀνδρὸς τοῦδε. καὶ γὰρ σκέπασμά τι ῥούχου μοι ἔδωκεν, ἵνα φέρω τοῦτο πρός τινα τῶν τεχνιτῶν, ἵνα τὰ διακαυθέντα τοῦ ῥούχου μέρη ὡς δυνατὸν ὑγιᾶ κατασκευάσῃ· ἐγὼ δέ, οὐκ οἶδα διὰ τί, παρὰ τὴν σὴν εἰσῆλθον ὁμόζυγον, καὶ παντελῶς ἐπελαθό- „μην ἡ ταλαίπωρος ποῦ τὸ ῥοῦχον ἐκεῖνο ἀφῆκα, „ἢ ἐν τῷ σῷ οἴκῳ, ἢ ἐν ἑτέρῳ τόπῳ· οὐδαμῶς γὰρ „δύναμαι ἐνθυμηθῆναι τί γε ἄρα γέγονεν.“ οὕτως τῆς γραὸς εἰπούσης τῷ ἀνδρὶ τῆς γυναικός, ἐκεῖνος ἀντέφησε πρὸς αὐτήν· „ἀλλά σοι γνωστὸν ἔστω, ὅτι „δι᾽ ἐκεῖνο τὸ ἔπιπλον μεγάλη ταραχὴ ἐν τῷ οἴκῳ „μου γέγονε“· καὶ ἅμα δέδωκε καὶ τοὺς δύο τὸ
p.70 B. *ἔπιπλον ἐκεῖνο· καὶ ἀπελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ, μετὰ τῆς γυναικὸς φιλίαν ἐποίησε· καὶ ὁ τάλας χαρίσμασι καὶ δωρεαῖς μεγάλαις αὐτὴν ἐτίμησε, δεόμενος ἵνα μετ᾽ αὐτοῦ διαλλαγὴν καὶ ἀγάπην ποιήσῃ. ἡ δὲ μόλις ἐποίησεν ἀγάπην μετ᾽ αὐτοῦ.*

Καὶ νῦν γίνωσκε λοιπόν, ὦ βασιλεῦ, ὅτι οὐκ ἔχει τέλος ἡ τῶν αἰσχρῶν καὶ φαύλων γυναικῶν

4 *etiam ἀπὸ cum acc. a recentissimis coniungitur* 5 *σκεπάσματι* ABV: *correxit* Boissonade, *qui tamen deleri malebat seruata quae in A est scriptura ῥοῦχον* 6 *ἔδωκε* ABV *τοῦτο* V: *om.* (AB) Boiss. *τὸ* D 8 *διὰ τί scripsi*: *καὶ* ABV. *καὶ ἐγὼ ἡ ταλαίπωρος οὐδὲν ἠξεύρω τί ἔκαμα τοῦτο· ἐπειδὴ ἐδιάβησα εἰς σπῖτί σου.* Ven. (*cf.* D)*: unde aliquid periisse suspicabatur* Boissonade. *sed ut cetera taceam, nihilo minus illud καὶ offenderet: quare inmutaui* 11 *ἢ — ἢ*] *εἰ .. ἢ?* 15 *μεγάλη καὶ τ.* A: *unde uocabulum uelut σύγχυσις excidisse suspicabatur* Boissonade; *u.* D 16 *καὶ om.* D, Boissonade *delebat; sed arcte cum u. δέδωκε coniungendum uidetur*: et dixit et dedit 19 *μεγάλως* A 20 *ποιήσῃ om.* A

πονηρία· ἀλλ' οὐδὲ χεῖρον κακὸν γυναικὸς πονηρᾶς ἐστιν, ὥσπερ οὐδὲ καλῆς καὶ ἀνδρείας γυναικὸς οὐδέν τι κρεῖττόν ἐστι· κατὰ διάμετρον γὰρ καλῆς γυναικὸς καὶ χείρονος μέγα χάσμα ἐστί, κἂν καὶ ἴσην ἔχουσι τὴν ἐπωνυμίαν· ἀμφότεραι γὰρ γυναῖκες καλοῦνται καὶ εἰσίν· ἀλλ' ἣ μὲν θηρίῳ ἔοικε πολυμόρφῳ καὶ πολυκεφάλῳ, οἷον εἰπεῖν τῷ τῆς ὕδρας, ἡ δὲ λίθῳ πολυτελεῖ καὶ ἀσυγκρίτῳ. ὅθεν καὶ ἀπὸ τῆς πονηρίας αὐτῶν πολλοὶ ἀδίκως ἐφθάρησαν. ὥσπερ δὴ συνέβη γενέσθαι καὶ εἰς τὴν τοῦ ἀνδρὸς ἐκείνου γυναῖκα διὰ τὴν τῆς γραὸς πονηρίαν. πρόσεχε οὖν σεαυτῷ, ὦ βασιλεῦ."

Τούτων ἀκούσας ὁ Κῦρος διεκώλυσε τὸν τοῦ παιδὸς φόνον. ἡ δὲ τοῦ βασιλέως ἐκείνη παλλακὴ p. 71 B. ταῦτα μαθοῦσα, πάλιν εἰσέρχεται πρὸς αὐτὸν κατὰ τὴν πέμπτην ἡμέραν καὶ μετὰ δακρύων πολλῶν αὐτῷ ἔλεγεν ὅτι „θαρρῶ, ὦ βασιλεῦ, ὡς τοιαύτην μοι δίκην κατὰ τῶνδέ σου τῶν φιλοσόφων καὶ τάχα συμβούλων [ὡς] ὁ θεὸς ποιήσει, ὥσπερ κατά τινος λέοντος καὶ πίθηκος πεποιηκέναι λέγεται." καὶ ὁ βασιλεύς· „καὶ πῶς ἐγένετο κατ' ἐκεῖνα τὰ ζῶα;" ἣ δὲ ἀπεκρίνατο·

„Ἦν τις λαὸς καὶ πλῆθος πραγματευτῶν ἀπερχόμενον ἐπί τινα πραγματείαν. ἦσαν δὲ ἐν ἐκείνοις καὶ μουλάρια πολλά. νυκτὸς δὲ καταλαβούσης ἔφθα-

1 V *in margine* σημείωσαι 2 ἥσπερ A. ἧπερ *coniecit* Boissonade 4 μέγα χάσμα] Eu. Luc. 16, 26 5 *dubites an* ἔχωσι *sit reponendum* ἐπωνυμίαν *scripsi*: ὁμωνυμίαν ABVD. *quo seruato reposuissem* ἴσως, *nisi p.* καὶ *prohibuisset* 7 πολυμόρφον V ὑέρᾶς A 8 *noli corrigere* ὑπὸ 14 *lemma* διήγησις γυναικός παλακὴ V 19 ὡς *deleui et* ποιήσειεν *in* ποιήσει *mutaui. aoristi optatiuo certe* ἂν *adiungi debebat* 23 καὶ πλῆθος] *uidentur delenda. sed cf. p.* 103 B. *m.* 25 μουλάρια] muli ἔφθασαν] peruenerunt (64, 12)

σαν εἰς ξενοδοχεῖον κἀκεῖ ἀνέπεσον κοιμηθῆναι· καὶ τὴν θύραν τοῦ οἴκου ἐπελάθοντο σφαλίσαι. καὶ κατὰ τὴν νύκτα εἰσῆλθε λέων εἰς τὸ πανδοχεῖον καὶ μέσον τῶν μουλαρίων ἀνέπεσε, μηδεμίαν ταραχὴν ποιησάμενος· καὶ οὐδεὶς τῶν πραγματευτῶν κατενόησε. μετὰ δέ τινα ὥραν εἰσῆλθέ τις κλέπτης εἰς τὸ παν-
p. 72 B. *δοχεῖον κλέψαι ἐκ τῶν μουλαρίων· καὶ δὴ σκοτίας οὔσης μὴ βλέπων, ἐψηλάφα τὸ πατερὸν τῶν ὑποζυγίων καὶ λεληθότως τοῦ λέοντος ἥψατο. καὶ παχὺν τοῦτον κατανοήσας ὡς μουλάριον, ἐκάθισεν ἐπάνω αὐτοῦ. ἐξερχομένου δὲ τοῦ κλέπτου ἐπάνω τοῦ λέοντος, ὁ λέων καθ' ἑαυτὸν ἔλεγεν· „ἀληθῶς οὗ- „τός ἐστιν ὁ δαίμων, ὃν λέγουσι τῆς νυκτὸς εἶναι „φύλακα· διὸ καὶ ἐπάνω μου καθέσθη.“ καὶ ταῦτα λέγων ὁ λέων καθ' ἑαυτὸν ἐφοβεῖτο τὸν κλέπτην. καὶ δι' ὅλης τῆς νυκτὸς τὸν κλέπτην βαστάζων ἐπορεύετο. ὁ δὲ κλέπτης ἐπιγνοὺς ἐπικαθέξεσθαι λέοντι, ἐφοβήθη, μή πως αὐτὸν διασχίσει καὶ τροφὴν ἰδίαν ποιήσεται. πρωΐας δὲ γενομένης ἔτυχεν ὁ λέων ὑποκάτω δένδρου διέρχεσθαι, καὶ διὰ συντόμων ὁ κλέπτης ἐκτείνας τὴν δεξιάν, τοῖς τοῦ δένδρου κλάδοις ἑαυτὸν ἐκρέμασε καὶ ἀναβὰς εἰς τὸ δένδρον τὸν τοῦ λέοντος κίνδυνον διέφυγε. καὶ ὁ λέων πάλιν, ὡς τὸν φύλακα τῆς νυκτὸς φοβούμενος, συναπῆλθε σπουδῇ· ὅπου καὶ ὁ πίθηξ αὐτῷ συναντᾷ, καὶ ἠρώτησε τὸν λέοντα· „τί οὕτως ὑπάρχεις φοβούμενος*

2 *σφαλῆσαι* V 4 *μὴδεμίαν* V *ut saepe* 7 *σκοτίας scripsi*: *σκοτείας* ABV. *cf.* Philogelon 8. 117. *p.* 63, 2 8 *πάτερον* V 11 *αὐτοῦ*] *num excidit καὶ ἐξήλασεν?* 16 *καὶ δι' ὅ. τ. ν. in* V *bis scripta* 18 *διασχίσει* Boissonade: *διασχίση* ABV. *quamquam cf.* 46, 9. *ἰδίαν i. e. αὐτοῦ* 20 *συντόμως* ABV: *correxit* Boissonade 21 *τοῦ*] *cf. p.* 57, 9. 10. 23 *ὡς τὸν scripsi*: *ὡς ὁ* A *ὡς* BV 24 *συν-* simul 25 *ἠρώτισε* V

„καὶ τρέμων;“ ὁ δὲ λέων ἀπεκρίνατο· „ὁ τῆς νυ- p. 73 B.
„κτὸς φύλαξ λεγόμενος ἐμὲ πιάσας, ὅλην τὴν νύκτα
„ἐπάνω μου φερόμενος ἔσυρέ με.“ καὶ ὁ πίθηξ „ποῦ
„ἐστιν ἐκεῖνος;“ ἔφη. καὶ ὁ λέων· „ἐπάνω τοῦ
„δένδρου ἐκάθισεν τοῦ ἡμῶν ἔμπροσθεν ὄντος.“ ὁ
δὲ πίθηξ εὐθὺς ἐπ' ἐκεῖνο τὸ δένδρον ἀπῆλθε· καὶ
ὁ λέων μακρὰν ἵστατο βλέπων τί ἄρα γένηται. τοῦ
μέντοι πίθηκος τοῦ δένδρου ἐπαναβάντος, ὁ κλέ-
πτης ὁμοῦ ἐφοβήθη τοὺς δύο, καὶ ὑπὸ τοῦ φόβου
τῶν δύο ζώων ἀγωνιζόμενος, εἰς τὴν σχισμάδα τοῦ
δένδρου εἰσῆλθεν. ὁ δὲ πίθηξ τῇ χειρὶ τὸν λέοντα
ἔνευε τοῦ ἐλθεῖν καὶ ἀποκτεῖναι τὸν ἄνδρα. ἐλθὼν
τοίνυν ὁ λέων ἐκεῖσε, ἵστατο κάτω τοῦ δένδρου. ὁ
δὲ πίθηξ ὑπῆρχεν ἔχων ὄρχεις λίαν μεγάλους. καὶ
ὁ ἀνὴρ ὡς εἶδεν αὐτούς, ὀλίγον θάρσος ἀνέλαβε·
καὶ ἐξαίφνης φρικτῶς πιάσας τοὺς ὄρχεις τοῦ πίθη-
κος ἔδησε. καὶ ἅμα ὁ πίθηξ ἀπέθανε πεσὼν κάτω.
καὶ ὁ λέων ἰδὼν αὐτὸν πεσόντα νεκρόν, ἔλεγε καθ'
ἑαυτόν· „ἀληθῶς ὡς ὁ τῇ νυκτὶ ἐμὲ σύρων φύλαξ
„αὐτὸς καὶ τοῦτον ἀπέκτεινε.“ καὶ συντόμως ἔφυ- p. 74 B.
γεν. οὕτως ὁ ἀνὴρ τὰ δύο ζῶα νικήσας ἠλευθερώθη.
Κατὰ τοῦτον τὸν τρόπον θαρρῶ κἀγώ, βασιλεῦ,
εἰς τὴν δύναμιν τοῦ θεοῦ, ὅτι δώσει κἀμοὶ νικῆσαι
τοὺς φιλοσόφους, ὅτι περ μέσον σοῦ καὶ ἐμοῦ τοσαύ-
την ἔθηκαν σύγχυσιν. τοῦτο δὲ ἐγὼ ἀπὸ θεοῦ δέο-

2 *πιάσας i. e. συλλαβών* (*cf.* Corais Isocr. *p.* 3 *in.*) 6 *ἀπῆλθε*] *noli corrigere ἀνῆλθε* 7 *γένηται*] *coniunctiuus futuri loco usurpatus* 10 *ἀγωνιζόμενος*] metu exanimatus *i. q. ἀγωνιῶν, cf. ind.* 11 *εἰσῆλθε* ABV 16 *φρικτῶς* BV: *σφικτῶς* A. Boiss. *cf.* D 19 *ἀληθῶς ὡς i. e. ὡς ἀληθῶς ut θαυμαστῶς ὡς, ὑπερφυῶς ὡς, ἀμηχάνως ὡς et similia apud Platonem, πλεῖστοι ὅτι apud* Niceph. Bryenn. Boissonade *ante ὡς et post φύλαξ distinxit* 25 *τουτο*] *ut inimici moriantur?*

μαι δοθῆναί μοι, ἐὰν μὴ σύγε, ὦ βασιλεῦ, ἐκδικήσῃς ἐφ' οἷς ἔργοις ἠναγκάσθην ὑβρισθῆναι παρὰ τοῦ υἱοῦ σου."

Τούτοις πάλιν τοῖς λόγοις ὁ βασιλεὺς τρωθεὶς τὴν καρδίαν, ὥρισε τὸν υἱὸν αὐτοῦ ἀποκτανθῆναι πάλιν. καὶ ὁ τοῦ βασιλέως ἕκτος σύμβουλος καὶ φιλόσοφος τὴν τοιαύτην μαθὼν ἀπόφασιν, πρὸς τὸν βασιλέα εἰσέρχεται ἡμέρᾳ ἕκτῃ καὶ προσκυνήσας, „ζῆθι, βασιλεῦ," ἔφη „εἰς τὸν αἰῶνα, καὶ ἐπὶ μακροὺς χρόνους ἡ ἐξουσία σου διαμένοιε. γινώσκειν δέ σου τὸ κράτος δουλοπρεπῶς ἀξιῶ, ὅτι ἐὰν μηδ' ὅλως ἔτυχεν υἱὸν ἔχειν σε, ἔδει μετὰ πολλῆς ἀγάπης καὶ θερμῆς καρδίας καὶ ἐπιμόνου παρακλήσεως
p. 75 B. παρακαλεῖν τὸν θεὸν τοῦ δοῦναί σοι παιδίον, ὡς ἔχειν τοῦτο κληρονόμον καὶ διάδοχον τοῦ κράτους σου· νῦν δὲ παῖδα ἔχων, πειρᾶσαι τοῦτον φονεῦσαι συμβουλῇ κακογνώμου γυναικός, καὶ ταῦτα μὴ γινώσκων εἴτε αἴτιός ἐστιν ὁ παῖς θανάτου, εἴτε καὶ μή. καὶ ἐὰν τοῦτο ὃ λέγεις ἀνεξετάστως γένηται, ἐς ὕστερον σὺ θανατηφόρον ἐπιλήψῃ τὴν λύπην, ὥστε σχεδὸν ὑπὸ τῆς λύπης ἑαυτὸν διαχειρίσεις· ἀλλὰ καὶ

1 μὴ] μοι V 2 ἠναγκάσθην ὑβρισθῆναι] coactus sum ut uim paterer: *simplicius dixisset* ὑβρίσθην *omisso cogendi uerbo.* M *in ea parte narrationis quae respondet huius recensionis p.* 111 B. ὑφ' ἧς καὶ ἀπαγχονισθῆναι κατηναγκάζετο 4 τοῖς *om.* A 6 *lemma* ἕκτου φιλοσόφου λόγοι συμβουλῆς 8 ἡμέρᾳ *scripsi:* ὥρα VAB; *u.* D 10 διαμένοιε *scriptori ipsi tribuere uix est quod dubites* 11 ἐάν *pro u.* εἰ *adhibitum cf. p.* 95 B. μὴδ' ὅλος V 16 πειρᾶσαι *i. q.* πειρᾷ *recentiorum est* 17 κακογνώμονος? *qua forma ceteroquin usus est.* Niceph. Bryenn. *dixit* τὸ σκληρόγνωμον, τὸ ἀμφίγνωμον, ἄνδρα βαθύγνωμον, *alii* δίγνωμος διχόγνωμος ἄγνωμος 18 καὶ μὴ V: μὴ (AB) Boiss. 19 ἐσύστερον V *ut saepe* 21 ἑαυτὸν] *cf. ad* 8, 15 διαχειρίσῃς ABV: διαχειρίσεις Boissonade

γενήσεταί σοι ὥσπερ δή τινι συνέβη περιστερᾷ. Λέγεται γὰρ περὶ ἐκείνης ὅτιπερ κατῴκει πλησίον τινῶν χωραφίων· καὶ κατὰ τὸν καιρὸν τοῦ θέρους ἐκείνων τῶν χωραφίων ὑπῆρχεν ἡ περιστερὰ ἀκολουθοῦσα ὄπισθεν τῶν θεριστῶν, συνάγουσα τὸν σῖτον καὶ ἐσθίουσα. ὡς δὲ ἐχόρτανε, τὸ περισσὸν σιτάριον ἐσύναξεν εἴς τινα τρύπαν τοῦ τοίχου. μιᾷ γοῦν τῶν ἡμερῶν φέρουσα ἡ περιστερὰ κατὰ τὴν συνήθειαν σιτάριον, ἵνα θήσῃ καὶ αὐτὸ εἰς τὴν ὀπὴν ἐκείνην τοῦ τοίχου, ἐγένετο γεμίσαι τὴν τρύπαν· καὶ λέγει τὸ ἀρσενικὸν περιστέριν πρὸς τὸ θηλυκόν· „πρόσεξον· μηδεὶς ἀφ' ἡμῶν προσεγγίσῃ τῷδε τῷ p.76 B. „σίτῳ, ἕως ὁ τοῦ χειμῶνος ἔλθῃ καιρός, ὅταν οὐκ „ἔστι ποσῶς σιτάριν εὑρεῖν. τότε καὶ αἱ δύο ἀμφό„τεραι διατραφῶμεν ἐκ τοῦδε τοῦ σιταρίου.“ ἡ δὲ θήλεια πρὸς τὸ ἀρσενικὸν εἶπε· „καλῶς τοῦτο καὶ „συμφερόντως μέσον ἡμῶν φυλάξαι ἔταξας, ὦ οὗ„τος, καὶ οὕτω ποιήσομεν ὡς εἶπας.“ καὶ ἔκτοτε αἱ περιστεραὶ ἔξω ἐβόσκοντο. τοῦ δὲ ἡλίου λάμποντος τῇ ὀπῇ ἐκείνῃ, ἐξηράνθη σφοδρῶς ὁ σῖτος, διότι

1 *lemma* διήγησις λέγεται γάρ] *ab hac formula pleraeque narrationes in libro qui inscribitur* Stephanites et Ichnelates *incipiunt* 3 τινῶν *scripsi*: τῶν ABV χωραφίων *i. e.* ἀγρῶν. *cf.* Corais Isocr. *p.* 100, 3 7 σιτάρι A ἐσύναζεν V; ἐσύναξεν *i. e.* συνήγαγεν 7. 10 τρύπαν *dicunt Graeci quoque hodierni falso*: *nam* υ *producitur*, α *corripitur*, *ut scribi oporteat* τρῦπαν (τρ *supra*) 9 σι *noto compendio* VB 10 γεμίσαι *i. q.* γεγεμίσθαι. *act. hodiernis Graecis etiam est* plenum esse 11 περιστέριν *et* 14 σιτάριν *formae barbarae non magis sunt mutandae quam* θήσῃ 9 *uel* ἀφ' 12 *uel* ὅταν ἔστι 13 12 προσεγκίσει V 12 τῷ *om.* A 13 ἕως] *non opus est* ἂν *addi*, *a u.* ὅταν *demi* 14 [αἱ δύο]? 15 σίτου A 17 φυλάξαι ἔταξας *scripsi*: ἐφύλαξας *libri. u.* D ὦ οὗτος *scripsi*: τοῦτος A τοῦτο VB 19 ἐπιλάμποντος?

χλωρὸς ἦν ὅτε συνήγετο. καὶ δὴ ἐν μιᾷ τῶν ἡμερῶν ἐλθοῦσα ἡ περιστερά, ἥτις ἔθηκε τὸν σῖτον, βλέπει τοὺς κόκκους ὀλίγους ὑπὸ τῆς ξηρότητος καὶ λέγει πρὸς τὴν θήλειαν· „τί ἔνι τοῦτο ὃ θεωρῶ; οὐκ εἶπόν σοι ἵνα μηδεὶς ἡμῶν ἅψηται τούτου τοῦ σίτου;" καὶ ἡ ὁμόζυγος ἔφη· „οὐχ ἡψάμην αὐτῶν οὐδ' ὅλως." ὁ δὲ ἄρρην μηδαμῶς πιστεύσας τὴν θήλειαν, περισσοτέρως ἄγριος ἦν, καὶ ἰσχυρῶς κρούει ταύτην καὶ τῆς ζωῆς διακόπτει. καὶ ἀπέμεινε μοναχὸς ὁ ἀρσενικός. τοῦ δὲ χειμῶνος ἐλθόντος καὶ πολλῶν βροχῶν γενο-
p. 77 B. *μένων καὶ χιόνος κατενεχθείσης, πάλιν ὁ κεκρυμμένος σῖτος τῇ τοῦ ἀέρος ὑγρότητι διανοτισθεὶς ὅλην ἐκείνην τὴν θυρίδα ἐγέμωσεν ὡς τὸ πρότερον. καὶ τοῦτο ἰδοῦσα ἡ περιστερὰ ἐνόησε τὴν αἰτίαν τῆς ἐλλείψεως καὶ τῆς ὕστερον τοῦ σίτου ἀναπληρώσεως, καὶ πικρῶς ἔκλαιε μεταμελόμενος ἐπὶ τῷ θανάτῳ τῆς ὁμοζύγου· οὐδὲν δὲ ἀπὸ τῆς μεταμελείας ὠφελήθηκεν. Τὸν ἴσον τρόπον οὖν οἶδα, ὦ βασιλεῦ, ὅτι καὶ σὺ ἐὰν τὸν υἱόν σου φονεύσῃς ἐκ μόνης διαβολῆς τοῦ καταράτου γυναίου, καὶ ταῦτα μὴ γινώσκοντός σου εἰ ἐκεῖνος ταῖς ἀληθείαις κατάκριτος ὑπάρχει καὶ ἔνοχος θανάτου ἐστί, συμβήσεται καὶ τῷ σῷ κράτει ὡς ἐκείνῃ τῇ περιστερᾷ συμβέβηκε,*

3 *ὀλίγους*] Kr. Gr. Spr. 56, 7, 4 *hic incipit* M *καὶ . . . τοῦτο* (4) *om.* A 4 *ἔνι*] *cf.* 51, 26 6 *αὐτῶν*] *αὐτοῦ? αὐτῷ cod.* M *cf.* 2, 9 7 *τὴν θήλειαν cf.* 3, 11 8 *ἄγριος ἦν*] *ἀγρίανε? cf. p.* 4, 18 11 *κεκρυμένος* V 12 *ἀγρότητι* V 13 *ἐγέμωσεν scripsi: ἐγέμοσεν libri. cf.* Corais Isocr. *p.* 259 (21). Heliod. *p.* 121 *m.* 16 *μεταμελόμενος quamquam antecessit ἰδοῦσα ἡ περιστερά quia sequitur τῆς ὁμοζύγου* 18 *ὠφελήθηκεν*] *aoristi forma barbara quae ab recentioribus Graecis adhiberi solet; uide praefationem* 19 *σὺ*] *σοι* Boissonade: *sed apud hos scriptores talis structurae inmutatio facile toleratur; distinctionem modo quae erat post σύ sustuli*

καὶ τοῖς κέντροις τῆς μεταμελείας χαλεπῶς ἔσῃ κεντούμενος, καὶ οὐδεμία σοι ἀπὸ τούτου ὠφέλεια προσγενήσεται, ἀλλὰ μᾶλλον βλάβη πρὸς θάνατον. καὶ ἄλλης δέ μου διηγήσεως ἄκουσον, ὦ βασιλεῦ, δηλοποιούσης σαφέστατα περὶ τῶν γυναικείων πραγμάτων, ἤγουν τῶν πανουργιῶν.

Ἀνήρ τις ἦν γεωργός. οὗτος οὖν μιᾷ τῶν ἡμε- p. 78 B.
ρῶν ἐξῆλθε τοῦ σπεῖραι τὸ χωράφιον αὐτοῦ. ἡ δὲ γυνὴ αὐτοῦ ἑτοιμάσασα ἑψητὰ μαγειρεύματα καὶ ὄρνιθα καὶ μελίπηκτον ἔδεσμα, ἐν σπυρίδι ἐνθεῖσα πρὸς τὸν ἄνδρα ἐκόμιζε. συνέβη δὲ αὐτὴν πορευομένην διαβῆναι ἀπό τινος ξενοδοχείου, ἐν ᾧ ἦσαν ἄνθρωποι ὁδοιπόροι ἀναπαυόμενοι· καὶ ὡς εἶδον τὴν γυναῖκα, ἐκράτησαν αὐτὴν καὶ ἔσω τοῦ ξενοδοχείου εἰσάξαντες, ἅπαντες συνεμίγησαν καὶ τὰ βρώματα ἅπαντα ἔφαγον. ὀλίγον δὲ ἀπὸ τὸ μελίπηκτον [ἤγουν τὴν μουστόπιτα,] ἀφέντες, κατεσκεύασαν αὐτὸ εἰς εἶδος καὶ μορφὴν ἐλέφαντος, καὶ ἔθηκαν αὐτὸ ἐν τῇ σπυρίδι, μὴ εἰδυίας ὅλως τῆς γυναικὸς περὶ τούτου, καὶ τὴν σπυρίδα σκεπάσαντες, ἀφῆκαν αὐτὴν ἀπελθεῖν. ἡ δὲ λαβοῦσα τὴν σπυρίδα ὡς τὸ πρότερον σκεπασμένην, μὴ εἰδυῖα ὅτι κατέφαγον ἅπαντα, ἀπῆλθε πρὸς τὸν ἄνδρα φέρουσα ταῦτα. ὁ δὲ ἀποσκεπάσας τὴν σπυρίδα, οὐδὲν ἄλλο ἐν αὐτῇ

lemma 4 V 6 AB ἑτέρα διήγησις τοῦ αὐτοῦ ἕκτου φιλοσόφου 5 πραγμάτων ἤγουν τῶν *om.* MD: *fortasse* ἤγουν τῶν πανουργιῶν *emendandi causa supra u.* πραγμάτων *scriptum erat* 8 Matth. 13, 3. Luc. 8, 4. Marc. 4, 3 10 μελίπυκτον ABV 10 *et* BV 16: 16 μελίπικτον A. μελίπηκτον M. Du Cange 12 διαβῆναι] praeterire, *u.* 53, 26 ἀπὸ] prope ab, praeter 16 πάντα A ἤγουν τὴν μ.] *deleui. hodierni Graeci* μουστόπητα *et* μουστόπιττα *nuncupant* 18 *an delenda uu.* καὶ μορφὴν? 19 μηδὲν? ὅλως τι? 22 πρότερον] πρώτως A. *cf.* 7, 17 σκεπασμένην] *cf.* 50, 10

p. 79 B. βλέπει ἡ τὴν μουστόπιτα καὶ πρὸς τὴν γυναῖκά φη-
σιν· „ὦ γύναι, τί τοῦτο;“ ἡ δὲ θεασαμένη τοῦτο,
εὐθὺς τὸ ἐπ' αὐτῇ γεγονὸς πανούργως διαμηχανᾶ-
ται καὶ ψευδοποιεῖ, καὶ φησὶ πρὸς τὸν ἄνδρα· „ἔδοξέ
„μοι ἐν ὕπνοις καθῆσθαί με ἐπάνω ἐλέφαντος, καὶ
„πεσοῦσα ἐκ τοῦ ἐλέφαντος συμπατηθῆναι τοῖς
„ποσὶν αὐτοῦ. ἐξυπνίσασα δὲ πολλῷ τῷ φόβῳ συν-
„εκρατούμην, καὶ αὐτίκα ἀπῆλθον πρὸς ὀνειροκρί-
„την καὶ τὰ ὁραθέντα διηγησάμην. καὶ ἐκεῖνος εὐ-
„θὺς τὸ ὄναρ διέλυσε καὶ παρήγγειλέ μοι εἰπών·
„πρέπει σε ποιῆσαι ὡς ἐλέφαντος μορφὴν ἐκ μέλιτος
„ἐζυμωμένην, καὶ τῷ ἀνδρί σου ἀπόδὸς φαγεῖν, ἵνα
„τὸ ὄναρ ἀκινδύνως διαλυθείη.“ καὶ ἰδοὺ κατὰ τοὺς
„λόγους τοῦ ὀνειροκρίτου, ὡς βλέπεις, τοῦτο πε-
„ποίηκα. σὺ δέ, ὦ ἄνερ, λοιπὸν προθυμότατα λάβε
„καὶ φάγε, ὡς ἂν μηδεὶς ἐμοὶ γενήσεται κίνδυνος.“
ὁ δὲ ἀνὴρ αὐτίκα τὴν μουστόπιταν ἔφαγε. καὶ οὕ-
τως ἡ γυνὴ τοιαύτην πρόφασιν ποιησαμένη, τὸ ἀνύ-
p. 80 B. ποπτον ἑαυτῇ, ὅσα ἔπαθε τῷ ἀνδρὶ κατασκεπάσασα,

3 διαμηχανᾶται] callide celat? κρύπτειν ἐκμηχανᾶται M. *fortasse* κρύπτειν *ante* διαμηχανᾶται, *aut post* εὐθὺς *excidit* εἰς; *u.* D 4 ψευδοποιεῖ *scripsi:* ψευδοτοποιεῖ ABV. *nihil*
το
enim uidetur esse nisi dittographia ψευδοποιεῖ. *nam hodierni Graeci dicunt etiam* ψευτοποιεῖν. *an latet* ψευδολογοποιεῖ? 5 καὶ πεσοῦσα (.. αν?) ἐκ τοῦ ἐλέφαντος *om.* A *more suo* 7 ἐξυπνήσασα V (D). *cf. n. ad Philogelon p.* 64 *extr. Lob. Phr.* 224
10 παρήγγελέν μοι A 11 πρέπει *i. e.* δεῖ 16 *aut* ἂν *omittere aut coniunctiuo uti debebat.* ὡς ἂν .. προσγένοιτο M
19 κατασκευάσασα *libri. quod, cum praecesserit* ὅσα ἔπαθε, *ad ea quae mulier de elephanto commenta est referri non potest. contra* ὅσα ἔπαθε *apte quidem dicitur* uis ei inlata, *sed non recte ipsa* ὅσα ἔπαθε κατασκευάζειν *i. e.* fingendo et inmutando ita componere ut ipsi uidetur, *sed celare*, κατασιγήσασά ὅσα ἔπαθε *uel certe* περὶ ὅσα ἔπαθε κατασκευάσασα; *scripsi igitur* κατασκεπάσασα. *cf. p.* 63, 6. 15; *breuius* D

περιεποιήσατο· ὅλα γὰρ ὅσα ἔλεγεν ἡ γυνὴ χωρίς τινος ἀντιλογίας ἐπίστευεν ὁ ἀνήρ. Λοιπὸν οὖν, ὦ βασιλεῦ, καὶ αὐτὸς γίνωσκε τὸ ποικίλον τῶν πανουργιῶν τῶν φαύλων καὶ πονηρῶν γυναικῶν, καὶ ὅτι γε, εἴ τι ἂν βουληθῶσιν, ἑτοίμως ἔχουσι πονηρεύεσθαι καὶ κατασκευάζειν ἅπερ θελήσουσι."

Τούτων πάλιν τῶν λόγων ἀκηκοὼς ὁ Κῦρος προσέταξε μὴ φονευθῆναι τὸν υἱὸν αὐτοῦ. κατ' αὐτὴν δὲ τὴν ἕκτην ἡμέραν σφόδρα καὶ μεγάλως ἡ γυνή, ὡς πολὺ κακὸν παθοῦσα, λελύπηται ἐπὶ τῷ τοῦ βασιλέως προστάγματι καὶ καθ' ἑαυτὴν ἔλεγεν ὡς „εἰ μὴ τὴν σήμερον ὁ τοῦ βασιλέως υἱὸς φονευθῇ, τῇ αὔριον πάντως τῷ αὐτοῦ πατρὶ λαλήσει, καὶ εὐθὺς διὰ τῆς πρὸς τὸν πατέρα αὐτοῦ συντυχίας τὰ τῆς ἐμῆς κατασκευῆς πονηρὰ ἔργα φανερωθήσονται, καὶ τῷ θανάτῳ παραδοθήσομαι. πρέπει λοιπὸν ἐμαυτὴν αὐτοχείρως φονεῦσαι· οὐδ' ὅλως γάρ τι ἄλλο τολμήσω εἰπεῖν τῷ βασιλεῖ." ταῦτα ἐν ἑαυτῇ ἡ πο- p. 81 B.
νηρὰ γυνὴ βουλευσαμένη καὶ τῷ φόβῳ δεινῶς ταραττομένη, πρῶτα μὲν συνέλεξε πάντα τὰ πράγματα αὐτῆς καὶ τοῖς συγγενέσι καὶ γείτοσι διεμοίρασεν· εἶτα παρακαλεῖ αὐτοὺς συνάξαι ξύλα ξηρὰ καὶ φρύγανα. οἱ δέ γε συγγενεῖς καὶ γείτονες διὰ συντόμων ἐσώρευσαν τὴν ὕλην καὶ μεγάλην ἀνῆψαν πυρκαϊάν. ταύτης δὲ καιομένης, ὥρμησεν ἡ γυνὴ ἑαυ-

1 ὅσα *om.* V 2 ἐπ. ὁ ἀνὴρ] ἐπίστευσεν ἡ γυνή A 5 εἴ τι ἂν βουληθῶσι *a scriptore profectum* 6 ..σιν V 9 αὐτὴν *om.* M, *archetypi scripturam reddens* 12 εἰ .. φονευθῇ *crebro dixit* 13 αὔριον] *cf. ad* 32, 11 15 πονηρὰ ἔργα *om.* M *commode* 17 τι ἄλλο *mihi non liquet.* M *uix differt:* οὐδαμῶς γάρ τι ἕτερον τῷ βασιλεῖ ἀναγγεῖλαι τολμήσω. *u.* D ἄλλον ABV: ἄλλο Boissonade V *in marg.* σημείωσαι 23 διὰ τὸ συντόμως V διὰ συντόμως AB 24 κἀκείνη ἀνῆψε M

τὴν ἐμβαλεῖν τῇ καμίνῳ, ὅτι ὑπώπτευε τῇ ἐπαύριον ὃ μέλλει πείσεσθαι. καὶ ἐπειδήπερ ἡ ἑβδόμη ἦλθεν ἡμέρα, ἐν ᾗ ὁ παῖς λαλῆσαι τῷ βασιλεῖ ἔμελλε, διὰ τοῦτο ἡ γυνὴ ἠγωνίζετο καὶ πολλαῖς μερίμναις τὴν καρδίαν ἐβάλλετο· ἐγίνωσκε γὰρ ἀκριβῶς ἡ παμπόνηρος ὅτι ὁπότε ὁ παῖς λαλήσει τῷ πατρί, οὐ μόνον ἐντροπὴν λάβῃ, ἀλλὰ καὶ θανάτῳ κακῷ παραδοθήσεται διὰ τοὺς λόγους οὓς εἶπε πρὸς τὸν παῖδα αἰσχύνης γέμοντας καὶ ἐπιβουλῆς. τοῦ γοῦν τοιούτου παραδόξου τῆς γυναικὸς [κακοῦ] βουλεύματος
p. 82 B. εἰς πολλὰ μέρη τοῦ κάστρου λεγομένου καὶ ὑπ πολλῶν ἀνθρώπων βοωμένου, φθάνει ποτὲ καὶ εἰ τὰς τοῦ βασιλέως ἀκοάς· καὶ συντόμως διαμηνύσα τὴν γυναῖκα, φησὶ πρὸς αὐτήν· „διὰ ποίαν ἀφορμήν, ὦ γύναι, παραδίδεις σεαυτὴν τῷ πυρί;“ ἡ δ εἶπεν ὅτι „οὐκ ἤκουσάς μου, μὴ ἐκδικήσας με ἀπ τοῦ παιδός σου, καὶ οὐκ ἐφόνευσας αὐτὸν ὡς ἔπρεπε.‘

1 ὑπόπτευε ABVD: ὑπώπτευε Boissonade 2 ὃ μέλλει *inter haec uocabula quaedam uidentur excidisse.* ὑφωρᾶτο τ ἕωθεν οὐ μετρίαν αὐτῇ ἐπισπάσεσθαι τὴν αἰσχύνην καὶ τὸ κατάγελων. M. *u.* D καὶ ἐπειδήπερ] *antecessit p.* 63, 25 ὥρμησεν ἑαυτὴν ἐμβαλεῖν: *quidni fecit? mire hiat narratio in utraque recensione: nam oportebat referri eam prohibitam esse et quo tandem prohibita sit. accedit quod quae inde a* 63, 12 *narrata sunt hic repetuntur. culpam autem in eum referendam uideri qui priorem recensionem ex qua utraque, et Parisina* (*Vindobonensis*) *et Monacensis deriuata est concinnauit dixi ad p.* 32, 11. *cf.* D 3 ἡμέρα VMD: *om.* (AB) Boiss. *uocabulum non necessarium retinui quia ex* Boissonadii *silentio tantum concludi potest in* A *et* B *deesse* 4 ἠγωνίζετο] *cf.* 57, 10 5 ἐβάλετο V 7 λάβῃ *i. e.* λήψεται κακῷ V: *om.* (AB) Boissonade 10 κακοῦ *seclusi;* τ. γ. τοιούτου αὐτῆς χαλεποῦ β. M; *u.* D 11 καὶ ὑπὸ πολλῶν ἀνθρώπων βοωμένου *om.* VB, D 13 διαμηνύσας] *i. e.* arcessens, μεταπεμψάμενος, *qua significatione etiam* κελεύειν *scriptor adhibuit; u.* 7, 18 14 ποίαν *i. e.* τίνα 15 παραδίδεις *dicunt recentiores* 17 ἔπρε^{π} V ἔπρεπεν (AB) Boiss.

καὶ ὁ βασιλεὺς τοῖς λόγοις ὑπαχθείς, ὅρκους στερεοὺς αὐτῇ δέδωκεν, ὅτι χωρίς τινος ἀμφιβολίας τὸν υἱὸν φονεύσει. ἡ δὲ μιαρὰ παλλακὴ καὶ πόρνη ἀποδεξαμένη τὸν λόγον, ἐκράτησεν ἑαυτὴν τοῦ τοιούτου ἐγχειρήματος [τοῦ πυρός]. καὶ ὁ βασιλεὺς αὐτίκα δέδωκε τὴν ἀπόφασιν μετ' ὀργῆς φονευθῆναι ἀνυπερθέτως τὸν υἱὸν αὐτοῦ. τῆς οὖν ἀναισχύντου καὶ ἀπανθρώπου καὶ ὠμοτάτης καὶ θηριώδους ἀποφάσεως ἐξελθούσης, ὁ τοῦ βασιλέως ἕβδομος καὶ φιλοσοφώτατος σύμβουλος ἀκούσας καὶ οἱ λοιποὶ [ἕτεροι] ἓξ σφόδρα ἠγανάκτησαν ἀνιαθέντες ἐπὶ τῷ τοῦ βασιλέως υἱῷ, ὁρῶντες ἀναίτιον [καὶ] ὡς κακοῦργον κινδυνεύοντα. καὶ ὁμοῦ ἐφίστανται τῷ τοῦ βασιλέως σπεκουλάτωρι ἤδη τὴν σπάθην πρὸς τὴν p. 83 B.
σφαγὴν τοῦ παιδὸς ἑτοίμην φέροντι, παρακαλοῦντες ὀλίγον ἀκαρτερῆσαι τὸν τοῦ παιδὸς φόνον, ἕως ἂν ὁ τῶν συμβούλων καὶ φιλοσόφων ἕβδομος πρὸς τὸν βασιλέα εἰσέλθῃ καὶ ἐξέλθῃ. οὐ μόνον δὲ τὸν σπεκουλάτωρα παρεκάλουν, ἀλλὰ καὶ δῶρα δεδώκασιν· ὅστις καὶ τοὺς τοιούτους ἐντραπεὶς ἄνδρας, ἤκουσε τὴν αὐτῶν παράκλησιν καὶ ἀνέμεινεν. ὁ δὲ τῶν συμβούλων καὶ φιλοσόφων ἕβδομος πρὸς τὸν βασιλέα ἐλθὼν καὶ κατὰ τὸ ἔθος προσκυνήσας, „ζῆθι“ ἔφη „ὦ βασιλεῦ, εἰς τὸν αἰῶνα.“ καί φησι· „γινώσκειν σου τὸ κράτος παρακαλῶ, ὅτι ἐξαίσιον

3 φονεύσει *scripsi*: φονεύσειεν ABV διαχειρίσεται M παλακὴ V 5 τοῦ πυρὸς, *quibus caret* M, *seclusi* 6 μετ' ὀργῆς *in* MD *quoque inest* 11 ἕτεροι A: *om.* VBD. *malui cum his libris omittere quam mutare in* ἑταῖροι: σὺν αὐτῷ οἱ ἕτεροι ἓξ συμφιλόσοφοι M 12 καὶ, *quod om.* M, *seclusi* 14 σπεκουλάτορι ABV *semper*: σπεκουλάτωρι M *et* Du Cange; *quam formam ubique restitui* 15 ἕτοιμον *supra* 16 ἀκαρτερῆσαι φόνον differre, *uernacule* warten mit — 21 ἀνέμεινε ABV *lemma*: ἕβδομος φιλόσοφος

πρᾶγμα καὶ ἔξω φύσεως καὶ ἀδικώτατον δοκιμάζεις ποιῆσαι, ὅτι σου τὸν υἱὸν μαχαίρας ἔργον γενέσθαι προσέταξας διὰ μικρὰν γυναικὸς ὑπόσχεσιν καὶ ὅρκον οὕτως ἀνεξετάστως κρατηθεὶς καὶ ἀκούσας τῶν λόγων αὐτῆς, καὶ ταῦτα μὴ γινώσκοντός σου κἂν ἀληθῆ κἂν ψευδῆ τὰ λεγόμενα κατ' αὐτοῦ. ἤκουσα p. 84 B. δὲ καὶ τοῦτο, ὡς διὰ πολλῶν εὐχῶν καὶ νηστειῶν ἔτι γε μὴν καὶ ἐλεημοσυνῶν ἀπὸ θεοῦ ἡ τούτου μήτηρ τὸν παῖδα ἐξαιτήσατο· ὃν γοῦν ὁ θεὸς διπλῶς σοι δέδωκε, κατὰ τὴν φύσιν καὶ τὰς τῆς δεσποίνης ἱκεσίας, διὰ ῥῆμα γυναικὸς ἀνεξέταστον θανάτῳ αὐτὸν παραδίδως; ἀλλ' ὅμως νῦν ἱκετεύω ἀκοῦσαί μου τῶν ῥημάτων τουτωνί·

Ἀνήρ τις δαιμόνιον εἶχε, μαντευόμενος καὶ λέγων ὅσα ἐρωτοῦσαν αὐτὸν οἱ ἄνθρωποι· ὅστις δαίμων ἐκαλεῖτο πνεῦμα πύθωνος· τάχα δὲ λέγων οὗτος ὁ ἄνθρωπος ἐκ τοῦ δαίμονος συνῆγε κέρδη πολλά. οὐ μόνον δὲ προέλεγεν, ἀλλ' ὑπὸ τῆς μαντείας καὶ ἰατρικὴν ἐγνώριζε. λοιπὸν εἴ τις ἄνθρωπος ἠρώτα αὐτὸν περὶ ἀφανῶν πραγμάτων, τὰς

1 *ἀδικώτητα* A *noto compendio, quod extat in* V *quoque, deceptus* 2 *μαχαίρας ἔργον γενέσθαι dixit etiam* Cinnamus *aliique similiter cf. p.* 30, 1. Wyttenb. St. Th., Boiss. *ad* Nic. Eug. *p.* 59 3 *μικρὰν* ABV(D): *μιαρᾶς? sed* M *ψιλήν* 5 *λόγων αὐτῆς*] *in structura ne offendas* *ταύτη* A 7 *εὐχῶν* VBMD: *om.* A 9 *debebat ἐξητήσατο ut exhibet* M (*σύ τε καὶ ἡ μήτηρ ἐξητήσασθε*) *et supra legimus* 10 *καὶ κατὰ τὰς?* 12 *νῦν scripsi: μου* ABV. *utrumque pronomen ferri posse uidebatur restituta ea qua scriptor crebro utitur structura ἱκετεύω, ἄκουσον: sed in ea, qua nec ipsa abstinuit, ἱκετεύω ἀκοῦσαι, prius μου delendum erat. u.* D 14 *lemmata: διήγησις τοῦ ἑβδόμου φιλοσόφου* ABV, *add. ἡ τελευταία* A *καὶ τελευταίου* B *nihil* V: *narratione caret* Ven. 15 *ἐρωτοῦσαν i. e. ἠρώτων forma barbara; uide praefationem* 16 *πνεῦμα πύθωνα* Act. Ap. 16, 16 *optimi libri: ubi uide quae Meyer congessit* 18 *ne putes pro δὲ scribendum esse γάρ uel pro u. λέγων* 16 *προλέγων*:

ἀπολογίας ἑτοίμως ἀπέδιδεν. οὗτος οὖν ὁ ἀνὴρ ἀπὸ τῆς τοιαύτης μεταχειρίσεως ἐπεσώρευε χρήματα πολλά. μιᾷ γοῦν τῶν ἡμερῶν τὸ κατοικοῦν ἐν τῷ ἀνθρώπῳ πνεῦμα εἶπεν ὡς „ἐγὼ ἀπὸ τοῦ νῦν ἀπέρχομαι ἀπὸ „σοῦ, καὶ πλέον οὐκ ἔχεις με. πλὴν πρὸ τοῦ ἐξελ„θεῖν με ἀπὸ σοῦ, λόγους τρεῖς παραγγέλλω σοι· καὶ p. 85 B. „οἷον ἂν (διὰ) τῶν τριῶν λόγων ζητήσῃς παρὰ θεοῦ, „εὐθὺς δοθήσεται.“ ταῦτα εἰπὼν ὁ δαίμων τῷ ἀνδρὶ ἐφανέρωσε καὶ τοὺς τρεῖς λόγους. εἶτα μακρὰν διέβη τοῦ ἀνδρός. καὶ ὁ ἄνθρωπος, τοῦ μαντικοῦ δαίμονος ἀπ᾽ αὐτοῦ ἐξελθόντος, μετὰ λύπης ἦλθεν καὶ εἰς τὴν οἰκίαν αὐτοῦ εἰσέδυ. ἰδοῦσα δὲ αὐτὸν ἡ γυνή, „τί οὕτως“ ἔφησε „σκυθρωπὸς καὶ ὠχρό„τατος γέγονας;“ καὶ ὁ ἀνὴρ ἀπεκρίνατο· „ὦ γύ„ναι, τὸ τοῦ πύθωνος ἐκεῖνο πνεῦμα, δι᾽ οὗ ἐμαν„τευόμην καὶ τὰς ἰατρείας ἐποίουν, ἐξῆλθεν ἀπ᾽ „ἐμοῦ τελείως· καὶ διὰ τοῦτο πῶς δύναμαι ζῆν; „παρ᾽ ἐκείνου γὰρ τοὺς λόγους ἐδιδασκόμην καὶ „προέλεγον καὶ εἶχον τὰ κέρδη.“ ἡ δὲ γυνὴ τῶν λόγων ἀκούσασα, κἀκείνη ἐλυπήθη. ὁρῶν δὲ αὐτὴν ὁ ἀνὴρ πικρῶς κλαίουσαν, ἐπεχείρει παραμυθεῖσθαι αὐτὴν καὶ λέγει πρὸς αὐτήν· „μὴ λυποῦ, ὦ γύναι· „τὸ γὰρ πνεῦμα ἐκεῖνο τρεῖς λόγους με παρήγγειλεν, „ὥστε δι᾽ ἐκείνων τῶν τριῶν λόγων ὅπερ ἂν ἀπὸ p. 86 B.

nam προέλεγεν *respicit u.* μαντευόμενος 1 ἀπέδιδε *libri. cf.* 64, 15 οὗτος] οὕτως M 5 οὐκέτι ἕξεις M 6 λόγους] precandi formulas „Sprüche“ σοι] σοῦ V 7 διὰ *adieci cl.* 24, *quamquam fortasse non librarium sed qui hanc recensionem confecit corrigens, ut sententia constet.* ἐν ἑκάστῳ τούτων ὃ ἂν θεόθεν αἰτήσῃς M. *u.* D ζητήσεις ABV: ζητήσῃς Boiss. αἰτήσῃς M 8 εὐθύς σοι? *addit* σοι M, σοῦ D 11 ἀπῆλθεν?
14 παραγέγονας M 23 με *supra scriptis l.* οι *alia ut uidetur manu* V. μοι M μου D παρήγγειλε AB παρή (γγλ *supra*) V

„τοῦ θεοῦ ζητήσω, ἔξω ἀπὸ τοῦ θεοῦ. καὶ ἐφανέ„ρωσέ μοι ὅτι ἅμα τοῦ ζητῆσαι ἐμὲ γενήσεται.“ τούτοις τοῖς λόγοις ἡ γυνὴ καλοκαρδίσασα, „ὦ ἄνερ, ἀρκετά σοι“ ἔφη „τὰ τρία λόγια εἰς τὸ ἔμπροσθεν.“ ὁ δὲ ἀνὴρ πάλιν λέγει· „τί οὖν συμβουλεύεις μοι αἰτήσασθαι ἐκ θεοῦ;“ ἡ δὲ γυνὴ πονηροτάτη ὑπάρχουσα καὶ πρὸς ἀπρεπεῖς ὀρέξεις καὶ παραλόγους δεδουλωμένη καὶ τὴν συνουσίαν ἀγαπῶσα, φησίν· „οἶδα, ὦ ἄνερ, ὡς καὶ σὺ τοῦτο γνωρίζεις· „οὐδὲν ἄλλο ἀγαπητικώτερον εἰς τοὺς ἀνθρώπους „ἐστὶν ἢ μόνον τὸ κοιμᾶσθαι ἄνδρα μετὰ γυναικός· „ζήτησον οὖν τὸν θεὸν πολλοὺς ὄρχεις γενέσθαι ἐν „τῷ σώματί σου.“ ὁ δὲ ἄφρων ἐκεῖνος ἀνὴρ τὴν τοιαύτην ἅμα δέησιν ἐποιεῖτο, καὶ ἅμα τῇ εὐχῇ αὐτοῦ ὅλον τὸ σῶμα γέγονε μεστὸν καὶ νεφρῶν καὶ ὄρχεων· ἅπερ ἰδὼν ὁ ἄθλιος ἑαυτὸν ἐβδελύττετο, καὶ τὴν γυναῖκα ἰσχυρῶς τύπτει καὶ καθυβρίζει. καὶ
p. 87 B. τοσοῦτον ἠγριώθη κατ' ἐκείνης, ὡς βουληθῆναι καὶ αὐτὴν ἀποκτεῖναι, λέγων πρὸς αὐτήν· „αὕτη σου „ἐστὶν ἡ καλὴ συμβουλή, ὦ κατάρατον γύναιον, ἡ „φέρουσα ἡμῖν κέρδος; οὐκ ἐνετράπης αὐτὴν τὴν „πονηρὰν βουλὴν καὶ αἰσχύνης γέμουσαν βουλεύ„σασθαί με;“ ἡ δὲ πρὸς αὐτὸν ἀντέφησε· „τί „τοσοῦτον ὀργίζεσαι, ἄνθρωπε; μηδὲν ταραχθῇς ἢ

1 ἔξω V 2 ἅμα τοῦ *Malalas aliique Byzantini dixerunt* 4 τὸ ἔμπροσθεν] tempus futurum 8 τὴν οὐσίαν V 9 φησίν M φησί ABV 10 ἀλλ' A ἀγαπιτηκότερον ABV: *corr.* Boissonade, D εἰς] „für“ 11 ἐστὶ ABV 16 ὀρχέων ABV: *correxit* Boissonade [καὶ ὄρχεων]? ὅπερ? *uide* 69, 5 ὄρχεων 6 ἅπερ *quasi anticesserit* νεφρῶν 18 καὶ *iungendum cum u.* ἀποκτεῖναι. *cf.* 65, 18. 19 21 αὐτὴν] *cum non sequatur superlatiuus* πονηροτάτην *nescio an scribendum sit* ταύτην *uel* αὐτή 24 ὀργίζεσαι] *cf. n. ad* 58, 16

„λυπηθῇς περὶ τούτου· ἕτεροι γὰρ δύο λόγοι ἀπέ-„μεινάν σοι. καὶ παρακάλεσον τὸν θεὸν διὰ τοῦ „ἑνὸς ῥήματος τοὺς ἰθυφάλλους τούσδε ἀπὸ σοῦ „διαβῆναι.“ καὶ ἅμα, τῇ συζύγῳ πεισθείς, αἰτεῖται παρὰ θεοῦ καὶ ἠλευθερώθη τῶν ὄρχεων· ἔχασε δὲ μετὰ τούτων καὶ ἅσπερ εἶχεν ἀπὸ γενέσεως. εὐθὺς οὖν ὁ ἀνὴρ πάλιν ἀπὸ τῆς λύπης ἐπὶ πλέον κατὰ τῆς γυναικὸς ἀγριοῦται καὶ δοκιμὴν ποιεῖται τοῦ θανατῶσαι αὐτήν. ἣ δέ φησι· „διὰ τί ὁρμᾷς θανα-„τῶσαί με; μηδὲν γὰρ ἐπὶ τῷ γενομένῳ νῦν λυποῦ· „εἷς γὰρ ἔτι λόγος σοι ἀπέμεινε. καὶ ζήτησον τὸν „θεὸν τοὺς ἀπὸ γεννήσεώς σου ὄρχεις ἀπολαβεῖν.“ ὃ δὲ τοῦτο ζητήσας μόλις ἔτυχε τοῦ ζητήματος.

Βλέπε οὖν, ὦ βασιλεῦ, ὁποῖα ἔργα τῷ ἀνδρὶ p. 88 B. ἐκείνῳ συμβέβηκε, διότι ἀσυλλογίστως τῇ πονηρᾷ βουλῇ τῆς γυναικὸς ὁ μάταιος ἐπίστευε. καὶ νῦν λοιπὸν μακροθύμησον, παρακαλῶ, καὶ μὴ σπούδαζε πρὸς τὸν ἄδικον τοῦ υἱοῦ σου φόνον, μηδὲ συναρ-παγῇς τῇ τῆς γυναικὸς πονηρᾷ καὶ ἀναισχύντῳ συμ-βουλῇ· μᾶλλον γὰρ ὅταν ὑπάρχῃ ἡ διαβάλλουσα γυνὴ κατὰ πολὺ κακότροπος καὶ πρὸς φόνον ἐρε-θίζουσα, φαίνεται ὅτι οὐ διὰ δίκαιόν τι συμβουλεύει

1 *ἀπέμεινάν σοι scripsi*: *ἀπεμείνασι libri forma barbara in hoc ceteroquin scriptore ferenda*: *sed quod sententia requirit pronomen est in* M *ἕτεροι γάρ σοι δύο ὑπελείφθησαν λόγοι et infra* 11: D *om.* *σοι* 2. 11 3 *ἰθυφάλους* V 5 *ἐλευθερώθη* ABD *ὀρχέων* ABV *ἐχάσε* V. amisit 6 *ἅσπερ scripsi*: *ἅπερ* ABV. *cf. ad* 68, 16. *ἃ δὴ γεννητὰ αἰδοῖα* M. *u.* D 8 *δοκιμή*] conatus 10 *μηδὲ* A *μὴδὲ* V 11 *καὶ δή*? 12 *γενέσεως*? *ἀπολαβεῖν scripsi ut est in* M: *λαβεῖν* ABV 13 *μόγις* M 15 *ἀσυλογίστως* V *relicto tamen litterae λ alterius spatio* 17 *σπουδάζης* V: *σπουδάσῃς*? *κατεπείγου* M 18 *et p.* 70, 6 *μὴδὲ* V *ut saepissime* 20 *ὑπάρ* (χ) V *ὑπάρχει* A 21 *καταπολὺ* ABV *ut διατοῦτο* V *p.* 70, 1 *et alibi saepissime*

καὶ ἐπαινετόν, ἀλλὰ δι' ὄρεξιν καὶ μανίαν. καὶ διὰ τοῦτο οὐδαμῶς οὐδαμῇ πρέπει πιστεύειν αὐτήν. ὅμως καὶ ἄλλης διηγήσεώς μου ἀκοῦσαι παρακαλῶ.

Ἀνήρ τις ὑπῆρχεν, ὃς ὤμοσεν εἰς ἑαυτὸν τοῦ μὴ καθίσαι εἰς ἕνα τόπον ἢ εἰς παραδιαβασμοὺς ὡς νέος περιπατῆσαι μηδὲ γυναῖκα λαβεῖν, ἕως ὅτου νὰ μάθῃ τὰς πονηρίας ὅλας καὶ τὰ τεχνάσματα τῶν κακῶν γυναικῶν. καὶ τὸν λογισμὸν τοῦτον ἔχων ἐν ἑαυτῷ, p. 89 B. *ἐξῆλθε τῆς ἰδίας πατρίδος, καὶ περιεπάτει κατὰ πόλιν καὶ χώραν, μαθεῖν σπουδάζων ἅπερ ἠβούλετο. ἄλλος δέ τις ἄνθρωπος ἐν τῇ ὁδοιπορίᾳ συναντήσας, ἠρώτησεν αὐτόν· καὶ ὡς ἤκουσεν αὐτοῦ, ὅτι διὰ τῶν πονηριῶν τῶν γυναικῶν περιπατεῖ, μαθεῖν βουλόμενος [τὰς πονηρίας], „ὦ ἄνθρωπε, μάτην κοπιᾷς·“ φησίν „οὐ γὰρ δυνήσῃ τὰς τῶν γυναικῶν „γνώμας καὶ πονηρίας εὑρεῖν ἢ μαθεῖν. εἰ δὲ θέ„λεις μαθεῖν ὀλίγα τινὰ ὡς ἀμετρήτων οὐσῶν, εὗρε „τόπον τινὰ μοναξόν, καὶ σύναξε στάκτην ἢ κονι„ορτὸν τῆς γῆς πολὺν καὶ κάθισον ἐπάνω αὐτοῦ „τεσσαράκοντα ἡμέρας καὶ νύκτας ὁμοίας, ἐσθίων*

3 διηγήσεώς μου] *hanc inclinandi rationem etsi falsum esse puto tamen reliqui* ἀκοῦσαί σε? ἄκουσον? 4 *lemma* διήγησις τοῦ αὐτοῦ ἑβδόμου φιλοσόφου 5 καθίσαι] sedem atque domicilium constituere παραδιαβασμοὺς] libidinibus indulgentem circumuagari 6 λαβεῖν *docet inf. aor. esse a scriptore profectum* νὰ *barbarum est in* ABV, D. (ὅτουναμάθη V). ἕως ἂν ἐπισταίη M 12 ἠρώτισεν V καὶ ὡς ἤκουσεν αὐτὸν (AB) Boiss.: *om.* V. *scripsi* αὐτοῦ: μαθὼν πρὸς αὐτοῦ M. *u.* D διὰ τῶν πονηριῶν *i. e.* διὰ τὰς πονηρίας *uel potius* τῶν πονηριῶν ἕνεκα 14 τὰς πονηρίας *deleui*; μαθεῖν βουλόμενος *quoque fortasse eicere debebam* 15 τὰς] πάσας τὰς? 17 οὐσῶν BV αὐτῶν A. αὐτῶν οὐσῶν Boissonade εὗρε ABVD, *forma uolgari* 18 σύναξε] σύναξαι? *sed hodierni Graeci ita scribunt* ἢ κονιορτὸν *om.* D: *propter u.* πολὺν *et* ἐπάνω αὐτοῦ *deleri non potest; sed fortasse uu.* στάκτην ἢ *eicienda sunt*· 20 ὁμοίας V: ὁμοίως (AB) Boiss. *om.* D

„καὶ πίνων ὀλίγον· καὶ τότε θέλεις δυνηθῆν εὑρεῖν „τὰς πανουργίας τῶν γυναικῶν.“ ὁ δὲ νέος τῶν λόγων τούτων ἀκούσας, ἐποίησε καθὼς ἐκεῖνος ἐδίδαξε, καὶ ἦν καθήμενος ἐπὶ σποδοῦ τρώγων ὀλίγα· καὶ ἐφ' ὅλαις τεσσαράκοντα ἡμέραις καὶ τεσσαράκοντα νύκταις ἀπεγράφετο τὰς τῶν γυναικῶν πανουργίας. καὶ ὡς ἐτελέσθησαν αἱ ἡμέραι καὶ νύκται, p. 90 B. ὡς ὕστερον ἐφάνη αὐτῷ ὅτι οὐδεμίαν πονηρίαν τῶν γυναικῶν ἀφῆκεν ἄγραφον, ἔλαβε τὰς πονηρίας ἃς ἔγραψε καὶ ἐστράφη εἰς τὸ ὁσπήτιον αὐτοῦ. καὶ ἐπανερχόμενος εὑρὼν χωρίον, ἔμεινεν ἐκεῖ ἀναπαυθῆναι μικρόν. ἐν τῷ χωρίῳ γοῦν ἐποίησέ τις τραπέξιν μέγα, καὶ ἐκάλεσε πολλούς· μετὰ πάντων δὲ ἐκάλεσε καὶ τὸν ξένον· ὃς καὶ ἐλθὼν ἐκαθέσθη μετὰ τῶν λοιπῶν, μὴ ἐσθίων ὁμοίως ἐκείνοις τὰ ἐν τῇ τραπέζῃ. ὅτε καὶ λέγει πρὸς αὐτὸν ὁ ἔχων τὴν τράπεζαν· „πόθεν εἶσαι καὶ τίς εἶσαι, ὦ φίλε;“ ὃ δὲ εἶπε· „στρατοκόπος ὑπάρχω, καθὼς ὁρᾷς, καὶ ἀπὸ „μακροῦ τόπου ἦλθον ἐνταῦθα. καὶ γὰρ ἐξῆλθον „ἀπὸ τὴν πατρίδα μου, ὅπως νὰ μάθω φρόνησιν „καὶ νὰ ἐγνωρίσω τὰ τῶν πονηρῶν γυναικῶν πονη„ρεύματα.“ τότε λέγει ὁ οἰκοδεσπότης πρὸς τὴν ἑαυτοῦ γυναῖκα· „ὁ ἄνθρωπος οὗτος ξένος ἐστὶ τοῦ „χωρίου ἡμῶν καὶ οὐδ' ὅλως ἤκουσε φαγεῖν εἰς τὴν

1 *δυνηθεῖν* ABV, *δυνηθῆ* D. *θέλεις δυνηθῆν circumscribendo tempori futuro inseruit, quod exhibet* M 2 *τὰς*] *τινὰς? cf. p.* 70, 17. *μέρος τὶ* D 5 *ἐφ' ὅλαις i. e. παρ' ὅλας* M 6 *νύκταις forma barbara recentiores utuntur* 8 *ὕστερον*] denique. *ἐσύστερον* M *ἐφάνη i. e. ἐδόκει* M 10 *ὀσπήτιον* BV 11 *ἔμεινε* (AB) Boiss. 12 *τραπέξιν*] coenam. *cf. n. ad* 59, 11 14 *ἦλθε* A 17 *ἦσαι* A. *εἶσαι est forma uolgata* 18 *στρατοκόπος*] peregrinator 20 *ὅπως ναμάθω* V, *sed statim νὰ ἐγνωρίσω. uerbum ἐγνωρίζειν scriptori non est eripiendum. cf. p.* 141, 6 B. 24 *ἤκουσε*] *i. e. ὑπακούει ὥστε φαγεῖν, nisi reponendum ἠξίωσε* *εἰς*] *uernacule* „an“

„τράπεζαν ἡμῶν· ἐξέβη γὰρ ἀπὸ τῆς πατρίδος αὐ
p. 91 B. „τοῦ καὶ ὅλας τὰς χώρας περιεπάτησε καὶ πάσας τὰ
„πονηρίας τῶν γυναικῶν ἔμαθε καὶ ἔγραψεν. ἀλλ
„ἀναστᾶσα, γύναι, οἰκονόμησον αὐτῷ ἰδίως τὰ πρὸ
„τροφὴν αὐτοῦ, ὡς ἂν παρ' ἡμῖν οὗτος ὁ ξένο
„μετὰ καλῆς φιλίας τραφῇ.“ ἡ δὲ γυνὴ πάντ
ἐποίησε καθὼς ὁ ἀνὴρ ἐνετείλατο, καὶ τὸν ξένο
εἰσήγαγεν εἰς τὸ ἐνδότερον οἴκημα καὶ παρέθηκ
τράπεζαν μεστὴν τροφῶν. εἶτα ἐπηρώτησεν αὐτὸ
λέγουσα· „τί ἐποίησας, ὦ ἄνθρωπε; γέγραφας πά
„σας τὰς τῶν γυναικῶν πονηρίας;“ ὃ δὲ „ναί“
φησίν „οὐδεμίαν πονηρίαν τῶν γυναικῶν ἢ ἐπιβου
„λὴν ἢ κατασκευὴν κακὴν ἄγραφον ἀφῆκα.“ ἡ δ
γυνὴ τῶν λόγων τούτων ἀκούσασα, κατέλαβεν αὐ
τὸν εἶναι ἄγνωστον καὶ ματαιόφρονα, καὶ πρὸς αὐ
τὸν εἰρωνευομένη ἔλεγεν· „ἐπειδή, ὡς λέγεις,
„ξένε, πάντα τὰ πονηρεύματα ἔγραψες, ἀδύνατό
„ἐστι γυναῖκα, ἐὰν καὶ ἐγώ εἰμι, τεχνάσασθαί τ
p. 92 B. „πρὸς σὲ πονηρὸν ἢ διὰ λόγου ἢ ἔργου; πλήν, ὡ
„ἂν λέγω σοι μιᾶς γυναικὸς ἔργον, ἄκουσον ἐὰ
„ἔχῃς γραμμένον τοῦτο.“ ὃ δὲ εἶπεν· „εἰπέ.“ ἡ δ
γυνὴ ἔφη·

„ἦν τις ἀνὴρ ἔχων γυναῖκα τιμίαν καὶ φρόνιμον, ὅστις ἀεὶ περισύρων τὰς γυναῖκας ὅλας ἐτύγχανεν. ἡ δὲ γυνὴ ἀντέλεγε τῷ ἀνδρί· „μὴ ὕβριζ

4 ᾠκονόμησον VB ᾠκονόμισον A: correxi 5 παρ' ἡμῶ M 6 καλῆς] πάσης? cf. ad 29, 12 9 ἐπηρώτισεν V 15 ἄγνωστον] cf. p. 114 B. m. 17 ἔγραψες pro eo quo est ἔγραψας dicunt Graeci recentissimi; eidem ἐάν εἰμι 18 19 λόγον et λόγον A ἢ ἔργου] praepositionem repetunt MI interrogandi signum posui ὡς ἐὰν ABV: scripsi ὡς ἄ „ut hoc utar exemplo“ 20 ἐὰν] num 21 γραμμένον c 50, 10 εἶπε V 23 hanc narrationem praetermisit M

„πάσας, ἀλλὰ τὰς κακάς.“ ὁ δὲ ἀντέφησεν· „ὅλας.“ ἡ δὲ „μὴ οὕτως λέγε,“ φησίν, „ἐπείτοι γε οὐκ ἔτυ- „χες ἐμπλακῆναι ἐν μιᾷ τούτων.“ ὃ δὲ λέγει· „εἰ „ἐτύγχανον ἐν μιᾷ τούτων κακῇ, ἔμελλον αὐτὴν „ῥινοτομῆσαι.“ πλησίον γὰρ τῷ οἰκήματι αὐτοῦ φιλονεικοῦσαι ἐτύγχανον αἱ γειτόνισσαι, καὶ οὗτος καθ' ἑαυτὸν ὕβριζεν αὐτάς. ἡ δὲ γυνὴ λέγει τῷ ἀνδρί· „σήμερον τί ποιεῖς;“ ὃ δὲ λέγει· „ἀπέρχομαι „εἰς τὸ χωράφιον· καὶ σὺ ἀργὰ μαγείρευσόν τι καὶ „φέρε μοι ἔξω νὰ φάγω.“ ἣ δὲ ἀπελθοῦσα εὗρεν ὀψάρια κατὰ τὴν ὁδὸν καὶ ἠγόρασε. καὶ τὸ μὲν μαγέρευμα μετὰ τοῦ τζουκαλίου ἐκόμισε τῷ ἀνδρὶ αὐτῆς φαγεῖν. αὕτη στρεφομένη πρὸς τὸ ὀσπήτιον ῥίπτει κατὰ τὴν τοῦ ἀρότρου σκαφὴν ἓν γυλλάριον, p.93 B. ἀλλαχοῦ δὲ δύο, ἕως ὅτου ἔρριψεν ὅλα. καὶ ὁ ἀνήρ, τῆς γυναικὸς διαβάσης, ἐρχόμενος μετὰ τῶν βοῶν ἀροτριᾶν, εὑρίσκει τὰ ὀψάρια ἐρριμμένα, ποῦ μὲν δύο, ποῦ δὲ τρία, καὶ ἐσύναξεν αὐτά. καὶ ἀργὰ σχολάσας ἄπεισιν εἰς τὴν οἰκίαν, καὶ λέγει τῇ γυναικί· „οὐκ ἐποίησάς τι, ὥστε φαγεῖν ἡμᾶς ὀψέ;“ ἣ δὲ „μὴ ἔχουσά τι“ εἶπεν „ἢ κρέας ἢ ὀψάριον ἢ „ἄλλο τι, οὐκ ἐμαγείρευσα.“ καὶ ὅς φησιν· „ἰδοὺ

2 ἔτυχεν ABV: ἔτυχες *scripsi.* τυγχάνειν *cum infinitiuo coniunctum ne te offendat* 6 γειτόνισαι VB γειτόνησαι A: *correxit* Boissonade 9 ἀργὰ *i. e.* ἀργῶς „in aller Ruhe“ 10 εὗρε ABV 11 μαγέρευμα *forma uolgaris* 12 τζοκαλίου V *cf.* 31, 19 13 αὕτη] εἶτα? ὀσπήτιον VB 14 τὴν *om.* VB τοῦ] τῶν A „*in* A *est compendium quod ad* γυλλάρι [γυλάρι Du Cange] *fere ducit*“ Boissonade. 16 διαβαίνειν *est* discedere 17 ἐρριμένα V ποῦ μὲν .. ποῦ δέ *scribitur, non* ποὺ μὲν .. ποὺ δέ 18 ἐσύναξεν *cf.* 59, 7 [ἀργά]? *nisi* σχολάσας *interpreteris* laborem finiens. *om.* D. 20 ποιεῖν *ut nostrates* ὀψέ] *uernacule* zu Abend 21 εἰπεῖν A ὀψάρια A (D) 22 ἄλλό τι V *ut saepius* οὐκ ἐμαγείρευσα] „ich habe nicht gekocht“

„ὀψάρια, ἃ εὗρον ἐν τῷ χωραφίῳ, καὶ ἕψησον αὐτά.“ ἣ δὲ ἀκούσασα, τὰ μὲν ὀψάρια λαβοῦσα ἔκρυψε· τράπεζαν δὲ θεῖσα, λέγει ὁ ἀνήρ· „τὰ ὀψάρια ποῦ;“ ἣ δέ, „ποῖα ὀψάρια;“ φησίν. ὃ δὲ λέγει· „μωρή, „οὐκ ἔφερά σοι ἀρτίως ὀψάρια, ἃ εὗρον εἰς τὸ χω„ράφιν;“ ἣ δὲ ἅμα ταῖς ὄνυξι σπαράξασα τὰς παρειὰς ἐβόησε· „ἀκούσατε, γείτονες.“ καὶ τῶν γειτόνων συναχθέντων λέγει ἡ γυνή· „ἀκούσατε, ἄρ„χοντες· ὀψάρια [γυλλάρια] λέγει μοι ἑψῆσαι ἃ ἔφερεν „ἀπὸ τὸ χωράφιον.“ καὶ οἱ ἄνθρωποι συναχθέντες
p.94 B. λέγουσι τῷ ἀνθρώπῳ· „τί λέγεις; ἐν τῷ ἀγρῷ ὀψάρια „εὑρίσκονται;“ ὃ δὲ λέγει· „αὐθέντες καὶ ἀδελφοί, „ἐγὼ εὗρον αὐτὰ ἐκεῖσε· πῶς δὲ εὑρέθησαν οὐκ „οἶδα.“ τότε τῆς γυναικὸς βοώσης ὅτι „δαιμόνιον „ἔχει οὗτος,“ οἱ δὲ γείτονες ἐν ποσὶ καὶ χερσὶ πέδαις σιδηραῖς ἔβαλον· καὶ ὅλην τὴν νύκτα ὁ δείλαιος ἔλεγε· „καὶ οὐχ εὗρον τὰ γυλλάρια καὶ κομίσας δέ„δωκα τῇ κυνὶ ταύτῃ, εἰπών Ἕψησον αὐτά; κατὰ τί δὲ ἐσιδέρωσάν με;“ τῆς δὲ πάλιν βοώσης, καὶ ἡμέρας ἐπιγενομένης, παραγίνονται οἱ γείτονες ἐρωτῶντες· „τί γέγονας;“ ὅτε καὶ αὖθις τὴν ἀλήθειαν ὁ ἄτυχος

3 θεῖσα *nominatiuus in hoc scriptore utique ferendus* 4 φησί *libri* μωρή *ut aliae formae ionicae*, ἔφερα *aoristus*, εἰς τὸ χωράφιν *in uerbis loquentis ipsis minus etiam offendunt* 6 ταῖς] *sic libri* 8 ἄρχοντες] *more nostro omnes uicinos adloquitur* dominos 9 γυλλάρια *seclusi; om.* D 12 αὐθέντες] *uide indicem* 13 πῶς] qui factum sit ut inueniri potuerint 15 δὲ *om.* B. *sed talis structura apud recentiores non infrequens est* ἐν ποσὶ πέδαις ἔβαλον *mire dictum:* πέδαις ἔβαλον *uidetur in unum quasi uerbum coaluisse* uincire. ἐν τῇ ποσὶ A, *unde* Boissonade *malebat* ἐν τοῖς ποσί 16 νύκτα VD: νύκταν (AB) Boiss. 19 σίδερος *Graeci recentiores dicunt, in multis uocabulis praesertim ubi insequitur l.* ρ *pro l.* η *substituentes* ε, *uelut in* θερίον καὶ *hoc modo minus commode saepe additur* 21 γέγωνας? *sed u.* 38, 3 ὅτε Boissonade: ὁ δὲ *libri; u.* D ἄτυχος *utique scriptoris est*

ἔλεγε. τῆς δὲ γυναικὸς βοώσης ὅτι „δαιμόνιον ἔχει,“ οἱ ἄνθρωποι ῥᾳδίως ἐπίστευον τὴν γυναῖκά, καὶ ἔλεγον· „ἀληθῶς ὁ ἄνθρωπος ἔπαθέ τι.“ μετὰ δὲ τρίτην ἡμέραν λέγει ἡ γυνὴ τῷ ἀνδρί· „πεινᾷς; ἵνα „σοι δώσω τι φαγεῖν.“ ὃ δὲ λέγει· „ναί· καὶ τί „ἔχεις δοῦναι μοι φαγεῖν;“ ἣ δέ· „ὀψάρια τηγάνου.“ ὃ δέ· „καλῶς εἶπας, ὦ γύναι· ἃ σοι ἐκόμισα ὀψάρια „ἀπὸ τὸ χωράφιν, ταῦτά εἰσι;“ καὶ ἅμα ἡ γυνή· „ἄρχοντες χριστιανοί, ἀκόμη τὸ δαιμόνιον κατέχει p. 95 B. „τοῦτον, καὶ πάλιν ὀψάρια λέγει.“ τοῦ δὲ εἰπόντος „οὐκ ἔτι τὸν λόγον εἴπω τοῦτον,“ ἡ γυνὴ ἔδωκεν αὐτῷ καὶ ἔφαγεν ἀπὸ τῶν ὀψαρίων ἐκείνων, μὴ εἰπὼν ἔτι λόγον περὶ τούτου. ὕστερον δὲ λέγει τῇ γυναικί „λῦσον με.“ ἣ δὲ λέγει· „μὴ ὀψαρίων μέμνησαι;“ ὃ δὲ λέγει· „οὐκ οἶδα τί λέγεις.“ τότε ἔλυσεν αὐτόν, καὶ λέγει· „ὦ ἄνερ, ὅσα εἶπας, καλῶς „εἶπας· ἀλλὰ διότι ὕβριζες οὐχὶ τὰς κακὰς γυναῖκας „μόνον ἀλλὰ καὶ τὰς καλάς, κἀγώ σοι εἶπον „Σιώπα,“ „σὺ δὲ εἶπας „Ἂν εἶχον ἐγὼ τοιαύτην πονηρὰν γυ„ναῖκα, ἔμελλον αὐτὴν ἀνελεῖν,“ διὰ τοῦτό σοι „ἐποίησα ὅσα εἶδες· καὶ μηκέτι καυχᾶσαι περιγενέ„σθαι τῶν γυναικῶν.“ τούτοις οὖν τοῖς λόγοις

1 πάλιν βοώσης? 4 *post* πεινᾷς *neque post* φαγεῖν *interrogandi signum posui. nam* ἵνα *significat* hoc eo consilio ex te quaero ut —. *cf. p.* 104 B. δώσω *autem est coniunctiuus aoristi barbarus* 6 τηγάνου *i. e.* τηγανιστά 9 ἄρχοντες *cf.* 74, 8 ἀκόμι A ἀκόμα D: ἀκόμη BV *i. e.* ἔτι. *u.* Corais στοχασμ. αὐτοσχ. *ante Aelianum p.* μη' *n.* 3; *ad Isocr. p.* 3 *med.* 306 (29). 312 *m.* 342 *m. et saepius* 11 εἴπω *coniunctiuus pro futuro est* 12 ἐκείνων *om.* (AB) Boiss. εἰπὼν ἔτι *scripsi:* εἰπόντι VB εἰπέν τι A; *u.* D. *aptius autem uisum est* ἔτι *reponere quam quod aliquando proposueram u.* λόγον *deleto scribere* εἰπών τι. 13 δὲ *om.* V 18 καλάς *cf. n. ad* 29, 12. *neque opus est addi* κἀγαθάς 19 ἂν εἶχον *i. q.* εἰ εἶχον *ut saepe; cf.* 59, 13 21 καυχᾶσαι *est coniunctiuus temporis praesentis*

προσέθηκε τῷ ξένῳ καὶ λέγει αὐτῷ· „τὸν ἐμὸν ἄνδρα βλέπεις, ὦ ξένε, κατὰ πολὺ γηραιὸν ὄντα κἀμὲ „πάλιν νέαν καὶ εὔμορφον καὶ τὴν τῶν ἀνδρῶν „ὁμιλίαν ἀγαπῶσαν πολλά, σὲ δὲ νέον ὄντα καὶ δυ„νάμενον τὴν ἐπιθυμίαν μου χορτάσαι. ὁ ἀνήρ μου
p. 96 B. *„ἐστὶν ἔξω μετὰ τῶν φίλων· καὶ σὺ ἀναστὰς πλή„ρωσον τὴν ἐπιθυμίαν μου.“ ὁ δὲ ξένος ἐκεῖνος ἀπατηθεὶς ἔλυε τὴν ζώνην τοῦ βρακίου τοῦ ἀναβῆναι τῇ κλίνῃ. ὡς γοῦν εἶδεν ἡ γυνὴ τὸ πρὸς συνουσίαν σύντομον τοῦ ξένου, ἅμα βαλοῦσα τὰς χεῖρας ἐπὶ τὴν ἑαυτῆς κεφαλήν, τὴν κόμην ἐσπάραττε βοῶσα· „βαβαί! ὀττοτί!“ καὶ τότε οἱ ἐν τῷ χωρίῳ οἰκοῦντες προσέδραμον καὶ οἱ καλεσμένοι. ὁ δὲ ξένος αὐτὴν βοῶσαν ἰδὼν καὶ τὸ πλῆθος εἰσρέον εἰς τὸν οἶκον, πάλιν ἐκάθισεν ἔμπροσθεν τῆς κειμένης αὐτῷ τραπέζης, φόβῳ συνεχόμενος πολλῷ καὶ μὴ ἔχων τι διαπράξασθαι. οἱ δὲ γεωργοὶ εἰσελθόντες λέγουσι τῇ γυναικί· „πῶς ἔπαθες; καὶ τίς ἡ αἰτία „τῆς τοσαύτης σου βοῆς;“ ἡ δὲ πρὸς αὐτοὺς εἶπεν· „οὗτος ὁ ξένος, ὁ παρ' ἡμῶν φιλοφρονούμενος, ἀπὸ „τῆς τραπέζης ἐσθίων, ὑπό τινος θρύμματος [ψίχας]*

1 *προσέθηκε*] urgere. *uernacule quoque* zusetzen 2 *κατὰ πολύ*] *uide ind.* — *καταπολύ* V *ut saepe* 4 *ἀγαπῶσαν scripsi: ἀγαπῶσα* V *ἀγαπῶ* (AB) Boiss.: *utramque structuram in hoc scriptore praesertim cum τὴν ὁμιλίαν antecederet ferendam duxissem si esset unde penderet σέ. itaque* Boissonade *qui ante καὶ* 3 *distinxit addere debebat, quod est in* M, *ὁρῶ post σὲ δὲ*; *u.* D
5 *ὁ δ'?* 6 *καὶ δὴ σὺ?* 8 *βρακίον*] braca *ἐπαναβῆναι* M *rectius* 13 *καλεσμένοι i. e. κεκλημένοι.* Boiss. Anecd. Gr. 4, 387. 14 *ἰδὼν scripsi: εἰδὼς* ABV. *u.* D *εἰς ῥέον* V 15 *κειμένης i. e. παρακειμένης* 17 *τί* V 18 *πῶς non est mutandum* 20 *ὁ om.* M 21 *τῆςδε τῆς* M *θρύμματος* M: *θρύματος* ABV *cf.* Corais Heliod. *p.* 63 (19) *ψίχας seclusi:* Boissonade *malebat ψιχός. ψίχας* V, *ψύχας et ψίχας* B, *ψύχας* A; *om.* M. *u.* D

„τὸν λαιμὸν ἐκρατήθη κακῶς, καὶ παρὰ μικρὸν „ἐκινδύνευε πνιγῆναι. ἐγὼ δὲ ἐξαίφνης ἰδοῦσα τὸ „συμβὰν καὶ δειλιάσασα τὸν θάνατον τοῦ ξένου, p. 97 B. „οὕτως ὡς ἠκούσατέ μου ἐβόησα. νῦν δὲ ἡ τοῦ θεοῦ „βοήθεια προφθάσασα ἠλευθέρωσεν αὐτὸν τῆς ἀνάγ- „κης τοῦ πνιγμοῦ, αὐτῷ τὴν ὑγείαν χαρισαμένη.“ ταῦτα τῆς γυναικὸς εἰπούσης, ἅπαντες διέβησαν. ἡ δὲ γυνὴ ἐκείνη πλησιάσασα τῷ ξένῳ, λέγει πρὸς αὐτόν· „ἆρα ὅσον σοι διηγησάμην καὶ ὅσον ἄρτι „ἐποίησα ἔχεις γεγραμμένον;“ ὁ δὲ ξένος „οὐδα- „μῶς,“ ἔφη. ἡ δὲ πρὸς αὐτόν· „μάτην λοιπόν, ὦ „ἄνθρωπε, τοὺς τοσούτους κόπους καὶ τὰς ἐξόδους „ἐποίησας· πολλὰ γὰρ σπουδάσας οὐδὲν ἐποίησας, „καὶ τὰς τῶν γυναικῶν μηχανουργίας οὔπω κατε- „νόησας.“ ὃ δὲ ἅμα τῷ λόγῳ ἐκείνης ἀναστὰς καὶ τὰ γεγραμμένα παρ' αὐτοῦ (περὶ) τῶν γυναικῶν λαβών, τῷ πυρὶ ἐνέβαλε καὶ θαυμάζων ἔλεγεν· „ὡς „οὐδεὶς ἀνθρώπων γνωρίσαι δύναται τὰ τῶν γυ- „ναικῶν πανουργεύματα.“ μετὰ δὲ ταῦτα διαπο- ρήσας καὶ μὴ ἔχων τι διαπράξασθαι, οὐ προσέθηκε ζητῆσαι πλέον τὰ γυναικεῖα κακά. καὶ οὕτως εἰς τὴν ἑαυτοῦ πατρίδα ὑπέστρεψε καὶ ἁπλῶς γυναῖκα ἔγημεν.

Ἀπὸ τούτων γοῦν, ὦ βασιλεῦ, τῶν ἐξηγηθέν- p. 98 B. των τῷ κράτει σου παρὰ τῆς ἐμῆς οὐθενότητος καὶ εὐτελείας γνῶθι ἀκριβῶς ὡς ἀτελείωτός ἐστιν ἡ τῶν

6 *αὐτὴν* BV 9 *ἄρα* V *ut saepius* *ὅσον i. e. ὅπερ* M *σοι om.* V 16 *περὶ adieci: κατὰ addit* Ven., *quod praefert* Boissonade 17 *θαυμάζων*] *θειαζόμενος* M *ἔλεγεν· ὡς* V (AB) Boissonade: *ἔ. ὅτι* D. M *om. ὡς, ut uideatur legisse* *ἔλεγεν ὡς „οὐδεὶς* 20 *καὶ μὴ ἔ. τι* (*τί* V) *διαπρ. fortasse cum* M *praetermittenda; cf.* 76, 17. *sed etiam διαπορήσας mallem abesset, firmatum illud quidem codicis* M *quoque testimonio* 21 *τὰ τῶν γυναικεῖα* A, *ex linea scilicet* 18 24 *οὐθενό-τητος*] *θ huic certe scriptori tribuendum*

γυναικῶν πονηρία, καὶ μὴ οὕτως ἁπλῶς καὶ ἀνεξετάστως ὑπακούσης πρὸς τὸν τοῦ υἱοῦ σου φόνον διὰ μόνην ἄκαιρον καὶ μανιώδη γυναικὸς κατηγορίαν. εἰ γὰρ τὸν σὸν παῖδα φονεύσεις, τίς ἄρα ἐστὶν ὁ τῆς σῆς βασιλείας διάδοχος καὶ κληρονόμος τοῦ γένους σου καὶ τῆς ἀρχῆς; μὴ ἡ κακοσύμβουλος γυνὴ τὴν σὴν ἀρχὴν καὶ βασιλείαν διαδέξεται; καὶ τίς ἐστιν ὁ θαρρήσας ἐπὶ τὸ σὸν κράτος ὥστε δουλεῦσαί σοι; καὶ εἰ οὐ φθάσει ἀμοιβὰς παρὰ σοῦ λαβεῖν ἕνεκα ὧν σοι δεδούλευκε, παρὰ τίνος ἕξει τὰς ἀμοιβάς, τοῦ υἱοῦ σου ἀδίκως παρὰ σοῦ φονευθέντος; ὅπερ καὶ εἰς ὅλην τὴν οἰκουμένην ὄνειδος ἔσται σοι αἰώνιον."

Τούτων ὁ Κῦρος τῶν λόγων καὶ παραδειγμάτων καὶ διηγήσεων παρὰ τοῦ ἑβδόμου συμβούλου καὶ φιλοσόφου ἀκροασάμενος, τὰ σπλάγχνα μειλιχθείς, ἕνα
p.99 B. τῶν αὐτοῦ δορυφόρων οἰκειότατον [δορυφόρον] προσκαλεσάμενος, πρὸς τὸν σπεκουλάτωρα ἔπεμψε, κελεύων μηδαμῶς ἀποκτεῖναι τὸν ἑαυτοῦ υἱόν.

Εἶτα τῆς ὀγδόης ἐπιστάσης ἡμέρας λύεται μὲν τοῦ τῆς σιωπῆς δεσμοῦ ἡ τοῦ παιδὸς γλῶσσα. καὶ

4. 8 *requiras* ἔσται 6 κακοσύμβουλος *scripsi*: κακὴ σύμβουλος ABV. *sed tum saltem* γυνή *deleri oportebat. u.* D 7 ἀρχὴν] ταραχὴν A 9. 11 παρασοῦ V 11 V *in marg.* σημείωσαι 15 καὶ φιλοσόφου] τοῦ φιλοσοφωτάτου M 16 μαλαχθεὶς *dubitanter proposuit* Boissonade 17 δορυφόρον VB: δορυφόρων *in* A *a correctore in* δορυφόρον *mutatum*: *deleui igitur uocabulum fortasse scriptorem emendans* 18 σπε-
τρ
κουλάτορα (AB) Boiss. σπεκουλά V 21 τῆς τοῦ δεσμοῦ σιωπῆς ABV (δεσμουσιωπῆς, V): *correxerat* Boissonade *cl.*
τοῦ δεσμοῦ
80, 4, *ut est in* M. *uidetur sic scriptum fuisse*. τῆς σιωπῆς. *neque tamen ideo alterum pro glossa alterius habendum esse censui, praesertim cum in* M *quoque extet utrumque.* τοῦ δ. *om.* D

ἀρξάμενος λαλεῖν, λέγει πρός τινα γυναῖκα ἱσταμένην ἔμπροσθεν αὐτοῦ· „συντόμως ἀπελθοῦσα, ὦ „γύναι, κάλεσόν μοι τὸν πρῶτον τοῦ πατρός μου „σύμβουλον καὶ φιλόσοφον.“ ἡ δὲ πρὸς τὸν φιλόσοφον [ἄνδρα] τῶν ἄλλων διαφορώτατον ἀπελθοῦσα, λέγει τῷ ἀνδρὶ ὡς „ὁ τοῦ βασιλέως υἱὸς μηνύει σε „πρὸς αὐτὸν παραγενέσθαι.“ ὁ δὲ φιλόσοφος δρομαίως πρὸς αὐτὸν παραγίνεται καὶ τοῦτον ἀσμένως ἐναγκαλισάμενος ἠσπάσατο. καὶ ὁ παῖς ἅμα τῷ φιλοσόφῳ ἐφανέρωσε τὴν αἰτίαν, δι' ἣν τὰς ἑπτὰ ἡμέρας ἦν σιωπῶν, ἀλλὰ καὶ ὅσα ἡ παλλακὴ τοῦ βασιλέως εἶπε πρὸς αὐτόν, καὶ προσέθηκε λέγων καὶ τοῦτο ὅτι „μεγάλας καὶ πολλὰς (ἔχω) χάριτας τῷ θεῷ καὶ ὑμῖν, ὅτι με ἀδίκου θανάτου τὸν ἀναίτιον ἐλυτρώσασθε καὶ τῶν κατασκευῶν τῆς μιαρᾶς γυναικός, ἃς ἐποιεῖτο πρὸς τὸν πατέρα μου, ἐξηρπά- p.100 B. σατε. ἀλλὰ νῦν, φίλων πιστῶν ἀληθέστατε, πορεύθητι πρὸς τὸν πατέρα μου τὸν βασιλέα, καὶ ὅσα σοι εἶπον φανέρωσον πρὸ τοῦ τὸ μιαρὸν γύναιον εἰσελθεῖν καὶ τὰς ἀκοὰς τούτου διαφθεῖραι.“ καὶ ὁ φιλόσοφος· „γίνωσκε, ὦ δέσποτα καὶ νεανία, ὡς καὶ ὁ σὸς διδάσκαλος εὐθὺς (μετὰ) τὸ ἀκοῦσαί σε φθέγξασθαι, πρὸς τὸν βασιλέα πορεύσεται.“ ἅμα τοίνυν τῷ λόγῳ μετὰ σπουδῆς ὁ φιλόσοφος ἧκε πρὸς βασι-

5 ἄνδρα *offendit, cum* 6 *ex usu horum scriptorum apte adiectum sit: itaque eieci* διαφορότατον V 6 μηνύει] *ad* 64, 13 9 ἐν ἀγκ. V 11 παλακὴ V 12 προσέθετο M 13 ἔχω *adieci:* ὑπέχω M. *cf.* D *et p.* 104 B. 16 καὶ τὸν πατέρα μου καὶ βασιλέα τῶν τῆς μοχθηρᾶς σκαιωριῶν ἐξηρπάσατε M. *u.* D 17 νῦν] μοι M σὺ ὦ D 21 δέσποτα καὶ *om.* M; *sed* καὶ *ipsum non offendit* 22 μετὰ *adieci:* εὐθὺς τὸ ABV ἅμα τῷ M. εὐθὺς τῷ Boissonade „*subaudito* ἅμα.“ *ego contra ut non dubito quin Byzantini* εὐθὺς *cum datiuo ipso coniungere potuerint ita exemplum desidero* φθέξασθαι V 24 πρὸς βασιλέα] *u.* βασιλεύς *apud Byzantinos saepissime, apud non-*

p.103 B. „ἐλάλησας πρὸς ἐμέ.“ ταῦτα οὖν, ὦ βασιλεῦ, τῇ
γυναικὶ ἀπεκρίθηκα, μηδὲν ἕτερον πρὸς αὐτὴν εἰ-
πὼν ἢ λαλήσας· ἀλλ' οὐδὲ ἄλλῳ τινὶ λελάληκα ἕως
τῆς παρούσης ἡμέρας. διότι γοῦν ἔγωγε οὐκ ἐποίησα
ἅπερ ἡ γυνὴ ἠγάπα, ἐκείνη φοβηθεῖσα καὶ ὑπολα-
βοῦσα ὅτι δι' ἃ μοι εἶπεν, ἐὰν ἄρξωμαι λαλεῖν, κιν-
δυνεῦσαι μέλλει, ἠγωνίζετο ἐντὸς τῶν ἑπτὰ ἡμερῶν
ἀπολέσαι με, καὶ τὸ σὸν κράτος πρὸς τὴν σφαγήν
μου ἡ κακὴ καὶ δολία γυνὴ παρεκίνει. αὕτη ἡ αἰτία
τῆς σιωπῆς, δέσποτα, ἣν ἐδήλωσα τῇ σκηπτουχίᾳ
σου. τὸ λοιπόν, ὦ βασιλεῦ, εἰ θέλει τὸ κράτος σου,
ὁρισάτω ἐλθεῖν ἀρκετὸν ὄχλον καὶ λαὸν καὶ πάντας
τοὺς φιλοσόφους, ὅπως ἀκουόντων αὐτῶν ἐγὼ φα-
νερώσω ἐπὶ τοῦ βασιλικοῦ βήματος ὅσα διδασκαλι-
κῶς ὁ φιλόσοφος Συντίπας ἐδίδαξέ με.“ τούτων
τῶν ἐκ τοῦ υἱοῦ λόγων ἀκούσας ὁ βασιλεὺς ἐπὶ
πολὺ ἔχαιρε καὶ ἠγαλλιᾶτο. καὶ προστάττει πάντας
τοὺς φιλοσόφους καὶ ἁπλῶς τοὺς λόγου μετέχοντας
καὶ τοὺς αὐτοῦ μεγιστάνους καὶ ἄρχοντας παραγε-
νέσθαι. καὶ δὴ πάντων συνελθόντων καθὼς ὁ βα-
p.104 B. σιλεὺς διωρίσατο, ἦλθε καὶ ὁ τοῦ παιδὸς διδάσκαλος
καὶ μέχρις ἐδάφους προσκυνήσας, ἐκάθισεν. ὅτε καὶ
ὁ βασιλεὺς ἔφη αὐτῷ· „ποῦ ἤσουν μέχρι τοῦ νῦν,
ὦ σοφώτατε Συντίπα; ὅτι καὶ διὰ τὸ σὲ μὴ φαίνε-
σθαι παρὰ μικρὸν ἀπέκτεινον ἂν τὸν υἱόν μου.“ ὁ
δὲ Συντίπας τῷ βασιλεῖ ἀπεκρίνατο· „ἐγώ, βασι-
λεῦ, τῷ υἱῷ σου παρήγγειλα ἐν ἡμέραις ἑπτὰ σιω-

2 ἀπεκρίθηκα] *ad* 60, 18 4 παρελθούσης V τῆςδε τῆς σήμερον M 6 δι' ἃ] διά V 7 *cf.* 5, 1 ἠγωνίζετο] operam dabat 11 ἐθέλοι M 23 ἤσουν] *i. e.* ἦσθα M
24 ὦ *haec rec. nullo certo consilio et posuit et praetermisit: praetermisit autem, ut hoc loco, crebrius* M ὅτι καὶ] ὅτι γε M 25 *aor.*, *om. p.* ἄν M

πᾶν, διότι τὰ τῆς αὐτοῦ τύχης δι' ἀστρολογικῆς ἐρευνήσας μεθόδου, ἐγνώρισα εὑρὼν ὡς εἰ ἐντὸς ἑπτὰ ἡμερῶν λαλήσει, θανάτῳ ὑποβληθείη. διὰ τοῦτο κἀγὼ μακρὰν ἀπὸ τῆς βασιλείας σου ἐκρύβην, ἕως οὗ παρέλθῃ ἡ διωρία αὕτη. ὅθεν καὶ καλῶς πεποίηκε μηδ' ὅλως λαλήσας σοι ἐν αὐταῖς ταῖς ἡμέραις.“ ὁ δὲ βασιλεὺς ἔφη· „χάρις μεγίστη λοιπὸν τῷ θεῷ, ὅτι μου τὸν υἱὸν ἐκ τῆς ἀδίκου σφαγῆς διεφύλαξεν· εἰ γὰρ ὁ υἱός μου ἐφονεύετο παρ' ἐμοῦ, ἐκινδύνευεν ἐξαλειφθῆναι ἐκ γῆς τὸ ἐμὸν ὄνομα.“ ταῦτα εἰπὼν ὁ βασιλεὺς προσκαλεῖται τοὺς φιλοσό- p.105B. φους αὐτοῦ καὶ πλησιέστερον αὐτοῦ μετὰ τοῦ Συντίπα παραστησάμενος, τοῦ παιδὸς ἐκ δεξιῶν συγκαθέδρου ὑπάρχοντος, ἠρώτα τοὺς φιλοσόφους λέγων· „εἴπατέ μοι νῦν, ὦ ἄνδρες· ἐὰν τὸν υἱόν μου ἐφόνευον ἐντὸς τῶν ἑπτὰ ἡμερῶν, τίνι τὸ αἴτιον τοῦ φόνου ἐπεγέγραπτο, ἐμοί, τῷ υἱῷ μου, ἢ τῇ γυναικί;“

Τότε δὴ τῶν φιλοσόφων τέσσαρες ἐγγίζουσι πλησίον τῷ βασιλεῖ. καὶ ὁ εἷς ἀπ' αὐτῶν εἶπεν· „ὦ βασιλεῦ, ἐγὼ νομίζω ὅτι ἡ αἰτία τοῦ φόνου τοῦ

2 ὡς εἰ ἐντὸς M, Boissonade: ὡς εἰτὸς A ὡς ἐντὸς BV; *u.* D 3 λαλήσει] φθέγξοιτο M 4 κἀγὼ V (D): ἐγὼ AB, Boiss. ὅθεν καὶ M. καὶ *pertinet ad u.* ἐκρύβην. *u.* 68, 18 5 παρέλθῃ] ἂν περαιωθείη M διωρία ABVM. *cf.* 5, 10 6 ταύταις? M *habet* ἐν αὐταῖς *omissis uu.* ταῖς ἡμέραις: *recte, nam antecessit* 5 *non* ἡ διωρία αὕτη *sed* ἡ τῶν ἑπτὰ ἡμερῶν διωρία. *itaque uidetur in archetypo fuisse idem quod in* M, *sed qui hanc confecit recensionem utrumque inmutauit. u.* D 10 ἐκινδύνευεν] ἂν *add.* M 14 τοὺς φιλοσόφους *repetitum more recentiorum* 15 ἐὰν *i. e.* εἰ M. *cf.* 75, 18 18 Syntipas *de consilio uidetur praetermitti* 19 δὴ *scripsi*: οἱ ABV, *om.* MD τέτταρες M ἐγκίζουσι V 20 εἷς] α' *i. e.* πρῶτος? *cf.* 18, 1 *et* 87, 20 ἀπ' *scriptoris est* εἶπεν ὡς· ὦ β., *v. coniecerat* Boissonade 21 ἐγὼ *scripsi*: ὡς ABV. *cf.* D

Συντίπα ἦν· ἐπειδὴ γὰρ ἐκεῖνος ἐγίνωσκεν ὡς ἐὰν λαλήσῃ ὁ παῖς ἐντὸς τῶν ἑπτὰ ἡμερῶν, θανάτῳ ὑποπεσεῖται, διὰ τί οὐκ ἐκράτει μετ' αὐτοῦ τὸν υἱόν σου, ἀλλ' ἔπεμψέ σοι αὐτόν;" καὶ ὁ δεύτερος ἐπεκρίνατο· „οὐκ ἔστι τοῦτο εὐάρμοστον. διότι οὐκ ἠδύνατο ὀλιγῶσαι ἢ πλεονάσαι τὸν καιρὸν ὃν συνεφώνησε τῷ βασιλεῖ καὶ διὸ οὐκ ἦν δυνατὸν ψεύσα- p.106 B. *σθαι αὐτόν, ἔπεμψε τὸν παῖδα πρὸς τὸν πατέρα κατὰ τὴν συμφωνίαν, ἑαυτὸν δὲ μακράν που ἀπέκρυψε. λοιπὸν ἡ αἰτία οὐκ ἔστι τοῦ Συντίπα, ἀλλὰ μᾶλλον, ὅσον μοι δοκεῖ, τοῦ βασιλέως ἐστὶν ἡ αἰτία τοῦ τὸν φόνον ὁρίσαντος φονευθῆναι." καὶ ἀποκριθεὶς ὁ τρίτος ἔφη· „οὐχ οὕτω μοι δοκεῖ, τὸν βασιλέα αἴτιον εἶναι τοῦ φόνου· οὐδὲ γὰρ ὁ βασιλεὺς τοῦ πράγματος αἴτιος· ἀλλ' ὥσπερ οὐκ ἔστι λίθου ψυχρότερον ἄλλο οὐδ' ἐλαφρότερον ἴσχας τῆς ἐκ ξύλου γενομένης, πυρεκβολουμένου δὲ τοῦ λίθου μετὰ σιδήρου καὶ ἴσχας φλόγα γεννῶσιν, οὕτω καὶ ἄνθρωπος μετὰ γυναικὸς πεσών, κἂν πολλά ἐστι νοῶν κἂν πολλὰ φρόνιμος, ἅμα τοῦ συμμιγῆναι ὁ τοιοῦτος ἢ τῇ γυ-*

4 ἀλλὰ V σοι *scripsi*: σε ABV *quod mutaui ut sententia perspicua esset. cf.* 5, 17. 6, 3. σεαυτὸν V. πρὸς τὸ σὸν κράτος M. ἀλλ' ἔπεμψε πρὸς σὲ μόνον κρύψας ἑαυτὸν? *cf.* D 11 τοῦ βασιλέως *om.* M *scite* ἡ αἰτία *a scriptore ipso uidetur repetitum* 12 φόνον] υἱόν? τῷ τὴν τοῦ παιδὸς ἀναίρεσιν ἐπιτάξαντι M *cf.* D ὁρίσαντος καὶ ὁρίσαντος A 13 τὸν .. φόνον *delendane? om.* D 16 ἄλλο *scripsi*: ἀλλ' ABV. *tum uero* τι *post* ἔστι *addendum erat; u.* D ἴσχας] *genetiuus est ut* ψίχας 76, 21. ἴσχα, ἴσκα (D), ἧσκα, ὗσκα *uel* ν *addito* ἴσκνα ἧσκνα ὗσκνα *a recentioribus Graecis dicitur* fomes; *cf.* St. Th. 8, 506 *in* ὗσκα; *quod uocabulum* Boissonadio *ab* esca, *mihi a u.* ἰσχναίνω ἰσχαίνω *deriuandum uidetur* 17 πυρεκβολούμενα VAB: πυρεκβολουμένου *scripsi* 18 φλῶγα V 19 παίζων *dubitanter proposuit* Boissonade, *sed nescio an ex prouerbio explicari possit* der Bauer liegt so lange mit der Frau auf einem Kissen, bis sie beide kriegen ein Gewissen 20 ἅμα τοῦ *more Byzantinorum cf.* 68, 2: ἅμα τῷ M M *non habet* ἢ —

ναικὶ ἢ τῇ ἐρωμένῃ ἕλκεται πρὸς τὸν σκοπὸν τῆς γυναικὸς καὶ τὸ θέλημα· διὰ τοῦτο καὶ νῦν ἡ γυνή ἐστιν [ἡ] αἰτία τοῦ φόνου· ψευδῶς γὰρ κατηγοροῦσα τοῦ παιδός, ὡς μὴ αὐτῆς ἀκούσαντος, παρεκίνει τὸν p.107 B. βασιλέα πρὸς φόνον διὰ τὸ ἀγαπᾶν αὐτὴν καὶ διὰ τὸ μὴ φθάσαι τὸν υἱὸν συντυχεῖν τῷ πατρὶ καὶ εἰπεῖν τὴν τῆς γυναικὸς ἀναισχυντίαν καὶ τἄλλα.“ τότε ὁ τέταρτος ἐλθὼν εἰς τὸ μέσον, ἔφη· „οὐδ' οὕτως μοι δοκεῖ ἔχειν ὡς λέγετε· οὐδὲ γὰρ ἡ γυνὴ αἰτία ἐγένετο, ἐπεὶ συνήθειά ἐστιν ὡς ἐπὶ τὸ πλεῖστον κινεῖσθαι τὰς γυναῖκας καὶ κομπόνεσθαι ὁπόταν ἴδωσι νεανίσκον εὐπρεπῆ· ἡ γὰρ ὡραιότης τοῦ νέου ἀγρεύει τὴν φύσιν τῶν γυναικῶν ὡς ἀσθενεστέραν· καὶ μάλιστα γίνεται τοῦτο, ὅταν τύχωσιν οἱ δύο μόνοι λαλεῖν· τότε γὰρ πλέον ἐν μοναξίᾳ γαργαλίζεται ἡ γυνὴ πρὸς συνουσίαν καὶ παρακινεῖ τὸν νέον εἰς ἐκπλήρωσιν τῆς ἐπιθυμίας αὐτῆς. λοιπὸν καὶ ἡ πονηρὰ αὕτη γυνὴ τοιαύτῃ ἀγάπῃ ἐκρατήθη τῷ κάλλει τοῦ νέου. ἐπεὶ δὲ οὐκ ἤκουσεν αὐτὴν ὁ τοῦ βασιλέως υἱός, ἀλλὰ μᾶλλον ἐφάνη αὐτὴν ἀπειλῶν καὶ φοβερίζων περισσοτέρως, ἐφοβεῖτο καὶ ἔτρεμεν αὐτὸν ἡ γυνή, καὶ ἐσπούδαζεν ἐλευθερῶσαι αὑτὴν καὶ φυλάξαι ἀπὸ φόβον καὶ κίνδυνον ὃν προσ- p.108 B.

ἢ *sed pergit* καὶ μᾶλλον τῇ ποθουμένῃ 3 ἡ *seclusi; cf.* 10. 86, 8 4 *uu.* ὡς μὴ α. ἀκούσαντος *facile careremus, omittitque* M. *atque magis etiam offendunt quae inde a* διὰ τὸ ἀ. (5) *usque ad* τἄλλα (7) *in hac recensione leguntur, ab altera* M *et a* D *absunt* 9 λέγεται A εἴρηται M. *uidetur hoc suadere etiam* οὐδέ. *sed cf.* 88, 5 *et* D 11 κομπόνεσθαι *uel* κομβόνεσθαι prurigine laborare *interpretatur* Boissonade, *u.* κόμβος *i. e.* περόνη, *de* τῇ κλιτορίδει *intellegens; sed cum* κόμβος *etiam significet* laqueum, κομβόνω fallere, *ita capiendum potius uidetur ut sit* laqueis quasi irretire 14 τύχωσιν λαλεῖν *cf.* 73, 2 23 αὑτὴν *scripsi:* αὐτὴν ABV ἑαυτὴν M φόβων καὶ κινδύνων ὧν *reponere ut facile ita non necessarium est*

εδόκα παθεῖν διὰ τοὺς λόγους αὐτῆς τοὺς κακούς, καὶ ἀπὸ ταύτης τῆς αἰτίας ἠναγκάζετο μετὰ τέχνης θανατῶσαι τὸν παῖδα. τὸ λοιπὸν ἡ αἰτία τοῦ νέου ἐστίν, ὅτι μὴ τὴν ἐντολὴν τοῦ διδασκάλου ἐτήρησεν ἵνα σιωπήσῃ, ἀλλ' ἐλάλησε πρὸς τὴν γυναῖκα λόγον σκληρὸν καὶ φόβου γέμοντα.“ τότε ἀποκριθεὶς καὶ ὁ Συντίπας λέγει· „οὐκ ἔστι, καθὼς νομίζω, οὕτως ὡς ὑμεῖς λέγετε· οὐδὲ γὰρ ὁ παῖς αἰτία ἐγένετο. ἀλλ' οὐδὲ τῆς ἀληθείας ἐστί τι μεῖζον [ἢ ἀληθέστερον]· καὶ γὰρ πᾶς ἄνθρωπος, ὅστις λέγει ἑαυτὸν σοφιστὴν ἢ ῥήτορα ἢ διδάσκαλον εἶναι ἢ φιλόσοφον, εἶτα ψεύδεται πλεῖστα, κατὰ ἀλήθειαν ὁ τοιοῦτος ἔξω γίνεται τῆς ἑαυτοῦ γνώσεως ἁπάσης, καὶ οὔτε σοφός ἐστιν οὔτε ῥήτωρ ἢ σοφιστής, ἀλλ' οὐδὲ τοῦ μέρους τῶν λογίων ἀριθμεῖται, ἀλλὰ μᾶλλον τῆς τῶν ψευδολόγων καὶ ὑποκριτῶν συνοδίας καὶ ξυναυλίας.“

Ὑπολαβὼν δὲ τὸν λόγον καὶ ὁ τοῦ βασιλέως υἱὸς p.109 B. *λέγει τῷ πατρί· „δέσποτα, ὅρισον κἀμὲ ἀπολογίαν τινὰ πρὸς ταῦτα δοῦναι καὶ ὑμῖν ἐμφανίσαι.“ ὅτε καὶ ὁ βασιλεὺς προέτρεψε τοῦτο. κἀκεῖνος εὐθὺς τοῖς φιλοσόφοις φησίν· „ἡ ἐμὴ γνῶσις πρὸς τὴν ὑμετέραν σοφίαν ὡς μυῖα πρὸς ἐλέφαντα παραβάλλεται· ἀλλ' ὅμως τῶν ῥημάτων μου ἀκούσατε.*

Ἄνθρωπός τις τράπεζαν πολυτελῆ οἰκονομήσας,

1 παθεῖν *recentiores*, ἂν παθεῖν *uel* πείσεσθαι *priores* 4 ἐτήρησε V 8 αἴτιος M 9 ἢ ἀληθέστερον *secludere malui quam* ἀσφαλέστερον *reponere; om.* MD 12 *differunt* MD 14 οὐδέ του? 19 ὥρισον V ἀπολογίαν] ἀπόλογον M *i. e.* narratiunculam: *quod etsi illo praestat, tamen* ἀπολογίαν *i. e.* responsum *a scriptore profectum esse efficit* δοῦναι. *non intellexerat igitur quod in archetypo inuenerat u.* ἀπόλογον 23 ἐλέφαντα] δράκοντα M 25 *lemma* τοῦ νέου βασιλέως νόημα

πολλοὺς διὰ φιλίαν φαγεῖν προκαλέσατο. εἶτα τῶν κεκλημένων καθεσθέντων καὶ ἐσθιόντων, ᾠκονόμησεν αὐτοῖς πιεῖν γάλα. καὶ πέμψας (τὴν δούλην) εἰς τὸν φόρον τοῦ ἀγοράσαι γάλα τοῖς κεκλημένοις, ἀνέμενεν αὐτήν. αὕτη δὲ ἀγοράσασα τὸ γάλα καὶ ἐπιθήσασα [τὸ γάλα] ἐπὶ τὴν ἑαυτῆς κεφαλήν, ὡς ἔθος τισὶ γυναιξὶ ποιεῖν, εἰς τὴν οἰκίαν τοῦ δεσπότου αὐτῆς ἐπανήρχετο. ταύτης δὲ ἐρχομένης, ἄνωθεν λοῦπος καταβὰς ὄφιν τινὰ ἥρπασε κρατῶν αὐτὸν ἐν τοῖς αὐτοῦ ὄνυξι. πετόμενος δὲ ἴσα κατέπτη τοῦ τζουκαλίου· καὶ ὁ ὄφις σφιγγόμενος σφόδρα p 110 B. ὑπὸ τῶν ὀνύχων τοῦ λούπου, ὑπὸ τῆς ἀνάγκης ἐξήμεσε τὸ φάρμακον· κἀκεῖνο χυθὲν κατέβη ἴσα εἰς τὸ στόμα τοῦ τζουκαλίου. καὶ οὕτω γενομένου, οὐδ' ὅλως ἐνόησε τοῦτο ἡ δούλη, φέρουσα ἐπὶ κεφαλῆς τὸ τζουκάλιον. εἰσελθοῦσα δὲ εἰς τὸν οἶκον καὶ τὸ γάλα κομίσασα τοῖς ἐσθίουσιν, ἅπαντες ἔπιον ἐξ αὐτοῦ καὶ εὐθέως ἀπέθανον. εἴπατε οὖν μοι, φιλόσοφοι, τίς τούτου τοῦ θανάτου γέγονεν αἴτιος."

Εἷς δέ τις τῶν φιλοσόφων ἀποκριθεὶς ἔφη· „ὁ τὴν τράπεζαν ποιήσας· ἔπρεπε γὰρ αὐτόν, πρὸ τοῦ πιεῖν τοὺς ἐν τῇ τραπέζῃ καθημένους ἐκ τοῦ γάλακτος ἐκείνου, πρότερον εἰπεῖν τῇ δούλῃ γεύσασθαι

1 προσκ.? παρακ? 3 τὴν δούλην *om.* ABV, *suppleuit* Boissonade: *est in* M ἔστειλεν .. τὴν ἑαυτοῦ δούλην *et in* D. ἔστειλε μίαν γυναῖκα Ven. 4 φόρον] *i. e.* ἀγοράν M, forum 6 ἐπιθήσασα *i. e.* ἐπιθεῖσα M τὸ γάλα *seclusi* ὡς .. ποιεῖν *om.* M; *addidit scriptor ut seruam culpa omni liberet; ideo fortasse pro u.* τισι *scribendum* ταῖς. *cf.* D 7 πιεὶν V 8 ἐπανήρχετο .. ἐρχομένη *ut in* M *non multum ab initio occurrit* διελθεῖν. ἐλθούσης δέ. *a qua ueterum scriptorum consuetudine ne recentissimi quidem discesserunt* 9 λούππος D; *ad Philogel.* 257 10 πετώμενος V ἴσα τοῦ *i. e.* εὐθὺς τοῦ 15 ἐννόησε V 19 τούτων? 22 ποιεῖν A

ἐξ αὐτοῦ, εἶτα μεταδοῦναι τοῖς φίλοις.“ ἀποκριθεὶς δὲ ὁ ἄλλος φιλόσοφος ἔφη· „οὐχ οὕτως ἔχει τὰ τοῦ πράγματος· οὐ γὰρ ὁ ποιήσας τὴν τράπεζαν ἐγένετο
p.111 B. αἴτιος, ἀλλὰ τοῦ ὄφεως ἦν ἡ αἰτία.“ Ὑπολαβὼν δὲ ὁ ἕτερος ἔφη· „οὐδὲ οὕτως ἔχει ὡς ὑμεῖς λέγετε· οὐδὲ γὰρ ὁ ὄφις τῆς μέμψεως ἄξιος, ἐπειδήπερ τῇ ἀνάγκῃ τιμωρούμενος καὶ βιαζόμενος σφόδρα, μέλλων φουρκισθῆναι, τὸ φάρμακον αὐτοῦ ἐξέμεσεν.“ εἶτα καὶ ὁ ἄλλος τῶν φιλοσόφων ἀπεκρίνατο· „ἡ ἀφορμὴ αὕτη τοῦ θανάτου τῶν ἀνθρώπων μᾶλλον τῶν ἄλλων τῷ λούπῳ ἁρμόζει, διόπερ ἐκείνου τὸν ὄφιν ἰσχυρῶς κρατοῦντος καὶ πνίγοντος, ἐπὶ τοσοῦτον ἠναγκάσθη ὁ ὄφις ὥστε τὸ φάρμακον ἐκβαλεῖν.“ εἰσελθὼν δὲ ὁ Συντίπας εἶπε· „γνωστὸν πάντως ἔστω τῷ κράτει σου, βασιλεῦ, ὡς οὐδὲν τῆς σοφιστικῆς τέχνης καὶ λογιότητος τὸ καθόλου ἀφῆκα, ὅπερ μὴ ὅλον τῷ υἱῷ σου ἐδίδαξα, καὶ τοιοῦτον (ἀπέδειξα ὡς) ἀπὸ τῆς ἐμῆς ἐπιμελείας καὶ προαιρέσεως θεοῦ χάριτι τῶν ὑπὸ τὴν βασιλείαν σου φιλοσόφων εἰ μὴ πρῶτον ἀλλ' οὐδὲ δεύτερον αὐτὸν καθεστάναι.“ ὁ δὲ βασιλεὺς ὑπολαβὼν τὸν λόγον τοῦ Συν-

1 φίλοις] δούλοις B 2 ὁ] *cf.* 5. 9. 5 λέγετε] φατέ M. *cf.* 85, 9 6 τῆς *om.* M 8 φουρκισθῆναι *i. e.* ἀπαγχονισθῆναι M ἐξέμεσε ABV: ἐξήμεσεν *ut ceteroquin?* 10 τοῦ θ. τῶν ἀ. *om.* M *rectius, cum adiectum sit* αὕτη (*hoc om.* D) μᾶλλον] μάλα A 14—89, 2 *om.* M *rectissime: nam quae inde a* 89, 2 *respondet Syntipas, cum eis quae modo legimus arcte cohaerent; contra quae intericiuntur ut* 90, 5 *apte dicuntur ita hoc loco inepte praecipiuntur; sed tamen ab eo qui hanc recensionem confecit ipso huc relata esse euincit cum* 89, 1. 2 *tum* 90, 6 ὡς καὶ πρὸ ὀλίγου σοι ἐδήλωσα εἰσελθὼν] παρελθών M πάντῃ BV *om.* D 17 υἱῷ] υἱὸν 90, 9: *uerbo* διδάσκειν *recentiores Graeci datiuum subiungunt* ἀπέδειξα ὡς *adieci, cf.* 90, 9

19 *in margine* BV: ἐκ τοῦ εἰπεῖν δεύτερον ($\overline{\beta}^{ov}$ V. οὐδὲ *addebat* Boissonade), τὰ πρῶτα δέδωκε

τίπα, πρὸς τοὺς μεγιστάνους ἔφη ὅτι „πάλιν ἀκούσωμεν τοῦ Συντίπα.“ καὶ ὃς ἀπεκρίνατο ὅτι „γνωστὸν καὶ ὑμῖν ἔστω, ὅτι πᾶν ζῶον ἐκ θεοῦ δημιουργηθὲν καὶ ἐν ἑαυτῷ ἔχον δύναμιν ζωτικὴν οὐδὲν ἄλλο τρώγει, εἰ μὴ ὅπερ προσέταξεν αὐτῷ ὁ θεός. λοιπὸν καὶ ὁ λοῦπος ἐκ τῶν τῆς γῆς ζώων τρέφεσθαι ταχθείς, ἀναίτιός ἐστιν ἐπὶ τῷ συμβάντι.“ καὶ ὁ βασιλεύς, ταῦτα εἰπόντων τῶν φιλοσόφων καὶ ὕστερον τοῦ Συντίπα, ἐνατενίσας τῷ υἱῷ αὐτοῦ ἔφη· „ὑπολαμβάνω, υἱέ, ὡς οἱ παρόντες οὗτοι φιλόσοφοι οὐ γινώσκουσι τίνι πάντων ἁρμόζει ἡ τοῦ συμβάντος αἰτία. πλὴν εἰπέ μοι σύ, τίς ὁ αἴτιος τοῦ τοιούτου θανάτου τῶν ἀναιτίων.“ ὁ δὲ παῖς τῷ βασιλεῖ ἀπεκρίνατο· „εἰς οὐδέν, ὦ δέσποτα βασιλεῦ, οἱ φιλόσοφοι σφάλλουσιν, οὐδὲ ὡς τῇ ἀληθείᾳ προσκρούοντες, ἄλλος ἄλλο τι σφάλλονται. πλὴν ὁ τοῖς τὸ γάλα πεπωκόσι (συμβεβηκὼς) κίνδυνος ἐπέκειτο αὐτοῖς γενέσθαι ὑπὸ τῆς τύχης αὐτῶν, καὶ ἔμελλον ἐκεῖνοι τοιῷδε τρόπῳ τῆς ζωῆς ἐξελθεῖν.“ ὁ δὲ βασιλεὺς τὸν λόγον τοῦ παιδὸς ὡς πολλὰ εὐάρμοστον ἀποδεξάμενος, λίαν ηὐφράνθη ἐπὶ τῇ τοῦ υἱοῦ συννοίᾳ καὶ φρονήσει· καὶ τάχα ἐπὶ τῇ συλλογιστικῇ καὶ

p.112 B. p.113 F.

3 καὶ ὑμῖν] ὑμὶν *omissa p.* καὶ M. γνωστὸν ἔστω καὶ ὑμῖν ἔστω A. *fort.* γνωστόν σοι καὶ ὑμὶν ἔστω. (*om.* D) 7 ταχθεὶς A (D) ὁρισθεὶς M: τεχθεὶς BV 9 ἐνατενήσας V 14 εἰς *om.* B V *in margine* ὅρα 15 σφάλλουσιν AB σφάλουσιν V (D): σφάλλονται M προσκρούονται ABV: προσκρούοντες *scripsi, ut est in* M 16 σφάλλονται AB σφάλονται V: φάσκουσι M *rectius; utrum uero* σφάλλονται *ad emendandum* σφάλλουσιν *in margine adscriptum locum uerbi* φάσκουσι *errore librarii ceperit, an qui hanc recensionem composuit ipse uerbis* σφάλλουσιν .. σφάλλονται *luserit, dubitari potest* 17 πεποκόσι V πεποιηκόσι B συμβεβηκὼς *om. in* ABV (D), *adieci*: συμβεβηκόσι M *quod correxi* ἀπέκειτο M *rectius* 21 συνοίᾳ V 22 τάχα ἐπὶ *et* 90, 1 φρονήσει καὶ *om.* M *ante* φησί *addens* καί:

σοφιστικῇ αὐτοῦ φρονήσει καὶ ἀποκρίσει φησὶ πρὸς τὸν Συντίπαν· „ζήτησον ὅπερ ἂν ἐθέλῃς παρὰ τῆς ἐμῆς βασιλείας καὶ δοθήσεταί σοι. ἀλλὰ καὶ εἴ τις ἑτέρα διδασκαλία τινῶν πρόσεστι μαθημάτων, (τὸν υἱόν μου) ἐκδίδαξον.“ „γνωστόν σοι ἔστω, ὦ βασιλεῦ,“ ὁ Συντίπας ἔφη, „ὡς καὶ πρὸ ὀλίγου σοι ἐδήλωσα, ὡς οὐδὲν τῆς σοφιστικῆς τέχνης καὶ λογιότητος ἀφῆκα καθόλου ὅπερ οὐκ ἐδίδαξα τὸν υἱέα σου, ὡς καὶ πάντων, θαρρῶ λέγειν, τῶν ὑπὸ τὴν βασιλείαν σου φιλοσόφων εἰ μὴ πρῶτον ἀλλ' οὐδὲ δεύτερον καταστῆσαι.“ ὁ δὲ βασιλεὺς τὸν λόγον ὑπολαβών, τοῖς μεγιστᾶσιν ἔφη καὶ φιλοσόφοις· „ἆρά γε ταῦτα ἡμῖν φιλαλήθως ὁ Συντίπας λαλεῖ;“ οἱ δὲ ἀπεκρίθησαν ὅτι „καὶ μάλα πολλὰ ἀληθεύει, ὦ δέσποτα.“ καὶ ὁ βασιλεὺς ἀναβλέψας πρὸς τὸν p.114 B. *υἱὸν αὐτοῦ λέγει· „σὺ δέ, ὦ υἱέ, τί λέγεις; ἐν ἀληθείᾳ περὶ σοῦ ὁ σὸς διδάσκαλος [καλῶς] φθέγγεται;“ καὶ οἱ φιλόσοφοι ἅμα εἶπον ἀποκριθέντες ἀντὶ τοῦ παιδός· „οὐδείς, ὦ βασιλεῦ, ὡς ὁ υἱός σου ἐστίν, ὁ ὑπερέχων τῇ τῶν μαθημάτων καὶ τῶν λόγων ἐπιστήμῃ, ῥητορικῇ τε φαμὲν καὶ τῇ ἄλλῃ σοφίᾳ.“ τότε καὶ ὁ παῖς λέγει τῷ πατρί τε καὶ βασιλεῖ· „γνωρίζω σου τῷ κράτει, ὦ δέσποτα, ὡς ἐάν τις τῶν ἀνθρώ-*

quo fit ut ἀποκρίσει *pendeat a u.* ηὐφράνθη ἐπὶ (89, 21), *indeque a u.* καί φησι *nouum incipiat enuntiatum: quam structuram inepte* φρονήσει *repetens nulla de causa mutauit qui hanc recensionem confecit* 1 καὶ σοφιστικῇ *om.* V 2 Ev. Marc. 6, 22 4 τὸν υἱόν μου *adieci.* καὶ τήνδε τὸν υἱόν μου ἐκδίδαξον M; *cf.* D 5 γν. σοι ἔστω σοι A 6 ὡς .. ἐδήλωσα *om.* M; *cf. n. ad* 88, 14 8 τὸν υἱέα AB τὸν υἱόν σου υἱέα A *uitio frequenti. u.* D. τόν σου υἱέα Boiss. 10 οὐδὲ] οὐ A 11 καταστῆναι M *rectius; supra* 88, 20 καθεστάναι
17 καλῶς *seclusi quippe e postremis syllabis u. antecedentis ortum; non est in* MD φθέγκεται V 20 ὁ ὑπερέχων πάντων τῇ? *cf. p.* 131, 3 B. 21 ῥιτορικῇ V φιλοσοφίᾳ A (D)

πων οὐ τελείαν λάβῃ τὴν φρόνησιν καὶ τὴν μάθησιν, οὐκ ἀποδίδωσιν ἀγαθὰ τοῖς εὐεργέταις αὐτοῦ καὶ διδασκάλοις· τὸν δὲ ἀμαθῆ καὶ ἀπαίδευτον ἄνθρωπον ἄγνωστον καὶ ἄφρονα παντελῶς ὀνομάζειν πρέπει, ἀλλ' οὐδαμῶς καλόνουν καὶ γνωστικόν. ὁ δὲ διδάσκαλός μου Συντίπας σπουδαίως καὶ ἀκριβῶς ἐπιμελησάμενός μου, δοκιμώτατόν με τῇ φιλοσοφίᾳ, δυνάμει θεοῦ, καὶ τῇ γνώσει κατέστησε· καὶ πρέπει τοῦτον παρὰ τοῦ σοῦ κράτους ἀξίαν τῆς σπουδῆς καὶ ἐπιμελείας λαβεῖν καὶ τὴν ἀμοιβήν. ἐπειδὴ δέ, ὦ βασιλεῦ, καὶ οὗτοί σου οἱ φιλόσοφοι συμμαρτυροῦσί μοι, ὅτι ὑπερβάλλω τούτους τοῖς p.115 B. λόγοις, δέομαί σου ἀκριβῶς ἀκροάσασθαι τῆς διηγήσεως ταύτης·

δύο παιδία ἦσαν ἔν τινι τόπῳ, τὸ μὲν ἓν χρόνων πέντε, τὸ δὲ ἕτερον τριῶν. ἦν δὲ καί τις ἀνὴρ γηραιὸς καὶ καμπούρης, ἅμα δὲ καὶ παράλυτος, ὅστις ἦτον γεμάτος τῇ φρονήσει καὶ νοήμασι, σὺν τοῖς παισὶν ἐκείνοις."

ὁ δὲ βασιλεὺς ἀνακόψας τὸν λόγον τῆς διηγήσεως λέγει τῷ υἱῷ· „καὶ τίς ἦν, τέκνον, ἡ ἐκείνων ὑπόθεσις;" ἀναλαβὼν δὲ πάλιν ὁ παῖς ἀρχῆθεν τὸν λόγον λέγει·

1 μὴ M 3 τὸν δὲ τοιοῦτον ἀμαθῆ? τὸν μέντοι τοιοῦτον διάστροφον μᾶλλον εἶναι γινώσκομεν M 11 ἐπεὶ δὲ AVM; *u.* D 12 ἐπιμαρτυροῦσι M ὑπερβάλω V 13 ἀκριβῶς *om.* BVD 15 *lemma* Ἴδιον (διον VB *omissa littera initiali*) νόημα τοῦ υἱοῦ τοῦ (τοῦ *om.* A) βασιλέως. *in* B *corrector uolebat rescribere* διανόημα. Boissonade διον *mutabat in* δεύτερον δύο γάρ M χρόνων] annorum 17 καμπούρης *scripsi* (*i. e.* κυρτός, *uide* Corais Isocr. *p.* 161 *extr.*): ἀμαθής ABVD ἀνάπηρος M *recte. mutatione leuiore* ἀσθενής *uel* εὐμαθής *non multum lucraremur* 17 ὅ. . . ἐ. 19 *om.* D 18 ἦτον *i. e.* ἦν γεμάτος] plenus [τῇ]?

„ἀνήρ τις ἦν πανοῦργος λίαν καὶ πόρνος· ὅταν δὲ ἤκουε περὶ γυναικὸς εὐμόρφου, πρὸς ἐκείνην εὐθὺς ἐπορεύετο ἕνεκεν ὁμιλίας. ἐδηλώθη οὖν αὐτῷ μιᾷ τῶν ἡμερῶν περί τινος γυναικὸς κατὰ πολὺ ὡραίας· καὶ ἅμα πρὸς ἐκείνην ἀπῆλθε τοῦ συμμιγῆναι αὐτῇ. εἶχε δὲ ἡ γυνὴ παῖδα τριετῆ ὄντα. ἔτυχε δὲ τῇ ὥρᾳ ἐκείνῃ λέγειν τὸν παῖδα τῇ μητρί· „ποίησόν μοι μαγέρευμά τι φαγεῖν.“ ἡ δὲ γυνὴ ὁρῶσα
p.116 B. τὸν ἄνδρα σπουδάζοντα πρὸς μῖξιν, λέγει αὐτῷ· „ὀλίγον μοι ἀκαρτέρησον, ἄνθρωπε, ἕως οὗ τὸ παι„δάριον ἀναπαύσω.“ ὃ δὲ λέγει τῇ γυναικί· „κατὰ „τὸ παρὸν τὴν τοῦ παιδός σου φροντίδα ἔασον καὶ „τὰ τῆς ἐπιθυμίας μου πλήρωσον, μή πως ἀργήσω.“ ἣ δὲ ἀντέφησεν· „ἐὰν ἐγίνωσκες, ὦ ἄνθρωπε, τὴν „γνῶσιν τούτου μου τοῦ παιδός, οὐκ ἄν μοι τοιαῦτα „ἔλεγες ῥήματα.“ καὶ ταῦτα εἰποῦσα, διὰ συντόμων ἐγείρεται καὶ ὀρύζιον ἑψήσασα τῷ παιδὶ παρέθηκεν. ὁ δὲ παῖς, εἰ καὶ πολλὰ μικρὸς οὐκ ἦτον, ἀλλ' οὖν ὑπῆρχε κλαίων καὶ τὴν μητέρα ἠνάγκαζε παραθεῖναι αὐτῷ πλεῖον ὀρύζιον· ἔλεγε γὰρ ὅτι „ἀκμὴν οὐκ „ἐχόρτανα, ἀλλ' ὀρέγομαι περισσότερον.“ καὶ ἡ μή-

1 „*hanc narrationem omisit* Ven.“ Boissonade ἡνίκα ἠκηκόει M 4 καταπολὺ V *ut saepe* 6 *lemma* περὶ τοῦ τριετοῦς παιδός τριετῆ] *scribendum potius* τριέτη *cf.* Poll. 1, 54. Göttl. Acc. 323 7 λέγειν] *infinitiuus est in* M *quoque. cf.* 73, 2 8 μαγερεύματι V. *cf.* 73, 11. 20 9 μίξιν ABV 10 μοι ABV: με M, *om.* D. *ille datiuus qui dicitur ethicus potest esse. cf.* 53, 5 τῷ παιδαρίῳ ABV: τὸ παιδάριον *scripsi. cf.* D. *sed factum esse poterat etiam ut exciderit* τὴν ὄρεξιν, τὴν πεῖναν, τὸν λιμόν. τῷ ἐμῷ παιδὶ βρώσιμόν τι παρασκευάσω M 13 ἀργήσω] „*uerbum obscoenum*“ Boissonade; *ego interpreter* morari *ut est in* M μήπως γένοιτό με χρονίσαι ὧδε 14 ἐάν] *cf.* 75, 18 16 συντόμως ABV: *correxit* Boissonade 17. 20 ὀρύζιον BVM ὀρύζιον A. *cf.* 30, 11 18 πολλὰ] ualde. *cf.* 84, 19 21 ἐχόρτανα *scripsi*: ἐχόρτασα ABV πλείονος ὀρέγομαι M. *cf. n. ad p.* 165 B.

τηρ ἐποίησε τὸ θέλημα τοῦ παιδίου. ὁ δὲ παῖς πάλιν θέλων καὶ ἕτερον παράθεμα, πρὸς τὴν μητέρα ἐθρήνει. ὁ μέντοι ἀκόλαστος ἐκεῖνος λυπούμενος ἐπὶ τῇ τοῦ παιδὸς ἀνάγκῃ καὶ τῷ κλαυθμῷ, λέγει πρὸς αὐτόν· „πολλὰ εἶσαι, ὦ παῖ, ἀναίσχυντος καὶ „ἀχόρταστος καί, ὡς ὁρῶ, γνῶσιν ὅλως οὐκ ἔχεις. p. 117 B. „εἰ γὰρ τὸ τοσοῦτον ἔψημα παρετίθετο πέντε ἀν„δράσι, καὶ ἀρκετὸν ἦν αὐτοῖς ὥστε κορέσαι.“ ὁ δὲ παῖς αὐτῷ εἶπεν· „ἐκεῖνος μᾶλλον ἐστέρηται φρο„νήσεως, ὅστις ἑαυτῷ ἐπιζητεῖ, καθάπερ σὺ νῦν τῇ „ἐμῇ μητρί· λέγεις γὰρ ἀπρεπῶς [καὶ ἐπιζητεῖς] καὶ „πρᾶξιν μεταδιώκεις ἣν ὁ θεὸς μεμισημένην ἔχει καὶ „βδελύττεται. ἐν ἐμοὶ δὲ τί ὁρᾷς φρονήσεως ἐστε„ρημένον; ἀλλὰ καὶ ἀπὸ τοῦδέ μου τοῦ κλαυθμοῦ, „ὅπερ ἀναισχυντίαν καλεῖς, τίνα ὅλως νομίζεις ζη„μίαν πανθάνειν με; μᾶλλον μὲν (οὖν) καὶ οἱ „ὀφθαλμοί μου διὰ τῶν δακρύων καθαρθέντες ἐπὶ

1 κατὰ τὸ θέλημα M 4 ἀνάγκῃ] „das Drängen.“ *ἀσελγείᾳ* M 5 *εἶσαι, ut* D, *scripsi*: *ἦσαι* ABV 7 *τοσοῦτον scripsi*: *τοιοῦτον* ABV *τόσον* D *παρετέθη* M. *παρετέθειτο?* 8 *ἂν διήρκεσεν* M 11 *μητρί*] *cf.* 22, 8. *p.* 151, 4 B. Esra 4, 2 *ἐκζητοῦμεν τῷ θεῷ ἡμῶν. sed utique offendunt u. ἐπιζητεῖ carens obiecto datiuique ἑαυτῷ et τῇ μητρί diuersa sententia ad idem uerbum relati. neque puto ἐπὶ ut* 94, 11 *uel ἐν addendum esse ut* Reg. II 1, 2 *ἐπιζητήσατε ἐν τῷ Βάαλ: hoc enim interpreter* in templo Baalis oraculum consulite; *sed uidetur qui hanc recensionem confecit datiuum τῇ μητρί qui pendebat a u. λέγειν ab eo male seiunxisse moreque recentiorum cum u. ἐπιζητεῖν coniunxisse. in* M *legitur rectissime τὸ παρὰ σοῦ νῦν ζητούμενον καὶ ἐμῇ μητρὶ ἀπρεπῶς λεγόμενον σεαυτὸν ἐπιζητεῖ* (sucht dich heim, kommt über dein Haupt., *σέ γ' ἔμελλε κιχήσεσθαι κακὰ ἔργα*) *καὶ πρᾶξιν μεταδιώκει θεῷ μεμισημένην. cf.* D. *aliquanto melius procederet oratio deletis uu. γάρ et καὶ ἐπιζητεῖς* (11) *sublataque post μητρί distinctione* 12 *μεμισημένην ἔχει i. e. μεμίσηκε καὶ νῦν μισεῖ* 15 *ὅπερ* M *quoque* 16 *οὖν adieci ex* M *cf.* 135 B.; *praestaret quidem pro u. μέν reponere γάρ*

„πλεῖον διεφωτίσθησαν, καὶ οἱ μυκτῆρές μου τῆς ἐν „αὐτοῖς ἀκαθαρσίας ἐκαθαρίσθησαν, καὶ τὸ παρα„τεθέν μοι ἑψητὸν πρὸς τροφὴν διὰ τοῦ κλαυθμοῦ „μου, εἴ τι καὶ ἤθελον, εὐκόλως μοι ἦλθε.“ τούτων τῶν λόγων τοῦ παιδὸς ἀκούσας ὁ ἀνὴρ ἐνόησεν ὡς τὸ παιδίον μεῖζόν ἐστι τῇ γνώσει ἢ αὐτός, καὶ ἀνα-
p.118 B. στὰς αὐτίκα προσεκύνησεν αὐτό, εἰπὼν πρὸς αὐτό· „ἀξιῶ, μὴ κατηγορήσῃς με περὶ ὧν ἐλάλησα πρὸς „σέ· οὐ γὰρ ἐγίνωσκον ὅτι τοσαύτην ἔχεις τὴν φρό„νησιν.“ καὶ ταῦτα εἰπὼν ἀπῆλθε, μηδὲν ἀπρεπὲς ἐπὶ τῇ μητρὶ αὐτοῦ ἐργασάμενος.

Ἄκουσον (δέ), ὦ βασιλεῦ, καὶ περὶ τοῦ πενταετοῦς παιδὸς τῆς διηγήσεως. ἄνδρες πραγματευταὶ ὑπῆρχον τρεῖς, οἵτινες καὶ πρὸς ἀλλήλους εἶχον συντροφίαν. καὶ ἀπῆλθον εἰς χώραν τινὰ διὰ πραγματείαν. τῆς ὁδοιπορίας οὖν ἀρξάμενοι κατῆλθον εἰς χωρίον, ὥστε ἐν αὐτῷ μεῖναι, εὑρόντες οἰκίαν γραΐδος τινός. μετὰ δὲ τὸ ἀναπαύσασθαι αὐτούς, ἔδοξεν ἀπελθεῖν εἰς βαλανεῖον καὶ λουθῆναι· καὶ λέγουσι τῇ γραΐδι· „ἑτοίμασον ἡμῖν, ὦ γύναι, τὰ πρὸς τὸ λοετρὸν χρειώδη, σκεύη τε καὶ ἱμάτια.“ μόνου δὲ τοῦ κτενὸς

2 αὐτῆς V παρατιθέν ABV: *quod correxi* 3 πρὸς τροφὴν] προσετέθη μοι καὶ M 5 ἐννόησεν V 8 με] *quia* κατηγορεῖν *iam nihil aliud est nisi* μέμφεσθαι, *quod exhibet* M
9 τοσαύτην *ego*, D: τοιαύτην ABVM 12 *lemma* περὶ τοῦ πενταετοῦς παιδός *potius* πενταέτους *cf.* 92, 6 ἄκουσον] *coniunctionem aliquam excidisse ut certum est, ita est incertum utrum* ἀλλ' *an* δέ *an* οὖν *an* νῦν *an* τοίνυν, *quod praebet* M (λοιπὸν D), *fuerit: interim adieci* δὲ *cl.* 124 B. *extr.* 16 ἀρξάμενοι] ἐχόμενοι M 17 ὥστε] *cf.* 18, 16 ἐν αὐτῷ *om.* A
20 λοετρόν] *formae ionicae in sermonem uolgarem non raro inmiscentur* 21 μόνον B ἣ δὲ πάντα αὐτοῖς ἡτοιμάσατο, μόνου τοῦ κτενὸς δ' ἐπελάθετο M. ἐπελάθετο AM: ἐπελάθοντο BV *cl.* D: *quod seruandum erat cum quid uetula fecerit non relatum sit: sed ex communi codd.* A *et* M *testimonio ueri simillimum fit*

ἐπελάθοντο. εἶτα οἱ πραγματευταὶ βαλόντες ἅπερ εἶχον, χρυσίον καὶ ἀργύριον, εἰς βαλάντια τρία, δεδώκασι τῇ γραΐδι εἰπόντες αὐτῇ· „ὦ γύναι, λάβε p.119 B. „ταῦτα τὰ τρία βαλάντια τοῦ χρυσοῦ καὶ φύλαττε „καλῶς ἐν ἑαυτῇ, καὶ μηδὲν ἀπὸ τούτων δώσῃς τινὶ „ἀφ' ἡμῶν, εἰ μὴ νὰ ἴδῃς καὶ τοὺς τρεῖς ἡμᾶς.“ ταῦτα εἰπόντες, ἀπῆλθον εἰς τὸ βαλανεῖον, καὶ ἐν τῇ ὁδῷ ἰδόντες ὅτι κτένιον οὐ κρατοῦσι, στέλλουσιν ἕνα ἀπ' αὐτοὺς πρὸς τὴν γραῖαν τοῦ λαβεῖν τὸ κτένιον. ὁ δὲ πεμφθεὶς εἰς τὴν γραῦν λέγει αὐτήν· „οἱ σύντροφοί μου μηνοῦσί σε δι' ἐμοῦ· Πέμψον „ἡμῖν τὸ χρυσίον τό σε ἐδώκαμεν.“ ἡ δὲ γυνὴ λέγει τῷ ἀνδρί· „οὐδαμῶς δώσω σοι, ἕως οὗ ἔλθετε „καὶ οἱ τρεῖς ὁμοῦ.“ καὶ ὁ ἀνὴρ „ἰδού,“ λέγει „οἱ „σύντροφοί μου μακρόθεν κατ' ὄψιν σου ἵστανται, „καὶ ἐκεῖνοι λέγουσί σοι δοῦναί μοι τὸ χρυσίον.“ καὶ ταῦτα εἰπὼν τῇ γραΐδι, στρέφεται πρὸς τοὺς συντρόφους αὐτοῦ καὶ λέγει αὐτοῖς ἀνωνύμως „οὐ δίδει μοι ἡ γραῦς,“ μήτε κτένιον εἰπὼν μήτε χρυσίον. ἐκεῖνοι δὲ νομίσαντες τὸ κτένιον ζητεῖν αὐτόν,

in hac quoque recensione ante μόνον *enuntiatum quale est in* M *praetermissum esse* 1 ὅπερ? 2 χρυσᾶ (χρυσὰ V) καὶ ἄργυρον ABV: χρυσίον καὶ ἀργύριον *scripsi; quod malui quam leuiore fortasse mutatione* ὅπερ ... χρυσοῦ καὶ ἀργύρου, *quia* χρυσίον, *ut est rei aptissimum uocabulum, in tota hac narratione repetitur,* χρυσοῦ *nonnisi l.* 4 *legitur neque dubitatione liberum est.* ἅτινα ἐπεφέροντο (*cod.* ἀπ.) χρυσίον τρία βαλάντια M 4 τοῦ] τὰ ξύλα τῶν ἀρωμάτων *p.* 132, 10. 12. 136, 7 B. *et* M *nonnunquam* 5 ἐν *i. e.* παρ' M; 51, 25 δώσῃς *scriptoris est* 6 εἰ μὴ νὰ] ἵνα A ἡμᾶς *noli mutare cl.* 14 8 κτένιν A *forma barbara* κρατοῦσι *i. e.* ἔχουσι 11 „*uariant codices et* Ven. *in accentus sede* σύντροφοι [V 96, 3. 5 *et* 123, 3 B.] *et* συντρόφοι [V *l.* 11. 15, D] *exhibentes.*“ Boissonade μηνοῦσι] μηνύουσι *coniecit* Boissonade. δηλοῦσι M εἶπαν D 12 τό *i. e.* ὅ *e sermone uolgari* 13 ἔλθητε? 19 μὴ .. μήτε V *structura apud recentes non infrequenti*

p.120 B. λέγουσι τῇ γραΐδι μετὰ νεύματος „δός, γύναι, αὐτό.“ ἢ δὲ ἐκβαλοῦσα τὸ χρυσίον δέδωκεν αὐτῷ. ὃ δὲ τοῦτο λαβὼν εὐθέως ἀπ' ἐκεῖσε ἔφυγεν. οἱ δὲ σύντροφοι αὐτοῦ περιμένοντες αὐτόν, οὐκ ἦλθε· καὶ μεγάλῃ φωνῇ λέγουσι τῇ γραΐδι· „ποῦ ἐστιν ὁ σύν„τροφος ἡμῶν, ὃν ἀπεστείλαμεν εἰς σέ, καὶ οὐδ' „ὅλως εἰς ἡμᾶς ἀνεφάνη;“ ἡ δὲ γραῦς εἶπε τοῖς ἀνθρώποις ἐκείνοις ὡς „τὸν θησαυρὸν παρ' ἐμοῦ „λαβὼν κατὰ τὴν ἰδικήν σας φωνὴν καὶ τὸν λόγον, „διέβη ἀπὸ τὸ ὁσπίτι μου· ἐμοῦ γὰρ τὸ χρυσίον „αὐτῷ μὴ διδούσης, ὑμεῖς προσεφωνήσατέ μοι· 'Δὸς „αὐτῷ τὸ ζητούμενον παρ' αὐτοῦ.' καὶ ἐγὼ κατὰ „τὸν λόγον ὑμῶν δέδωκα τὸ βαλάντιον.“ οἳ δὲ ἀντεῖπον τῇ γυναικί· „ἡμεῖς τοῦ λαβεῖν ἀπὸ σοῦ κτένιον „ἐπέμψαμεν.“ ἡ δὲ γραῦς, „οὐ κτένιον ἐζήτει,“ φησίν „ἀλλὰ τὸ χρυσίον ὑμῶν ἀπ' ἐμοῦ ἐζήτησεν „ὡς ἀπὸ ἰδικοῦ σας θελήματος· ἐμοῦ δὲ μὴ πιστευ„σάσης ἐκεῖνον ἀληθῆ λέγειν, ὑμεῖς διὰ νεύματος „προετρέψασθέ με ὕστερον δοῦναι αὐτῷ, κἀγὼ ἐκ„βαλοῦσα δέδωκα.“ ταῦτα οἱ πραγματευταὶ παρὰ
p.121 B. τῆς γυναικὸς ἀνελπίστως ἀκούσαντες καὶ πικρῶς τῇ λύπῃ κρατηθέντες, λαβόντες εὐθὺς ἀνάρπαστον τὴν γραΐδα, πορεύονται πρὸς τὸν τῆς χώρας ἐκείνης ἄρ-

1 αὐτό] *malim* αὐτῷ, *quod est in* M. *cf.* 12. *sed fortasse dixisse illi finguntur* αὐτό, *intellexisse illa* αὐτῷ *i. e.* illi etiam soli   2 αὐτῷ AM: αὐτὸ BV Ven. του το D   7 ἀνεφάνη AM: ἐφάνη BVD   9. 17 σας *i. e.* ὑμῶν αὐτῶν; *cf.* Corais στοχ. αὐτ. *ante* Aelian. οβ'   10 διέβην ABV: διέβη Boissonade, *adnotans* „*sic* 125 B. ἀπεσώθην *et* 141 ἀπεκρίθην [*insequente uocali*]: *quae etsi soloeca mutare forsan non debuissem: nam sic loquuntur et nunc homines ineruditiores.*“ *cum error tam promtus sit, perspicuitatis caussa formam antiquam praetuli. de praepositione cf.* 73, 16   ὁσπίτι (AB) Boiss.: ὁσπήτι V, *l.* η, *ut uidetur, mutata in* ι   17 ἰδικούσας V   19 *cf.* 71, 8

χοντά καὶ αὐτῷ τὰ τοῦ πράγματος διηγοῦνται μετὰ λύπης. ὁ δὲ ἄρχων ἔφη τῇ γυναικί· „δὸς τοῖς ἀν-„θρώποις τὸ χρυσίον, ὅπερ σοι ἐναπέθεντο.“ ἡ δὲ γυνή· „αὐθέντη, ἐγὼ τὸ χρυσίον αὐτοῖς δέδωκα.“ οἱ δὲ ἄνθρωποι ἀντέλεγον πάντη πρὸς τὸν λόγον τῆς γυναικὸς ἀληθῆ εἶναι δοκοῦντα· [οἳ δὲ λέγουσι τῷ ἄρχοντι] „ἡμεῖς, ὦ κύριε, [οἱ] τρεῖς ὑπάρχοντες, „ὅτε τὸν θησαυρὸν ἐνεθέμεθα, τοιαύτην αὐτῇ παραγ-„γελίαν δεδώκαμεν, ὡς μηδένα ἀφ᾽ ἡμῶν διδόναι „ποτέ, εἰ μὴ καὶ τοὺς τρεῖς ἡμᾶς αὐτοψεὶ θεάσηται „τὴν παρακαταθήκην ζητοῦντας.“ ὁ δὲ ἄρχων πάλιν τῇ γυναικί φησιν· „ἀπόδος τοῖς ἀνθρώποις τὸ χρυ-„σίον, ὦ γύναι, καὶ μηδαμῶς ἔχῃς ἄλλον τινὰ λο-„γισμὸν περὶ τούτου.“ τότε ἡ γραῦς μετὰ δακρύων ἀπῆλθεν ἐκ προσώπου τοῦ ἄρχοντος μετὰ κλαυθμοῦ
πικρῶς ἀλαλάζουσα. ταύτης οὖν ἀπερχομένης καὶ p.122 B.
ὀδυρομένης, συναντᾷ ταύτῃ παιδίον χρόνων πέντε ὑπάρχον. καὶ τὸ παιδίον αὐτὴν ὁρῶν κλαίουσαν μετ᾽ ὀδύνης πολλῆς, ἠλέησε τῆς πικροτάτης οἰμω-γῆς. καὶ λέγει πρὸς τὴν γυναῖκα τὸ παιδίον· „τί „οὕτως, ὦ γύναι, κλαίεις ἐλεεινῶς;“ ἣ δὲ εἶπεν· „ἄφες με, τέκνον, τὴν ἀθλίαν, τοῦ κλαίειν με ἀθλίως „τὴν ἐμὴν πενίαν καὶ συμφοράν.“ τὸ δὲ παιδίον

2 ἔφη MV: φησὶ (AB) Boiss. (D) ἀπόδος M *et infra* 12 BV 4 αὐθέντη] ἦνα τι A. αὐθέντη ἵνα τί; *coniecit* Boissonade. ἐγώ, κύριέ μου, ἀπέδωκα αὐτοῖς M 6 οἳ δὲ λέγουσι τῷ ἄρχοντι *seclusi; absunt ab* M. *uu.* τῷ ἄρχοντι *autem fortasse seruari possunt. u.* D 7 οἱ *seclusi*: *om.* M. *an* τότε?
8 ἐναπεθέμεθα? *cf.* 3. παρεθέμεθα M αὐτὴ V 9 μὴδένα V 10 ἡμᾶς] *cf.* 95, 6 13 ἔχεις ABVD: ἔχῃς Boissonade, *quem praesentis temporis coniunctiuum recentiores p.* μὴ *subiunxerunt.* 16 ἀπερχομένης *cf.* 87, 8 19 ὠδύνης V οἰμογῆς V 20 *in margine* ὅρα τὴν τοῦ παιδὸς ἀγχίνοιαν (ἀγχίνιαν V) ABV 22 με *prius* Boissonade MD: μοι ABV ἀθλίως] ἀθλίας A; *u.* D 23 τὸ δὲ παιδαρίῳ A

ἐπὶ πλέον ἵστατο ἀναγκάζον αὐτὴν καὶ τὴν αἰτίαν τῆς λύπης αὐτῆς ἠρώτα ἐπιμόνως· καὶ οὐ πρότερον ἀφῆκεν αὐτὴν ὁ παῖς, ἄχρις οὗ τὰ τοῦ πράγματος ὡς ἐγένοντο κατὰ μέρος ἡ γυνὴ τῷ παιδαρίῳ διεσάφησεν. ὁ δὲ παῖς ἀκούσας κατὰ μέρος, τῇ γραίᾳ διηρμήνευσεν εἰπών· „ἐγὼ τῆς κρατούσης σε συμφορᾶς ἐλευθερώσω. καὶ ἐὰν θέλῃς ἵνα σοι ποιήσω ὅπερ λέγω, δός μοι ἀργύριον ὅπως ἀγοράσω κάρυα.“ ἡ δὲ γυνὴ ἔφη· „ἐὰν ταύτης ἐλευθερώσῃς με τῆς συμφορᾶς καὶ ἀνελπίστου ζημίας, δώσω σοι τὸ ἀρ- p.123 B. γύριον.“ τότε λέγει ὁ παῖς τῇ γραΐδι· „ὑπόστρεψον εἰς τὸν ἄρχοντα [τὸν ἡγεμόνα] καὶ εἰπὲ αὐτῷ „οὕτως· „γνωρίζω σοι, κύριέ μου, ὡς τρεῖς σύν„τροφοι ἦσαν οἱ δεδωκότες μοι τὸ ἀργύριον καὶ τὸ „χρυσίον, παραγγείλαντές μοι μηδενὶ ἀπὸ τούτων „τῶν τριῶν συντρόφων δοῦναι τὸ χρυσίον, εἰ μὴ „καὶ οἱ τρεῖς παρῶσι· καὶ νῦν τὸ χρυσίον ἐστὶ παρ' „ἐμοί, καὶ τὴν ἐνδοξότητά σου ἱκετεύω, ἵνα ὁρίσῃς „καὶ παραγίνωνται καὶ οἱ τρεῖς ὁμοῦ· καὶ οὕτως „ἐγὼ αὐτοῖς τὸν συντροφικὸν θησαυρόν, ὃν ἔθηκαν „εἰς ἐμέ, ἀποδώσω.“ λοιπὸν ἡ γυνὴ ἐπὶ ταύταις ταῖς τοῦ παιδὸς παραγγελίαις πολλὰ εὐφρανθεῖσα, εὐθὺς εἰς τὸν ἡγεμόνα ὑπέστρεψε καὶ τὰ τοῦ παιδὸς ῥήματα, ὀλίγα καὶ φρόνιμα ὄντα, εἶπε τῷ ἡγεμόνι. ὃ δὲ ἰδὼν αὐτὴν εὐλόγως λέγουσαν καὶ δικαίως, διαμηνύσας τοὺς ἐμπόρους λέγει· „δικαίως νῦν „ἔγνωκα ὅτι ἡ γραῦς ὑμῖν ἀνθίσταται καὶ τὸν θη-

1 ἵστατο] *cf. p.* 23, 15. ἐπέκειτο M ἀναγκάζων (ο *suprascr.*) V ἀναγκάζων A 5 τὰ κατὰ μέρος? γραΐδι ἡρμήνευσεν A 6 σε *om.* A 8 μοι VM μου D: με (AB) Boiss. 9 με *ego*, D: μοι ABV 12 τὸν ἡγεμόνα *seclusi; u.* D 17 καὶ *cf.* 19. 99, 1 *et* 97, 10 ἐὰν .. παραγενοίμεθα M 18 ἐνδοξώτητα V 26 διαμηνύσας] *cf.* 64, 13

„σαυρὸν οὐκ ἀποδίδει. λοιπὸν ἔλθετε καὶ οἱ τρεῖς, „καθὼς εἴπατε τὸ κατ' ἀρχάς, καὶ οὕτως ὁμοῦ καὶ „οἱ τρεῖς τὸ χρυσίον λήψεσθε.“ τῆς γοῦν τοιαύτης p.124 B. ἀποφάσεως παρὰ τοῦ δικαστοῦ ἐξελθούσης δικαίας ὁμοῦ καὶ ἀναμφιβόλου, καὶ τῆς γυναικὸς μηκέτι παρὰ τῶν δύο συρομένης, ἐνόησεν ὁ δικάζων ὅτι ἡ γυνὴ παρά τινος φρονίμου τὴν τοιαύτην ἤκουσεν ἀπολογίαν, καὶ πρὸς ἑαυτὸν καλέσας τὴν γυναῖκα ἠρώτα· „ὦ γύναι, τίς εἶπέ σοι τὸν τοιοῦτον ἄριστον καὶ πι„θανώτατον λόγον;“ ἡ δὲ ἀπεκρίνατο· „ὦ κύριέ „μου, παιδίον πενταετὲς συνήντησέ με καὶ κλαίου„σάν με ἰδὸν καὶ ἀκοῦσαν παρ' ἐμοῦ τὴν αἰτίαν, „ταύτην εἶπέ μοι τὴν ἀπολογίαν ἀποκριθῆναι εἰς τὸ „βῆμά σου.“ ὁ δὲ ἡγεμὼν αὐτίκα πρὸς ἑαυτὸν τὸν παῖδα ἐκάλεσε καὶ αὐτὸν ἐπηρώτα λέγων· „σύ, ὦ παιδάριον, τῇ γραΐδι τὸν λόγον τοῦτον παρήγγειλας;“ „ναί,“ φησὶν ὁ παῖς, „κύριέ μου.“ καὶ ὁ δικαστὴς ἐκπλαγεὶς ἐπὶ τῇ τοῦ παιδὸς φρονήσει καὶ ὀξύτητι τοῦ νοὸς εὐθὺς αὐτὸν διδάσκαλον προεβάλετο ῥητόρων καὶ φιλοσόφων.

Ἄκουσον δέ, ὦ θειότατε βασιλεῦ, καὶ τῆς περὶ τοῦ γηραιοῦ ἀνδρὸς διηγήσεως. ἄνθρωπός τις ἦν, p.125 B. ὃς εἶχε συνήθειαν πραγματεύεσθαι ξύλα μυριστικά· ὃς καὶ ἤκουσε παρὰ ἀνθρώπων ὅτι τὰ μυριστικὰ

2 καταρχὰς ABV 5 μήκετι V 6 ἐννόησεν V 8 ἑαυτὴν V καλέσας *scripsi*: λαλήσας ABV (καλήσας Boissonade) *cf.* 15. προσκαλεσάμενος M 9 πιθανότατον V 10 ὦ κυριέ μου V: *om.* (AB) Boiss. 11 *scribendum* πεντάετες *cf.* 92, 6 συνήντισε VAB 12 ἰδ$\overset{\text{ο}}{\text{ώ}}$ν V ἀκούσας ABV: *correxit* Boissonade 16 παρήγγειλες V *more recentiorum. u.* ἔγραψες 72, 17 19 νοὸς] *uide indicem* διδάσκαλον] καθηγητήν M. *suspicabar* διδασκαλίᾳ 21 τῆς περὶ *scripsi, ut est in* M: περὶ τῆς ABV 24 ἀνθρώπων τινῶν ὅτι? *cf.* D. (Hdt. 9, 16 *extr.*)

ξύλα εἰς τόδε τὸ κάστρον ἀκριβῶς εὑρίσκον
εὐθὺς ὁ ἔμπορος ἅπερ εἶχεν ἀρωματικὰ ξι
ρασμένα λαβών, ἀπῆλθεν εἰς τὴν πόλιν ἐκει
δὲ ἐπεσώθη ἐκεῖ, κατεσκήνωσεν ἔξω τῆς
ἐκείνης, ἵνα μάθῃ πῶς ἡ τιμὴ τῶν ξύλων
ἐν τῇ πόλει ἐστί. διὰ μέσου δὲ τῆς ἡμέρας
ἰδοῦσα αὐτὸν μία δούλη τινὸς τῶν ἀρχόν
ἐγχωρίων ἠρώτησεν αὐτόν· „σὺ τίς εἶ; κ
„ἐπιφερόμενα πράγματα;“ ὃ δὲ ἔφη· „ἔμπο
„καὶ ταῦτα τὰ ξύλα μυριστικά.“ ἡ δὲ δούλ
τῷ ἰδίῳ δεσπότῃ ὅσα λελάληκεν αὐτῇ ὁ
ἐφανέρωσεν. ὁ δὲ κύριος τῆς δούλης πολύξι
εὐθέως συνῆξεν ὅσα ἀρωματικὰ εἶχε ξύλα κ
πῦρ ἔβαλε· καὶ ἀνάψαντος τοῦ πυρός, πολ
ἐξῆλθεν εὐωδία ἐκεῖθεν. ἐκεῖ γοῦν πλησίον
ρος ὑπάρχων καὶ τῆς ὀσμῆς ἐκείνης πλησθ
p.126 B. *τοῖς ἐκεῖ οὖσιν ἀνθρώποις· „πολλῆς εὐωδί*
„μυριστικῶν ἐμπίπλαμαι καί, παρακαλῶ, ἐ
„μήπως τις εἰς τὰ ἐμὰ ξύλα πυρκαϊὰν ἀ
„καίονται τὰ ἡμέτερα.“ οἳ δὲ πρὸς αὐτὸ

1 *εἰς i. e. ἐν* *ἀκριβῶς i. e.* magno pretio *di*
tissimi *εὑρίσκονται*] uenduntur, stant 2 *ἀγορ*
102, 9 4 *ἐπεσώθην* ABV: *ἐπεσώθη* Boissonade.
ex Xenophonteo illo ἀπεσώθη εἰς Δεκέλειαν (Hell
recentiores ita u. (ἀπο)*σώνειν adhibuerunt ut modo sig*
citer peruenire. *ἐπεσώθη an alibi hoc sensu uel o*
patum sit nescio: id uero patet perueniendi *notionem*
exprimi praepositione ἐπί 5 *πῶς ἡ*] *πόση ἡ? quan*
et 102, 15. *πῶς .. ἔχει .. ἡ ὤνησις* M 6 *διὰ μέσ*
cule im Verlaufe, während 8 *ἠρώτισεν* V *τί*]
τίνα εἰσὶν M. *uide* Corais *Heliod. p.* 208 12 *π*
ABVD *i. e. πολυμήχανος. ποικίλος καὶ πανοῦργος*
M 15 *ἐκεῖθεν nequis suspicetur u. ἐκεῖ deleto cu*
insequuntur coniungendum esse prohibent MD 16 *κ*
incommode additum 17 *τοῖς*] *τῆς* V. *τοῖς περὶ*
τοῖς ἀκολουθοῦσιν? 18 *ἐμπίπλαμα* V 19 *μή*
μήπώς τις (AB) Boiss. 20 *ὁ δὲ* V

„οὐδαμῶς ἐν τῷ σῷ φόρτῳ ἀνῆψέ τις πυρκαϊὰν ἢ „σπινθῆρα.“ καὶ πρωΐας γενομένης, εἰσῆλθεν εἰς τὴν πόλιν ἐκείνην ὁ ἔμπορος, καὶ συναντᾷ αὐτῷ ὁ τῆς δούλης ἐκείνης δεσπότης καὶ ἐρωτᾷ αὐτόν· „τί ἄρα εἰσὶ τὰ ἐν τῷ φόρτῳ φερόμενα;“ ὁ δὲ ἔμπορος ἔφη· „ἀρωματικὰ ξύλα ἔφερον.“ ὁ δὲ ἐγχώριος πρὸς τὸν ἔμπορον εἶπε· „τίς σε, ὦ ἄνθρωπε, „κατηνάγκασε τὰ τοιαῦτα ξύλα πρὸς ταύτην τὴν „πόλιν κομίσαι, παραιτησάμενος ἄλλα εἴδη ἀφ' ὧν „ἔμελλες κερδᾶναι; γίνωσκε γὰρ ὅτι ταῦτα τὰ ξύλα „ἐνθάδε χρείαν οὐκ ἔχουσιν· οἱ γὰρ κατοικοῦντες „ἄνθρωποι ὧδε ὡς καύσιμα ἔχουσι καὶ τούτοις χρῶν„ται εἰς κλίβανον καὶ φοῦρνον.“ καὶ ὁ ἔμπορος· „καὶ πῶς ἔστι τοῦτο, ὅτι ἐγὼ ἤκουσα ὅτι πλέον ἡ „πόλις αὕτη χρῄζει τῶν τοιούτων ξύλων ἢ ἄλλαι „πόλεις;“ ὅτε καὶ πρὸς τὸν ἔμπορον ἀπεκρίνατο· p.127 B. „οἱ ταῦτα εἰπόντες σε, μεγάλως σε ἠπάτησαν.“ τούτοις τοῖς λόγοις ὁ ἔμπορος τὴν καρδίαν πληγείς, ἔμεινε λυπούμενος. ὁ δὲ ἀνὴρ ἐκεῖνος ἰδὼν τὸν ἔμπορον σφόδρα λελυπημένον, λέγει πρὸς αὐτόν· „βλέ„πω σε, φίλε, σφόδρα γεγονότα περίλυπον, καὶ „ἐλεῶ σε πολλὰ διὰ τὴν λύπην σου ταύτην. διὰ „τοῦτο τοίνυν, ἂν χρῄζῃς, ἐλθὲ καὶ πώλησόν με „τὴν πραγματείαν σου ὅλην, καὶ εἴ τι θέλεις, δώσω „σοι εἰς πινάκιν γεμάτον.“ ὁ δὲ ἔμπορος ἀνελογί-

1 ἢ σπινθ. *inest in* M *quoque* 9 παραιτησάμενος] deprecatus *i. e.* prohibens. *an* παραιτησάμενον praetermittentem? *hoc enim significat Graecis recentibus; cf.* D. παραλιπεῖν M 10 κερδάναι ABV, *in quo non latet* κερδανεῖν 12 ἔχουσι] eodem loco habent. *cf. p.* 162 B. προσανέχουσι M 13 *uu.* καὶ φοῦρνον *uidentur delenda.* πρὸς ἔκκαυσιν καμίνου M 17 εἰρηκότες σοι M 19 ἔμενε VB. συνεσχέθη τῇ λύπῃ M. *u.* D 24 πραγματείαν *i. e.* φόρτον M 25 εἰς] usque adeo ut impleatur? ἓν? *u.* D. 102, 9. πινάκιν *cf.* 59,11 ἀνελογίζετο κ. ἑ. λέγων]

ζετο καθ' ἑαυτὸν λέγων· „στοχάζομαι ὅτι κάλλιόν „ἐστι τοῦ δοῦναι τὴν πραγματείαν μου ὅλην τῷ ἀν- „δρὶ τούτῳ ἢ ἀπομεῖναι τὰ πράγματα ἀπούλητα· „καὶ ὅσα βούλεται δοῦναί μοι λήψομαι· τοῦτο γὰρ „κρεῖττόν ἐστιν ἢ ἀπομεῖναι τὰ πράγματα ἀπώλητα.“ καὶ τοῦτο ἐν τῷ νοΐ βουλευσάμενος, ἐπώλησε τὴν πραγματείαν πᾶσαν αὐτοῦ ὁ ἔμπορος πρὸς τὸν ἐγχώριον, συμβιβασθεὶς λαβεῖν, εἴ τι ἄρα καὶ ζητήσει, ἕνα πίνακα γεμισμένον. λαβὼν οὖν ὁ ἀγοράσας τὴν πραγματείαν τοῦ ἐμπόρου ἤγαγεν εἰς τὴν οἰκίαν p.128B. *αὐτοῦ, μηδενὸς τὸ καθ' ὅλου γινώσκοντος περὶ τούτου. ὁ μὲν οὖν ἔμπορος ἐκεῖνος περιπατῶν ἐν τῇ πόλει, εἰσῆλθεν εἰς οἰκίαν γραΐδος τινὸς μετὰ τῶν συντρόφων αὐτοῦ τοῦ κατακλιθῆναι ἐκεῖ, καὶ ἐπηρώτα τὴν γραῦν ὁ ἔμπορος λέγων· „πῶς ἄρα, ὦ γύναι, τὰ ἀρωματικὰ ξύλα ὧδε πωλῶνται;“ ἡ δὲ ἔφη· „ἰσόσταθμα τῷ χρυσῷ ταῦτα πωλῶνται. πλὴν „λέγω σοι, ἔμπορε, πρόσεχε καλῶς ἀπὸ τῶν πολιτῶν „τῆςδε τῆς πόλεως· πανοῦργοι γὰρ καὶ δόλιοί εἰσιν „ἅπαντες καὶ ποικίλοι ταῖς πράξεσι, καὶ οὐκ ἔστι „δυνατὸν τὸν ἐνταῦθα ἐλθόντα ξένον μὴ παρὰ τού- „των φθοράν, εἰ δυνατόν, (καὶ) τῆς ἑαυτοῦ ζωῆς ὑπο-*

διελογίζοντο Eu. Luc. 5, 21 *c. notis interpretum.* συλλογισάμενος M (D) 2 *articulus* τοῦ *saepe ab recentioribus praesertimque ab hoc scriptore infinitiuo additur; hoc autem loco nescio an eiciendus uel in* τὸ *mutandus sit ut sententia fiat perspicua* 3 ἀπούλητα] *incertum utrum librario an scriptori tribuendum; paulo post recte* ἀπώλητα. *u.* D 8 συμβιβασθείς] conuenit cum eo. *p.* 136 B: εἴ τι συνεβιβάσθημεν περὶ τοῦ φόρτου 9 γεμισμένον] *cf* 50, 10 12 μὲν οὖν] μέντοι M 15 πῶς *i. e.* πόσον. *cf.* 100, 5 16. 17 πωλοῦνται D *priore*, πωλῶνται ABV *utroque loco: sed quamquam Graecos recentissimos in sermone uolgari etiam* ω *ubi debebant* ου *adhibuisse constat, tamen cum in* M *sit* ἀπεμπολοῦνται, *hic bis scribendum censeo* ἐμπολῶνται, *illic* ἀπεμπολῶνται. *cf.* Lob. Phr. 584. Piers. Moer. 156 17 ἰσοστάθμῳ αὐτοῖς χρυσίῳ M *melius; cf.* D 21 δυνατὸν *om.* M 22 καὶ *adieci; cf.* D

„μεῖναι.“ ταῦτα εἰπούσης τῆς γραΐδος ἐκείνης, ἐξῆλθε τῆς οἰκίας αὐτῆς ὁ ἔμπορος θεάσασθαι τὰ ἐν τῇ πόλει, καὶ ὁρᾷ τρεῖς ἄνδρας ὁμοῦ ἐπὶ τὸ ἔργον καθεζομένους καὶ ἱστάμενος συχνῶς ἐνατενίζων ἔβλεπε τούτους. ἐκεῖνοι δὲ πάλιν ἑωρακότες τὸν ἔμπορον, εἷς ἀπὸ τούτων τῶν τριῶν λέγει πρὸς αὐτόν· „ἐλθέ, ὦ πάτερ, καὶ διαλεχθῶμεν ἐγὼ καὶ σὺ p.129 B. „πρὸς ἀλλήλους· καὶ ὅστις ἀφ' ἡμῶν νικήσει ἐπὶ τῇ „τῶν λόγων στροφῇ καὶ πιθανότητι, ἐπιταξάτω τῷ „νενικημένῳ ποιῆσαι ὅ τι καὶ βούλεται ὁ νενικηκώς.“ ὁ δὲ ἔμπορος ἀπεριέργῳ τῇ γνώμῃ καὶ ἁπλοϊκῇ τῇ ψυχῇ· „ναί,“ φησί, „στέργω, καὶ γενέσθω ὡς ἐκέ„λευσας.“ εἶτα ἐκάθισαν πρὸς ἀλλήλους διαλεγόμενοι. καὶ νενίκηκε τὸν ἔμπορον ὁ μῖμος ἐκεῖνος καὶ πανοῦργος ἀνὴρ καί φησι πρὸς αὐτόν· „ἰδού, ὡς „ὁρᾷς, ἐνίκησά σε τοῖς λόγοις μου, καὶ κατὰ τὴν „συμφωνίαν ἡμῶν ἐπιτρέπω σε πιεῖν πάντα τὰ τῆς „θαλάττης ὕδατα.“ ἐπὶ τούτοις οὖν ὁ ἔμπορος ἐν ἀπορίᾳ γέγονε, μὴ δυνάμενός τινα μηχανὴν εὑρηκέναι εὐλογοφανῆ καὶ προβαλέσθαι τῷ μίμῳ εἰς ἀντίθεσιν, καὶ τοὺς αὐτοῦ βρόχους διαφυγεῖν. ἦν δὲ ὁ ἔμπορος τὴν ὅρασιν γλαυκόφθαλμος, ἔτυχε δὲ εἶναι καὶ τὸν ἕνα ἀπὸ τῶν τριῶν μίμων ἐκείνων μονόφθαλμον, γλαυκὸν δὲ τὸν ἕνα αὐτοῦ κεκτημένον ὀφθαλμόν. κἀκεῖνος δὲ ἀναστὰς ἐπελάβετο ἰσχυρῶς τοῦ p.130 B.

6 *in* αὐτόν *desinit in* V f. 80r; *pergitur* f. 80v ἰδού (15), *mediis* (6—15) *propter uu.* πρὸς αὐτόν *repetita omissis* 15 ἰδού, ὡς ὁρᾷς *non raro coniungitur* 17 πιεῖν] *cum additum sit* πάντα, *non oportet scribi* ἐκπιεῖν. καταπιεῖν M. *cf.* 107, 7 18 θαλάσσης VM 19 εὑρηκέναι] *inf. perf. ab his scriptoribus crebro adhibentur loco inf. aor.* 20 εὐλοφανεῖ A προβαλέσθω V 21 διεκφυγεῖν M 23 *p.* καὶ *sententia referenda ad* γλαυκὸν (24)

ἐμπόρου λέγων· ,,σὺ τὸν ἕνα μου ἔκλεψας ὀφθαλμόν· ,,διὸ ἀπέλθωμεν πρὸς τὸν κριτὴν τῆς πόλεως, ὅπως ,,αὐτὸς ὁρίσῃ καὶ ἀποδώσῃς μοι τὸν ὀφθαλμὸν ὃν ,,ἔκλεψας.“ ἤκουσεν ἡ γραῦς ἡ ὑποδεξαμένη τὸν ἔμπορον, ὅτι πρὸς τὸν τῆς χώρας ἄρχοντα ἔσυρεν ὁ μῖμος τὸν ἔμπορον. καὶ συναντήσασα τούτοις, εἶπε πρὸς τὸν μῖμον ἡ γραῦς· ,,ἄφες, ἀξιῶ, σήμερον ἐγ- ,,γυητικῶς τὸν ἔμπορον, καὶ ἐγὼ αὐτὸν αὔριον πρωΐ, ,,ἐὰν ζητήσῃς, παραστήσω σοι.“ ὁ δὲ μῖμος ὑπακούσας τῇ αἰτήσει, κατέλιπε τὸν ἔμπορον. κἀκείνη μετ' αὐτοῦ πρὸς τὸν ἴδιον οἶκον ἦλθε καὶ λέγει πρὸς αὐτόν· ,,ἐγὼ πάντως πρότερον παρήγγειλά σοι προσ- ,,έχειν ἀπὸ τῶν ἀνθρώπων τῆς πόλεως, ὅτι ἐπὶ πᾶσι ,,τοῖς ξένοις κακοὶ λίαν φαίνονται καὶ ἄγαν πονηροί, ,,καὶ μηδαμῶς φανερῶς ἐξέλθῃς ποτέ· σὺ δὲ ἐπεὶ ,,οὐκ ἤκουσάς μου τῆς συμβουλῆς, εὗρες καὶ τῆς ,,παρακοῆς τὰς ἀντιμισθίας. καὶ νῦν ἄκουσόν μου ,,ἀρτίως περὶ ὧν συμβουλεῦσαί σοι θέλω, ἐπεὶ τὰ
p.131B. ,,πρῶτα ἐσφάλης. γνωρίζω γάρ σοι ὡς οἱ τοιοῦτοι ,,μῖμοι ἔχουσί τινα καθηγητὴν καὶ διδάσκαλον, ὅστις ,,τῇ πονηρίᾳ τῶν ἄλλων πάντων ὑπερέχει καὶ νικᾷ ,,ἅπαντας. πρὸς αὐτὸν γοῦν ὡς διδάσκαλον πάντες ,,οἱ μῖμοι καθ' ἑκάστην ἑσπέραν πορεύονται, καὶ ,,ἀπαγγέλλουσιν ἅπερ ἕκαστος δι' ὅλης τῆς ἡμέρας

1 ὀφθαλμῶν A, Boiss. 3 ὁρίσει, καὶ ἀποδώσεις? 4 ἤκουσε δ'? ἠκηκόει δὲ M. *cf.* 106, 11 7 μίμον V *et* M *nonnunquam: quae non magis notaui quam* γῦναι ἀνδρᾶσι σίτος *similia* 7 ἐγκυητικῶς V 10 κἀκείνη *scripsi:* καὶ ABV. ἡ γραῦς *add.* M, αὐτὴ D 12 πρότερον] πρώτως A 15 φανερῶς] ita ut te peregrinum esse cognoscat. καὶ μηδαμῶς.. ποτέ *uidetur huius recensionis auctor aptauisse a u.* παρήγγειλα, *cum in* M *rectissime relata sint ad ea quae uetula iam in posterum mercatori suadet. u.* D 19 *post* οἱ *in* V τοῦ *ab eadem manu deletum* 20 γηραιὸν *add.* M. *in margine* V ἐνταῦθα ὅρα 22 πρὸς *om.* VB

„εἶπε καὶ ἔπραξε. νῦν οὖν ἐάσας πάντα, ἐπάκουσόν „μου τῆς ὠφελίμου ταύτης συμβουλῆς· ἐγερθεὶς „ἄλλαξόν σου τὸ σχῆμα, καὶ τὸν ἑαυτόν σου ποίη- „σον ὡς ἕνα τῶν μίμων, φορέσας καὶ ἱμάτια ὅμοια· „εἶτα κρυφίως ἀπελθών, σμίξον σαυτὸν τῇ ἐκείνων „συντροφίᾳ· πλὴν πρόσεχε ἵνα μὴ γνωσθῇς ὑπ᾽ αὐ- „τῶν. συμπορεύθητι γοῦν πρὸς τὸν διδάσκαλον „αὐτῶν καὶ στῆθι ἐκεῖ πλησίον που, ὡς εἷς τῶν τυ- „χόντων καὶ κοινῶν τῆς πόλεως, καὶ ἄκουσον ὅσα „ἀπαγγελοῦσιν αὐτῷ οἱ μετὰ σοῦ ὁμιλήσαντες καὶ „ὅσα ἐκεῖνος πάλιν αὐτοῖς ἀποκριθήσεται, καὶ πᾶν „ὅ τι αὐτοῖς παρὰ τοῦ διδασκάλου λαληθήσεται ἐν „τῇ διανοίᾳ σου σημείωσον, ἵνα ἔχῃς ὅσα ἐκεῖνος p.132 B. „ἀποκριθῇ πρὸς αὐτοὺς εἰς ἀντίθεσιν τῶν ἐχθρῶν „τῶν πολεμούντων σε, καὶ μετὰ δυνάμεως πολλῆς „νικήσῃς τὴν πονηρίαν αὐτῶν· καὶ δὴ ἀπὸ τούτου „τοῦ τρόπου μέγα σοι προσγενήσεται κέρδος.“ ὁ δὲ ἔμπορος ἐποίησεν ὡς παρὰ τῆς γραὸς ἐδιδάχθηκεν. ✓ὅθεν καὶ μετήλλαξε το ἑαυτου σχῆμα καὶ ἀπελθὼν ἔστη ἔγγιστα τοῦ γηραιοῦ ἐκείνου. καὶ πρῶτα μὲν ἑωράκει ἐλθόντα πρὸς αὐτὸν ἐκεῖνον τὸν ἀγοράσαντα

1 ἔπραξεν A ἄκουσόν A, D 2 ὠφελήμου VB φελῆμου A: *correxit* Boissonade 3 τὸν ἑαυτόν σου] *cf.* 106, 12. Corais Στοχ. αὐτ. *ante* Aelianum *p.* κβ' *not. m.* τὸν *et* σου *ab* M *abest* 5 σμίξον] *cf.* 40, 5 14 ἀποκριθῇ] *coni. aor. loco futuri usurpatus* 16 νικήσεις? δὴ *scripsi*: σὺ ABV, *om.* D. σοι Boissonade *et* M: *sed tum praeterea aut* μέγα σοι *in* μέγιστον *mutandum est, id quod in* M *legitur*, *aut excidisse* λέγω *sumendum*: καὶ σοὶ λέγω, ἀπό 18 ἐδιδάχθηκεν *cf.* 60, 18 20 *in margine* ὁ ἔμπορος μετεσχηματίσθη (μετεσχιμ. V) ὡς ξένος· καὶ ἀκούει τὰς πράξεις ἃς ποιοῦσιν οἱ κακοὶ διαβολεῖς καὶ ἄδικοι καὶ (καὶ *om.* A) πλάνοι καὶ πολύτροποι ABV ἐγγιστα M ἔγγιστα (κ *supra*) V ἔγκιστα AB 21 ἑωράκει M *quoque*

τὰ ξύλα τῶν ἀρωμάτων, ὅστις ἀπήγγειλε τῷ καθηγητῇ λέγων· „ἐγὼ συνήντησά τινι ἐμπόρῳ, ξύλα „πωλοῦντι τῶν ἀρωμάτων, καὶ τὸν φόρτον αὐτοῦ „ἅπαντα ἠγόρασα, συμφωνήσας δοῦναι αὐτῷ διὰ „τὴν τιμὴν τῶν ξύλων πίνακα γεμάτον ἐκ τῶν εἰ„δῶν τῶν παρ' ἡμῖν, ὧν ἂν ἐπιζητήσῃ.“ ὁ δὲ διδάσκαλος ἠρώτησε· „τίνα γέ εἰσι τὰ παρὰ σοῦ συμ„φωνηθέντα; ἆρά γε χρυσὸς ἢ ἄργυρος;“ ὁ δὲ μῖμος „οὐχί,“ φησί „κύριέ μου, ἀλλὰ εἴδη ἀνώνυμα, „ἅπερ ἐκεῖνος ἐθελήσει ζητῆσαι, πίνακα πεπληρω- p.133 B. „μένον.“ ἔφη πρὸς αὐτὸν ὁ διδάσκαλος· „μεγάλως „ἔσφαλες τὸν ἑαυτόν σου· ἔστω γὰρ τυχόν· ἐὰν δόξῃ „τῷ ἐμπόρῳ ζητῆσαι ἀπὸ σοῦ ψύλλας ὅσας ἂν ὁ πί„ναξ χωρῇ, εἶτα τὸ μὲν ἥμισυ πλῆθος τῶν ψύλλων „ἔστω θῆλυ, τὸ δὲ ἕτερον ἥμισυ ἄρσεν, καὶ μὴ μό„νον ξανθοὺς εἶναι τοὺς ψύλλους καὶ ὑπομαύρους, „ἀλλὰ καὶ γλαυκοειδεῖς, ἆρα δύνασαι τοιαύτην δό„σιν δοῦναι αὐτῷ; πῶς γενήσεταί σοι ἐλευθερωθῆ„ναι τῆς ὀχλήσεως αὐτοῦ;“ καὶ ὁ μῖμος· „οὐ το„σοῦτον, ὦ κύριέ μου, ὁ ἔμπορος σεσόφισται οὐδὲ „τοιαῦτα πονηρεύεσθαι ὁ αὐτοῦ νοῦς ἱκανός ἐστιν· „ἀλλ' ὡς ὑπολαμβάνω, χρυσὸν ἢ ἄργυρον ὁ τοιοῦ„τος ζητήσει παρ' ἐμοῦ, καὶ οὐκ ἄλλο (τι).“ προσελθὼν οὖν καὶ ὁ ἐν τῇ διαλέξει νενικηκὼς μῖμος τὸν

1 τὰ αὐτοῦ ξῦλα τοῦ ἀρώματος M. *cf.* 2 *et p.* 109, 8 ἀνήγγειλε M 2 συνήντησα V *sed* η *mutatum in* ι, συνήντισα AB τῷ ἐμπόρῳ τινί A: *uidetur uoluisse* τῳ 4 δοῦναι] *antiquiores dixissent* δώσειν 7 ἠρώτισε V γε εἰσὶ V: *qualia plerumque non adscripsi* 8 ἄρα V *fere ubique* 11 ἔφη δὲ M; *u.* 20, 13 12 ἔσφαλες τὸν ἑ. σου *a scriptore uidetur profectum esse; u.* D. μεγάλως ἐσφάλης M 14 χωρεῖ V ψύλλων] *cf.* 16 *et* M 16 ὑπόμαυρους BV ὑπὸ μαύρους A 17 λαυκοειδεῖς V 20 ὦ *om.* ABMD Boiss. 23 τι *adieci*: ἄλλον τί ποτα D

ἔμπορον, ἀπήγγειλε τῷ καθηγητῇ ὡς „ἐγὼ τῷ ἐμ„πόρῳ τούτῳ συναγωνισάμενος εἰς πόλεμον λόγων, „ὅτι οἷος τὸν ἕτερον νικήσει, (ἐπιταξάτω τῷ νενικη„μένῳ ὅτι ἂν βούληται, καὶ τοῦτον δεῖ) ἐκπληρώ„νειν ἅπαντα τὰ ἐπιταχθέντα παρὰ τοῦ νενικηκότος „αὐτῷ· λοιπὸν ἐγὼ νικήσας ἐν πάσῃ τῇ διαλέξει, p. 134 B. „εὐθὺς ἐπέτρεψα αὐτῷ ἐκπιεῖν τὰ τῆς θαλάττης „ὕδατα.“ ὅτε καὶ ὁ καθηγητὴς πρὸς ἐκεῖνον ἀπεκρίνατο· „οὐδὲ σὺ καλῶς ἐποίησας· ἔστω γὰρ ἴσως „ἐκεῖνον εἰπεῖν πρὸς σέ· ἀπελθὼν πρότερον κράτη„σον τοὺς ἐν τῇ θαλάσσῃ ῥέοντας ποταμοὺς καὶ τὰς „πηγάς, εἶτα ἐγὼ τὰ τῆς θαλάττης ἐκροφήσω ὕδατα, „ἅπερ καὶ μόνα ὑπεσχέθην σοι πεπωκέναι. εἰ οὖν „ταῦτα ὁ ἔμπορος ἀντιλέξει σοι, δύναμις ἔστι σοι „τοῦ εὐκόλως ἐμποδίσαι τοὺς ἐν τῇ θαλάσσῃ εἰσ„ρέοντας ποταμοὺς καὶ πηγάς;“ ὁ δὲ μῖμος ἔφη· „γίνωσκε, κύριέ μου, ὡς οὐκ ἔστι δυνατὴ ἡ τοῦ ἐμ„πόρου φρόνησις τὴν τοιαύτην ἀπολογίαν δοῦναι.“ εἶτα προσελθὼν καὶ ὁ μονόφθαλμος μῖμός φησι τῷ καθηγητῇ· „σήμερον, κύριέ μου, ἑώρακα ἐν τῇ ἀγορᾷ „ἄνδρα τινὰ ἔμπορον ξένον γλαυκοειδεῖς ἔχοντα „ὀφθαλμούς, καὶ τοῦτον ἐκράτησα ἰσχυρῶς λέγων·

3 ἐπιταξάτω ... δεῖ *adieci, cl.* 103, 9, *et mutaui* ἐκπληρεῖν *in* ἐκπληρώνειν; *alius forsitan maluerit* ἐκπληροῦν. ὅτι *intactum reliqui cum extet etiam in* Ven.: *om.* D. οὕτω .. συμπεφώνητο ὡς ἐπὶ λόγοις τὸν νικηθησόμενον, εἴ τι ἄρα καὶ ἐπιτραπείη πρὸς τοῦ νικήσαντος, δέξασθαι καὶ ποιήσασθαι M. ἐβάλαμεν στίχημα, ὅτι εἴ τις νικήσῃ εἰς τὴν διάλεξιν τοῦ λόγου, νὰ κάμῃ ὁ νικώμενος τὰ ὅσα τὸν ὁρίσῃ ἐκεῖνος ὁποῦ νικήσῃ. Ven. νικήσῃ A 7 ἐκπιεῖν *scripsi*: πιεῖν ABV. *cf.* 12. 109, 23. 103, 17. πιεῖν τὰ θαλάττια ὕδατα ἅπαντα M: *cf.* D 9 ἔστω *scripsi ut est in* M: ἔσται ABV 11 τῇ VM (D): *om.* (AB) Boiss. 12 ἐκῥοφήσω *et* 15 εἰσῥέοντας V 13 ποποκέναι V. *cf.* 103, 19 14 ἔσται? εὐχερῶς ἕξεις M 22 τοὺς ὀφθαλμούς?

„σύ τε κἀγὼ γλαυκοὶ ὑπάρχομεν, καὶ σύ μου τὸν
p.135 B. „ἕνα ἔκλεψας ὀφθαλμόν· λοιπὸν οὖν οὐδαμῶς ἀφήσω „σε, εἰ μὴ τὸν ἕνα σου ἐκβάλω ὀφθαλμὸν ἢ σὺ τὸν „ἐμὸν ὀφθαλμὸν ἰατρεύσῃς, κἂν πάντα σου τὸν „πλοῦτον ἐξοδιάσῃς.“ τότε εἶπεν αὐτῷ ὁ καθηγητής· „οὐδέ σύ τι κατώρθωσας· ἐὰν γὰρ φανῇ τῷ ἐμπόρῳ „εἰπεῖν σοι ὅτι „τοῦτο πρῶτον σημεῖόν ἐστι τῆς „προτάσεώς σου, ἵνα καὶ τὸν ὀφθαλμὸν ὃν ἔχεις ἐκ-„βάλῃς κἀγὼ τὸν ἕνα μου ὀφθαλμόν, καὶ ἐν ζυγίῳ „σταθμίσωμεν, καὶ οὕτως ἡ ἀλήθεια εὑρεθήσεται· „εἰ μὲν (οὖν) ἴσος εὑρεθῇ ὁ ἐμὸς ὀφθαλμὸς τῷ σῷ, „ἔχε αὐτόν, εἰ δὲ κατά τι ἄνισος, ἢ βαρύτερος ἢ „ἐλαφρότερος, τότε ὡς ψευδῆ μου κατηγορήσας καὶ „τὸν ἐμὸν ὀφθαλμὸν ἐκβαλὼν εὐθύνας καὶ τιμωρίας „καὶ ζημίαν (μεγίστην) ὀφλήσεις.“ τί ποιήσεις τότε, „ἐὰν οὕτως ὁ ἔμπορος ἀπολογηθήσεται; καὶ τὸ δὴ „χεῖρον, ὅτι εἰ τοῦτο ἐπὶ σοὶ γένηται, σὺ μὲν τε-„λείως ἔσῃ τυφλὸς καὶ πάντῃ ἀόμματος, ἐκεῖνος δὲ „τὸν ἕνα ὀφθαλμὸν ἔχων, πάλιν τὸ φῶς βλέπων

4 ἰατρεύσεις VB. *aliter* M. (*om.* D) σου τὸν πλοῦτον σου V: σὺ τ. πλ. σου? 6 κατόρθώσας ABV: κατώρθωσας Boissonade. *cf.* 4, 18. 7 ἔστω? ἔσται? 8 *in u.* ἵνα *desinit in* V f. 83, *pergitur* f. 84 βαλὼν (14): *media desunt* ἐκβάλλῃς B 11 οὖν *adieci; quamquam cf.* 93, 16 εὑρεθῇ] *optatiuus est in* M 12 *comparatiuos restitui*: βαρὺς ἢ ἐλαφρός AB. *u.* D 14 βαλὼν V *in folii initio* 15 μεγίστην *adieci* ὀφλήσεις *scripsi*: ζητῶν ABV ζητῶ Boissonade; *sed cum tempus praesens* (*requiris* ζητήσω) *tum structura* (136, 11. 12) *offendit*; *quare audacius mutaui; singularis autem* ζημίαν *arguit adi.* μεγίστην *uel* σκληρὰν *uel* ἀξίαν *excidisse; si tribus nominibus unum fuisset adiectiuum, non displicuisset* ζημιωθήσῃ. ὑπὲρ τῆς αὐτοῦ ἐκβολῆς ἀξίως εὐθυνθήσῃ M. — ζητῶν, τί ποιήσεις· τοῦτο· ἐὰν A ζητῶν, τί ποιήσεις· τότο· ἐὰν BV. *rectius distinxit* Boissonade *scripsitque* τότε (D): *an* τούτῳ? 16 ἀπηλογηθήσεται V. ἀπολογηθῇ σε? 18 πάντως? παντελῶς D 19 πάλιν ABVMD: ἀκμὴν? ἐπὶ πλέον?

„ἔσται.“ πρὸς ταῦτα ὁ μονόφθαλμος μῖμος ἀπεκρίθη p.136 B. τῷ καθηγητῇ· „ἀλλ' οὐκ ἐπὶ τοσοῦτόν ἐστιν „ὁ ἔμπορος πονηρός, ὥστε τοιαῦτα λόγια ἀντιπαραθεῖναι.“ ταῦτα οὕτω παρὰ τοῦ καθηγητοῦ καὶ τῶν μίμων λαληθέντων, ὁ ἔμπορος ἠκροᾶτο παρ' ὅλην τὴν νύκτα, φυλάττων αὐτὰ ἐν τῇ καρδίᾳ αὐτοῦ. πρωίας δὲ γενομένης παραγίνεται ὁ ἔμπορος πρὸς τὸν ἀγοράσαντα τὰ ξύλα τῶν ἀρωμάτων καί φησι πρὸς αὐτόν· „ἀπόδος μοι, φίλε, εἴ τι συνεβιβάσθημεν περὶ τοῦ φόρτου, οὗ σε ἐπώλησα.“ ὁ δὲ μῖμος ἔφη· „ζήτησον, εἴ τι βούλει, κἀγὼ ἑτοίμως ἀποδώσω „σοι.“ ὁ δὲ ἔμπορος ἀποκριθεὶς λέγει· „θέλω ἵνα „μοι δώσῃς ἐν τῷδε τῷ πίνακι ψύλλας ὅσας χωρεῖ, „ἀπ' αὐτῶν δὲ τῶν ψύλλων τὸ ἥμισυ ἄρσεν, τὸ δὲ „λοιπὸν ἥμισυ θῆλυ, καὶ μὴ μόνον καὶ ὑπομαύρους „εἶναι τὰς ψύλλας, ἀλλὰ καὶ γλαυκοειδεῖς.“ οὕτως εἰπὼν ὁ ἔμπορος τῷ μίμῳ ἰσχυρῶς ὑπῆρχεν ἀναγκάζων αὐτὸν καὶ βιαζόμενος κατὰ πολύ, ἕως οὗ ὁ μῖμος ἔδωκε τῷ ἐμπόρῳ πλείονα τιμὴν τῆς δικαίας τιμῆς τῶν ἀρωματικῶν ξύλων· καὶ τότε μόλις ἀφῆκεν αὐτὸν τῆς ὀχλήσεως. εὑρὼν δὲ καὶ τοὺς ἄλλους δύο p.137 B. μίμους, τῷ τὸν ὀφθαλμὸν αὐτοῦ ζητοῦντι καὶ τῷ τὴν θάλασσαν ἐκπιεῖν ἐπιτρέψαντι αὐτῷ, ἔπνιγε γοῦν αὐτοὺς ἀναγκάζων ποιῆσαι ὅσα κρυφίως τοῦ διδασκάλου αὐτῶν λέγοντος αὐτοῖς (ἠκηκόει), καὶ

4 καὶ] κατὰ D 6 αὐτὰ] ταῦτα V (M) 7 πρωὶ V 13 δῷς M 15 ὑπόμαυρους BV 19 τιμὴ V 20 τιμῆς *non est delendum* 21 ἐντυχὼν δὲ καὶ τοῖς ἑτέροις δυσὶ μίμοις M. *itaque aut* περιτυχὼν .. τοῖς ἄλλοις δ. μίμοις *aut* τὸν τὸν ὀ. α. ζητοῦντα καὶ τὸν τ. θ. ἐ. ἐπιτρέψαντα *scriptum oportebat. sed nescio an is qui librum recensebat, ut repetitum* τὸν *uitaret, adpositionem falsam admiserit: talia enim artificia apud Malalam et Ducam haud pauca est uidere* 25 ἤκουσε *adiecerat* Boissonade (D). ἠκηκόει *ego ex* M

τοσοῦτον αὐτοὺς ἔσυρε βιαίως, ἕως οὗ ἔλαβεν ἀπὸ τούτων ὡς νικήσας ὅσα ἠθέλησεν ὁ ἔμπορος· καὶ τότε ἀφῆκεν αὐτούς. Καὶ νῦν, ὦ δέσποτα βασιλεῦ, ἐξ ὧν σοι διηγησάμην γίνωσκε ὡς ἐκεῖνοι οἱ δύο παῖδες, ὁ τριετής, φημί, καὶ ὁ πενταετής, περὶ ὧν πρώην εἶπον τῷ κράτει σου, καὶ οὗτος ὁ γηραιὸς καθηγητὴς πολλῇ τῇ γνώσει καὶ τῇ συνέσει κεκόσμηντο. καὶ ἐμέ, ὡς νομίζω, κατ' ἐκείνους ὁ ἐμὸς διδάσκαλος ἀπετέλεσεν."

Ὁ δὲ βασιλεὺς ἔφη πρὸς τὸν υἱόν· „γνώρισόν μοι λοιπόν, ὦ υἱέ, πῶς ἐν τοῖς προλαβοῦσι τρισὶν ἔτεσιν οὐ μεμάθηκας τὴν νῦν προσγενομένην σοι λογιότητα, νῦν δὲ ἐν μόνοις τοῖς ἓξ μησὶν ἐπὶ τοσοῦ-
p.138B. τον σοφίας ἤρθης;" καὶ ὁ παῖς ἀπεκρίνατο· „τότε, ὦ βασιλεῦ, νηπίου ὄντος μου, οὐ συνήργουν ἀλλήλαις αἱ ὑπάρχουσαί μου τῆς ψυχῆς καὶ τοῦ σώματος αἰσθήσεις. ἐν ἡλικίᾳ γὰρ παιδὸς ὄντος μου τότε οὔτε οἱ ὀφθαλμοὶ ἢ ἡ γλῶττα, οὔτε ὁ νοῦς ἢ ἡ καρδία ἀλλήλοις ἠδύναντο βοηθῆσαι πρὸς τὴν τῶν μαθημάτων διδασκαλίαν· οὐδὲ δυνατόν ἐστιν ἔτι νηπιόφρονα ὄντα εὐκόλως γνῶσιν ἐκδιδάσκεσθαι, καθότι ἅπαν παιδίον, τοῖς παιγνίοις καὶ τῇ ἀργίᾳ εὐφραινόμενον, οὐ προσέχει τὸν νοῦν ἐν τοῖς μαθήμασι. κἀγώ, ὦ βασιλεῦ, τὸν ὅμοιον τρόπον τότε τῇ ἡλικίᾳ καὶ τῇ γνώσει τυγχάνων, οὐδὲν ὅλως τῶν διδασκο-

2 ὁ ἔμπορος *noli delere* 5 *cf.* 92, 6 7 καθηγητὴς *om.* V: *exhibet* M *quoque* 10 β. ὑπολαβὼν ἔφη M 12 προσγενομένην *scripsi ut est in* M: προσγινομένην ABV; *cf.* E 16 μου] μοι M 17 ἐν .. κ. 18 *om.* D 22 ἀργείᾳ V 23 [ἐν]? *sed quamquam male additum, a scriptore tamen profectum esse potuit.* προσέχειν *cum praep.* εἰς (D) *recentiores saepe coniunxerunt.* περὶ τὰς διδασκαλίας M 25 τυγχάνων *i. e.* διακείμενος M

μένων ἠδυνάμην καρπώσασθαι, ἅτε μοι τούτοις τοῖς παιγνίοις τὸν νοῦν μου στερεοῦσιν· ἀλλ', ὡς νηπιώδης, τὸν νοῦν εἶχον διακεχωρισμένον. νῦν δὲ ὁ διδάσκαλός μου Συντίπας θεωρῶν τὸ νέον τῆς ἡλικίας μου, οὐ βαρέως καὶ ἀναγκαστῶς με ἐδίδασκεν οὐδὲ τοῖς βαρυτέροις ἐξ ἀρχῆς ἤρξατο πρός με μαθή- p.139 B. *μασιν, ἵνα μὴ νέος ὢν ἐγὼ ἀγανακτήσω καὶ βαρυνθῶ διὰ τὸ μὴ κατανοεῖν με τὰ λεγόμενα καὶ ἅπαντα τὰ διδασκόμενα πόρρω τῆς ἐμῆς ἀπορρίψω διανοίας, καὶ ὅτι ἐγίνωσκεν ὁ διδάσκαλός μου ὡς ἐὰν ἐξ ἀρχῆς εἰς μεγάλα καὶ μακρὰ μαθήματα βάλῃ με, εὐκόλως εἶχον ἀλαζονεύσασθαι καὶ ἐκφυγεῖν ἀπ' αὐτοῦ, ἅτε βασιλέως ὑπάρχων υἱός· ἀλλὰ κατὰ μικρὸν προοδοποιῶν ἐν τοῖς λόγοις, οὕτω με πρὸς τὸ τέλειον τῆς ἐπιστήμης τῶν λόγων ἀνέφερε. καὶ ἐγὼ πάλιν τελεωτέρας (μέτοχος) γεγονὼς τῆς φρονήσεως, ἐφύλαττον ἐν τῇ καρδίᾳ πάντα τὰ παρ' αὐτοῦ διδασκόμενα, καὶ συνάξας τὸν πρώην διεσπαρμένον μου νοῦν καὶ (τὼ ὦτε) ἀνοίξας πρὸς τὸ ἀκούειν, καὶ τὴν γλῶτταν εὔστροφον καταστήσας πρὸς τὴν τῶν λόγων πλοκὴν τῶν μεμελετημένων, καὶ τὰς χεῖρας πρὸς τὸν*

2 *τὸνοῦν* V *στερεοῦσιν*] *u. στερεόω στερρόω* (*hodiernis Graecis στερεώνω*) *significat* durum reddere, *στ. νοῦν* mentem ita durum reddere ut nihil siue quod discat siue cui obsequatur intrare possit: *quae imago, ab agro desumpta, cum ex aliis scriptoribus tum ex* V. T. *et* N. T. *est notissima. ceterum datiuus est absolutus qui dicitur.* Boissonade *coniecit στεροῦσιν uel στερεύουσιν. aliter* D, *et* M: *ἅτε μὴ τούτοις τὸν ἐμαυτοῦ νοῦν προσερείδων* 10 *ὅτι respondet participio θεωρῶν. καὶ γάρ* M *melius* *ἐγίνωσκεν*] *ἐδίδασκεν* B 11 *μικρὰ* ABV: *correxit* Boiss.; *om.* D 12 *ἂν εἶχον* M 14 [*ἐν*]? *omittit* M 15 *ἀνέφερε i. e. ἀνήγαγε* M 16 *γεγονὼς*] *ἐφαπτόμενος* M. *u.* D. *offendit τῆς. τετευχώς? ἐπήβολος γεγονώς? interim adieci μέτοχος* 18 *συναγαγών* M *διεφθαρμένον* V 19 *νοῦν*] *νῦν* V *τὼ ὦτε adieci ut est in* M; *om.* D 20 *τὴν τῶν*] *τῶν om.* A 21 *μελετημένων* BV. *cf.* 72, 21 *et* 102, 9 *τὰς χεῖρας πρὸς*

λογισμὸν τῶν λέξεων μεμαθηκὼς ἐξυπηρετεῖν. οὕτως οὖν, ὦ βασιλεῦ θειότατε πάτερ, ἐπὶ τῶν ἓξ μηνῶν τὸν καιρὸν πάντα τὰ διδαχθέντα κατέλαβον ἀκριβέστατα, συμμαχούσης καὶ τῆς θείας δυνάμεως ἡμῖν, (καὶ) μετέλαβον τὴν εἴδησιν ἁπάσης φιλοσοφίας, p.140B. *ὅσον δυνατόν ἐστιν ἀνθρώποις ἡμῖν οὖσι καὶ ἐξ ἀνθρώπων.“*

Τούτοις τοῖς λόγοις τοῦ παιδὸς ὁ βασιλεὺς πολλὰ τὴν καρδίαν εὐφρανθείς, εὐχαριστηρίους λόγους ἀνέπεμπε τῷ θεῷ καὶ τὴν τοῦ παιδὸς σύνεσιν καὶ φιλοσοφίαν δοξάζων καὶ ἐπαινῶν ὑπῆρχε τὰ μέγιστα καὶ τῷ φιλοσόφῳ καὶ διδασκάλῳ μεγάλως εὐχαριστῶν ἦν. μετὰ δὲ ταῦτα πάντα κελεύει τὴν πονηρὰν ἐκείνην παραστῆναι γυναῖκα, ἥτις τὸν υἱὸν αὐτοῦ, τοιοῦτον ὄντα, ἐτεχνεύετο φονευθῆναι. ἧς καὶ παραστάσης, ὁ βασιλεὺς λέγει αὐτῇ· „φανέρωσόν μοι, ὦ γύναι, καὶ μηδὲν διὰ φόβον ὑποκρύψῃς, διὰ ποίαν αἰτίαν τὸν υἱόν μου ἐσπούδαζες φονευθῆναι καὶ τίς ἦν ἡ ἀφορμὴ τῆς τοιαύτης σου κατασκευῆς καὶ μανίας;“ ἡ δὲ ἀποκριθεῖσα ἔφη· „γινώσκεις, ὦ κράτιστε βασιλεῦ, ὡς οὐδέν ἐστί (τινι) τῶν ἐν κόσμῳ βιούντων ἀγαπητικώτερον ὡς ἡ ζωή [τοῦ ἀνθρώπου].

διάστιξιν συλλαβεῖν M. *cf.* D. *agitur de actione sententiis congruente* *τ(ὸ)ων λογισμ(ὸ)ων* V 5 *καὶ adieci. u.* D. *ἀκριβέστατα κατέλαβον καὶ ἐν μεθέξει πάσης φιλοσοφίας καὶ συνέσεως γέγονα, συναραμένης πάντως καὶ τῆς θείας δυνάμεως..* M. *adcuratius fortasse* M *expressissem addita p. καὶ ante uel δὲ post συμμαχούσης* 8 *in margine ὁ βασιλεὺς ἀποδεξάμενος μάλα τὸν Συντίπαν φιλόσοφον τὸν τοῦ υἱοῦ διδάσκαλον, ἐπευφραίνεται* [*ἐπευφραί(ντ)* V *ἐπευφραίνετο* (AB) Boissonade] *λίαν ταῖς τοῦ παιδὸς εὐκαίροις ἀπολογίαις* ABV 11 Eu. Luc. 2, 20 21 *τινι adieci et* 22 *τοῦ ἀνθρώπου seclusi; praeterea ὡς suspicionem mouet etiam ἄλλο excidisse.* M *exhibet:*

κἂν γάρ τίς ἐστι πένης ἐπὶ χρόνοις πολλοῖς, ἢ δι' p.141 B. *ἀνάγκην τινὰ ἔχασε τὰ πράγματα αὐτοῦ, ἢ καὶ ἀδίκως ἀναγκάζεται παρά τινος, ἀλλ' ὅμως τῆς ἰδίας ζωῆς φροντίζει. καὶ ἐγὼ λοιπὸν τὸν παῖδά σου διὰ τοῦτο ἔλαβον αὐτὴ κατὰ μόνας μετ' ἐμοῦ, διὰ τὴν τοῦ κράτους σου θεραπείαν, ὅπως κατὰ μόνας δυνηθῶ ἐγνωρίσαι διὰ ποίαν αἰτίαν οὐ λαλεῖ. καὶ μετὰ ἐρωτήσεων καὶ κολακειῶν ἤμην συντυγχάνουσα αὐτῷ καὶ λόγους πραεῖς τούτῳ προέτεινα καὶ ἠγαπημένους. ἐμαλάκισα δὲ τὸ στερρὸν αὐτοῦ τῆς σιωπῆς μετὰ τοιούτων λόγων, ἕως οὗ οἰκονόμησα αὐτὸν ἀποκριθῆναί μοι κἂν ἕνα λόγον. καὶ ἀπεκρίθη εἰπών μοι· „νῦν οὐκ ἀποκρίνομαι, ἕως οὗ ἀπὸ τῆς σήμε- „ρον ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ὕστερον ὡς ἔνι „δίκαιον ἀπολογήσομαι.“ ἐγὼ τοίνυν, τῷ λόγῳ τούτῳ διαταραχθεῖσα καὶ περίφοβος λίαν ὅτι μάλιστα γενομένη, ὅτι εἰ ὁ παῖς λαλήσει, ἀπαγγελεῖ σου τῷ κράτει ὅσα ὑπὸ σατανικῆς ἐνεργείας παρακινηθεῖσα κατεῖπον καὶ παρεκίνησα τοῦτον, καὶ πανούρ-* p.142 B.

ὡς οὐδέν τινι τῶν ἀνθρώπων τῆς ἰδίας ζωῆς καθέστηκε προσφιλέστερον. per se quidem ἀνθρώπου quamquam de uolpecula insequitur narratio in hoc scriptore nihil haberet offensionis, sed et superfluum est et datiuus requireretur: itaque tamquam explicandi caussa adscriptum deleui. nam quod duplici aliquando mutatione effeceram οὐδέν ἐστι τῶν ἐν κόσμῳ βιωτικῶν ἀγαπητικώτερον ὡς ἡ ζωὴ τῷ ἀνθρώπῳ minus concinit cum M   *ἀγαπητικότερον* V *ἀγαπητικότως* A   2 *ἔχασε] cf.* 69, 5. *ἐχάσε* V *more recentiorum*   5 *αὐτὴ scripsi: αὐτὸν* ABV, *om.* D   7 *ἐγνωρίσαι] cf.* 71, 21   10 *ἐμαλάκησα* V   11 *ᾠκονόμησα? cf.* 4, 18   12 *ἀπεκρίθην* ABV: *ἀπεκρίθη* Boissonade. *cf.* 96, 10   13 *ἀποκρινοῦμαι? ἀποκριθήσομαι* M. *cf.* 9, 18. 81, 21 *ἀπολογήσομαι*   14 *καὶ] ἀλλ'?*   *ἔνι i. e. ἐστί*   19 *παρεκίνησα] malim παρεκίνουν uel forma barbara παρεκινοῦσα* conata sum seducere. *coniungenda sunt ὅσα κατεῖπον καὶ παρεκίνησα et apodosis a u. u. καὶ πανούργως est incipienda. melius quidem p. καὶ abesset, sed ex archetypo structura immutata minus apte seruatum esse docet* M. *cf.* D

γως ἐπὶ τοῦ κράτους σου κατηγόρησα. καὶ τὸ σφάλμα μου γινώσκω καὶ φανερῶς τὸ πταῖσμά μου καθομολογῶ καὶ εἰς οὐδένα λόγον ἀρνοῦμαι τοῦτο. λοιπόν, ὦ μέγιστε βασιλεῦ, ὅ σοι φαίνεται ποίησον εἰς ἐμέ, ὡς ἂν ὁρίσῃ τὸ εὔσπλαγχνον καὶ θευπρόβλητον κράτος σου.“ ἐπὶ τούτοις ὁ βασιλεὺς ἀναβλέψας καὶ ἰδὼν τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ χιλιάρχοις, εἶπεν αὐτοῖς· „τίνα βουλὴν δίδετε ὑμεῖς ἐμοὶ περὶ τῆς γυναικὸς ταύτης, ὅπερ ἐποίησε πονηρὸν ἔργον, καὶ ποίαν τιμωρίαν ἐστὶν ἄξιον αὐτῇ διδόναι;“ εἷς δέ τις τῶν μεγιστάνων λέγει αὐτῷ· „δίκαιόν ἐστιν, ὦ βασιλεῦ, χεῖρας καὶ πόδας τῆς γυναικὸς ἀποτμηθῆναι.“ ἕτερος δὲ ἀπεκρίνατο· „οὐχ οὕτως ἔχει τὸ δίκαιον, ἀλλὰ ζώσης αὐτῆς ἐξορυχθῆναι τὴν καρδίαν.“ ἄλλος δὲ τῶν μεγιστάνων ἔφη· „τὴν γλῶτταν αὐτῆς ἐκκοπῆναι πρέπον ἐστί.“ καὶ ἡ γυνὴ τῶν τοιούτων ἀκούσασα ἀποφάσεων καὶ οἵας τιμωρίας ἀξίαν ἀποφαίνονται ταύτην, τοιοῦτόν τινα μῦθον πρὸς ἐκείνους ἀπεφθέγξατο·

„Ὦ μεγιστᾶνες, φαίνονται τὰ παρ' ὑμῶν λεγό-
p.143B. μενα κατ' ἐμοῦ πρὸς παράδειγμά τινος ἀλώπεκος, ἥτις διὰ πάσης νυκτὸς εἴς τινα πόλιν εἰσήρχετο. καὶ ἦν ἡ ταύτης εἰσέλευσις διὰ θυρίδος τινὸς ἀνθρώπου δέρματα ἐργαζομένου· καὶ ὅσας φορὰς εἰσήρχετο εἰς τὸν οἶκον τοῦ ἀνδρὸς ἐκείνου, ἔτρωγε τὰ ἐκείνου δέρματα. εἶτα ὁ ἐργαστὴς ἐκεῖνος ἰδὼν ὅσα σχίσματα

1 *cognosces Noui Testamenti sermonem* 7 ἰδὼν ABV, ἐμβλέψας M: *ne tamen* ἐνιδὼν *reponeretur officere uidebatur p.* 123,5 *ubi uide quae adnotaui* 9 ἧπερ Boissonade. *sed tum utique addendus articulus* τὸ πονηρὸν ἔργον. ὅπερ *est i. q.* καθ' ὅπερ. *an* εἰς ὅπερ? 18 αὐτὴν? *u.* D 20 *lemma* μῦθος τῆς πονηρᾶς γυναικός 24 ὅσας φοράς] quotiens. φορά *est uernacule* Mal. *u.* Corais *Aesop. p.* 441 *ad* 277 26 ἐραστὴς B εἶτα ὁ σκυτεὺς ἐκεῖνος ἑωρακὼς τὰ γεγονότα ἐν τοῖς αὐτοῦ δέρ-

ἐποίει, [ὁ ἐργαστὴς ἐκεῖνος] ἐξετάσας (γίνεσθαι) διὰ τῆς ἀλώπεκος, εὐθὺς κατ' αὐτῆς παγίδα στερεὰν ἔστησε. καὶ· ἡ ἀλώπηξ κατὰ τὴν συνήθειαν βουληθεῖσα εἰσελθεῖν διὰ τῆς θυρίδος, ἐκρατήθη εἰς τὴν παγίδα. πονηρὰ δὲ οὖσα ἡ ἀλώπηξ καὶ πολύτροπος, διά τινος εὐτέχνου μηχανῆς τὴν κρατήσασαν αὐτὴν παγίδα διέφυγε καὶ περιεπάτει κύκλῳ ἐκείνην τὴν πόλιν τοῦ εὑρεῖν ἄλλην τινὰ θυρίδα, ὅπως δυνηθῇ ἐξελθεῖν τῆς πόλεως. ὡς δὲ δι' ὅλης τῆς νυκτὸς περιπατοῦσα, οὐχ εὗρε τόπον τοῦ ἐκβῆναι, ἐπεὶ κύκλῳ τετειχισμένη ἡ πόλις ἦν, καὶ τῆς ἡμέρας ἐγγιζούσης, ἔλεγεν ἐν ἑαυτῇ· „ἐὰν ἡμέρα γένηται, πάν- p.144 B. „τως ὑπὸ τῶν σκύλων κρατηθήσομαι, καὶ οὐκ „ἐάσουσί με πρότερον, εἰ μὴ τὰς σάρκας μου διαρ„ρήξουσιν. ἀλλ' ἐγὼ γινώσκω τί με δεῖ ποιῆσαι.“ καὶ δὴ πορεύεται ἐπὶ τὴν πύλην τῆς πόλεως καὶ ἑαυτὴν πλησίον που τῆς φλιᾶς [τοῦ κατωφλίου] κατέκλινεν, προσποιουμένη νεκρὰν καὶ ἄπνουν ἑαυτὴν εἶναι. οὕτω δὲ αὐτῆς κειμένης ὡς νεκρᾶς καὶ τῆς πύλης τὸ πρωῒ ἀνοιχθείσης ὡς ἔθος παρὰ τοῦ πορταρίου, εἶδέ τις αὐτὴν κειμένην καὶ λέγει πρὸς

μασι σπαράγματα, εὐθὺς αὐτῇ παγίδα ἰσχυροτάτην ἵστησιν. M. *itaque plura non uidentur omissa esse.* γίνεσθαι *adieci et uu.* ὁ ἐργαστὴς ἐκεῖνος *seclusi, non quin eadem uerba, praesertim subiecta enuntiatorum, ab hoc scriptore crebro repetantur, sed quia interuallum nimis paruum uidetur* 3 τὸ αὐτῇ σύνηθες M *cf.* 45, 13 4 πάλιν *addunt* MD 11 καί *coniungit duo enuntiata* ὡς .. οὐχ εὗρε *et* τῆς ἡμέρας ἐγγιζούσης, *ut non recte ante et post* καὶ *distinxerit* Boissonade; *in* M *est* καὶ .. κοπιάσασα οὐδ' ὅλως .. ἴσχυσε, τῆς δέ γε ἡμέρας διαυγαζούσης .. *sed malim pro p.* καὶ *reponi* ἤδη ἐγκιζούσης V 12 πάντων V 17 φλοιᾶς τοῦ κατοφλίου ABV: *correxit* Boissonade. *ego* τοῦ κατωφλίου *seclusi, nam* significat κατώφλιον limen inferius *ut* ἀνώφλιον superius, *non* portam *ipsam. explicando igitur uerbo* φλιᾶς *adscriptum puto. u.* D 21 πορταρίου] *statim* πορτάρης, *qua forma hodierni Graeci adhuc*

τὸν πορτάρην· „κατὰ ἀλήθειαν ἡ οὐρὰ τῆς ἀλεπο „ταύτης πολλά ἐστι καλὴ εἰς τὸ σπογγίζειν τὸν μ „λῶνα.“ καὶ εὐθὺς ὁ τοῦτο εἰπὼν λαβόμενος μ χαιραν, ἔκοψε τὴν οὐρὰν αὐτῆς. ἡ δὲ ἀλώπηξ ἀ δρείως ὑπέμεινε τὸν πόνον τῆς οὐρᾶς. εἶτά τις ἕτ ρος αὐτὴν ἰδών, ἔφη· „ἐὰν ἔχῃ τις παιδίον μικρ „κλαῖον πολλά, οὐδὲν ἄλλο ἐστὶν εἰς θεραπεί „καλόν, εἰ μὴ τὰ ὦτα τῆς ἀλεποῦς, τοῦ κρατεῖν αὐ

p.145B. „πάντοτε ἐπάνω τοῦ παιδός.“ καὶ εὐθὺς ἔκοψε κ αὐτὸς τὰ ὦτα αὐτῆς. καὶ ἡ ἀλώπηξ καὶ τοῦτον τ πόνον γενναίως ὑπέμεινεν. ἄλλος τις πάλιν παρε χόμενος τὴν ὁδὸν ἐκείνην καὶ ταύτην ἰδὼν ὡς ι κράν, εἶπεν· „ἀκήκοά τινος λέγοντος ὡς ἐάν τις το „ὀδόντας πονῇ, καὶ θήσῃ ἐπάνω ὀδόντα ἀλεποι „εὐθὺς τοῦ πόνου ἐλευθεροῦται.“ καὶ ἅμα τῷ λό λίθον λαβών, ἅπαντας τοὺς ὀδόντας ἐκείνης συι τριψε. καὶ ἡ ἀλώπηξ πάντα τὰ δεινὰ ταῦτα ὑπέμ νεν ἀνδρικῶς, ἕως οὗ ἄλλος ἄνθρωπος περιπατ εἶπεν· „ἐγὼ ἀκήκοα εἰς πᾶσαν ὀδύνην ὠφελεῖν τ „ἀλώπεκος τὴν καρδίαν, καὶ (ὡς) εἰς ἅπαν νόση „ἐστι θεραπευτική.“ οὕτως εἰπόντος τοῦ ἀνθρώπ ἐκείνου καὶ μάχαιραν λαβόντος πρὸς τὸ τὴν καρδί

utuntur. πορτάριν Du Cange. *cf.* Corais *Isocr. p.* 308
1 ἀλεποῦς] ἀλωποῦ ἀλουποῦ ἀλεποῦ *dicitur Graecis recen simis* uolpecula. *in* ἀλωπῶ Vossium *Hesychii* ἀλωπά *mutan censuisse adnotauit* Boissonade. *sed Ignatius dixit* ἡ ἀλωπός ἀλεποῦς (1. 8) *deriuandum est a nominatiuo* ἀλεποῦ 2 πο *cf.* 92, 18. λίαν M σπονγγίζειν A μύλωνα ABV μάχαιραν *in his scriptoribus accusatiuus ferendus est. recte l.* σπασάμενος M 4 ἔκοψε *cf.* 9 5 τῆς οὐρᾶς *om.* D κρατεῖν *cf.* 45, 1 *et* D 11 ἄλλός V ἕτερος δέ τις

omisso u. πάλιν 14 ὀδόντα BV ὀδόν^τ M *i. e.* ὀδόντα: ὀδ τας A (D) 15 τὸν πόνον A. *uolebatne* τῶν πόνων? ὑπέμενεν A 20 ὡς *adieci;* M *exhibet utroque loco* ὅτι. D *et* 26, 11

αὐτῆς ἐκβαλεῖν, ἡ ἀλώπηξ εὐθέως ἐκπηδήσασα, σπουδαίως διὰ τῆς θύρας τοῦ κάστρου ἐξέφυγεν — ἔτυχε γὰρ τὴν πύλην τότε ἠνεῳγμένην εὑρεθῆναι — καὶ τοῦ φόνου οὗ ἔμελλε παθεῖν ἠλευθερώθη. Καὶ p.146 B. ἐγὼ νῦν ἡ ἀθλία, ὦ βασιλεῦ, πάντα ὅσα οἱ ἄρχοντές σου συμβουλεύονταί σοι ἑτοίμη εἰμὶ ὑπομεῖναι, τὴν δὲ καρδίαν μου ἐκβαλεῖν βιαίως οὐ δύναμαι ὑπομεῖναι· θάνατος γάρ ἐστι τοῦτο πικρὸς καὶ ὀδυνηρός."

Ἐπὶ τούτοις ἀποκριθεὶς ὁ τοῦ βασιλέως υἱὸς λέγει τῷ πατρὶ καὶ τοῖς παρεστῶσιν ἄρχουσιν· „ἀληθῶς ἡ γυνὴ λέγει καὶ πρεπόντως· οὐδὲ γὰρ πρέπει τοὺς φρονίμους καὶ συνετοὺς τῶν ἀνθρώπων τὰ τῶν γυναικῶν σφάλματα εἰς ἀφορμὴν καὶ μέμψιν καὶ κατηγορίαν μεγάλην ἔχειν· καὶ οὐδὲ αὐτὴν τὴν γυναῖκα πρέπει μεγάλης τιμωρίας καὶ παιδεύσεως ἀπόφασις. ἀλλὰ τοῦτο μόνον ἐστὶ δίκαιον αὐτῇ γενέσθαι, ἵνα ἡ κεφαλὴ αὐτῆς ξυρισθῇ καὶ τὸ πρόσωπον αὐτῆς μουτζωθῇ, καὶ ἐπάνω ὄνου ἐξόπισθεν

1 ἐκπηδήσασα *scripsi ut est in* M: πηδήσασα ABV (D) 6 ἕτοιμη V 8 λίαν πικρὸς? 13 ἀνθρώπων] *uidetur emendandum* ἀνδρῶν *quod est in* M 15 καὶ οὐδὲ αὐτήν] *sententia postulat* λοιπὸν *uel* οὐκοῦν οὐδὲ ταύτην „ergo ne hanc quidem," *et sic fere est in* M. *sed nescio an is qui librum recensebat errorem ipsum commiserit* 16 παίδευσις] castigatio 18 ἵνα *more recentiorum* 19. 118, 1 μουτζωθῇ — καθίσῃ — ἐκπομπευθῇ *scripsi:* μουτζωθῆναι — καθίσαι — ἐκπομπεφθῆναι *libri. quam structurae inmutationem scriptori tribuere etsi minus dubitarem, tamen ut corrigerem effecit et* πορεύονται 118, 2 *et subiectum ad infinitiuum* καθίσαι *non additum et quod uitium ita est in propinquo et quod in* MD Ven. *structura non est interrupta* 19 μουτζωθῇ *i. e.* ἀσβόλῃ περιχρισθῇ M. μου(ν)τζώνειν μου(ν)τζουρώνειν *significat* inquinare coeno *uel* fuligine *indeque* illudere; *minus recte* Boissonade *explicat* κολαφιστικῶς τυφθῆναι: *quae significatio ut in uerbo inesse possit* (*de quo dubito: deriuauit autem* Boissonade *ni fallor ex u.* μουτζουνιά) *hoc loco non est apta*

καθίση καὶ εἰς πᾶσαν ἐκπομπευθῇ τὴν πόλιν, δύο δὲ κήρυκες [ἤτοι πλατζάριοι] πορεύωνται μετ' αὐτῆς ἔμπροσθέν τε καὶ ὄπισθεν, καὶ (δεῖ) λέγειν αὐτοὺς φωνῇ μεγάλῃ ὥστε πάντας ἀκούειν, εἴ τι ἄρα κακὸν αὕτη εἴργασται.“ οὕτως εἰπόντος τοῦ υἱοῦ τοῦ βα- p.147 B. *σιλέως, ηὐφράνθη ὁ βασιλεὺς καὶ πάντες οἱ ἄρχοντες ἐστερέωσαν τὰ λαληθέντα, ἀποδεξάμενοι τὴν τοιαύτην βουλήν. ὁ δὲ βασιλεύς φησι πρὸς τὸν υἱὸν αὐτοῦ· „ὦ τέκνον, καλῶς λελάληκας καὶ φρονίμως ἡμῖν συνεβούλευσας. λοιπὸν γενέσθω ἐπ' αὐτῇ καθὼς ὁ υἱός μου ἡμῖν συνεβουλεύσατο.“ καὶ ἅμα πάντα ἐγένετο ἐπ' ἐκείνῃ τῇ πονηρᾷ γυναικὶ ὅσα ὁ νέος τοῦ βασιλέως υἱὸς συνεβουλεύσατο.*

Εἶτά φησιν ὁ βασιλεὺς τῷ φιλοσόφῳ Συντίπᾳ· „φανέρωσόν μοι, ὦ φιλόσοφε, καὶ ἀληθῶς ἀπόδειξον πόθεν ἡ τοσαύτη γνῶσις καὶ φιλοσοφία προσεγένετο τῷ υἱῷ μου; μὴ ἐξ αὐτῆς τῆς γεννήσεως φυσικὴν ἔλαβε τὴν λογιότητα; ἢ μᾶλλον διὰ τῆς σῆς ἐπιμελείας σεσόφισται;“ ἀποκριθεὶς δὲ ὁ Συντίπας λέγει τῷ βασιλεῖ· „ἡ τοῦ υἱοῦ σου, δέσποτα, σύνεσις ἅμα καὶ γνῶσις ἐκ θεοῦ ἐν πρώτοις κεχάρισται· ἀλλὰ καὶ αὐτὴ ἡ τύχη τῆς γεννήσεως αὐτοῦ τὸ τῆς γνώσεως προτέρημα ἔχει· ἐπειδὴ καὶ ἡ ἐμὴ ἐπιμέλεια καὶ p.148 B. *σπουδὴ ἐσμίχθη τούτοις τοῖς δύο, καὶ διὰ τοῦτο ἔλαβεν ὁ υἱός σου τὸ ὑπερβάλλειν πάντας ἐν γνώσει.*

1 ἐκπομπεφθῆναι ABV: ἐκπομπευθῆναι Boissonade, ἐκπομπευθῇ *scripsi* 2 ἤτοι πλατζάριοι *uncis saepsi* πορεύωνται *scripsi*: πορεύονται ABV 3 ὄπισθε V δεῖ *adieci*. καὶ ὀφείλουσιν βοᾶν M. *u.* D 4 φωνὴ μεγάλη V αὕτη κακὸν V 11. 13 συνεβουλεύσατο] *recentiores uerbum medium loco actiui, quod est in* M, *adhibent* 12 *ν. om.* M, 13 *τ. β. υ. om.* D 17. 22 γενέσεως? 21 κεχάρισται *scripsi*: κεχώρισται ABV. κεχωρήγηται (*sic*) M. *cf.* 123, 14 24 ἐσμίχθη] *cf.* 40, 5

πλὴν περὶ τούτου καί τινός μου διηγήσεως ἄκουσον.“ ὁ βασιλεὺς ἔφη· „εἰπὲ ὃ βούλει, Συντίπα, τῇ ἀληθείᾳ φιλοσοφώτατε.“ ὃ δὲ τοιαύτης πρὸς αὐτὸν ἐξηγήσεως ἀπήρξατο·

„Βασιλεύς τις ἦν ἐν τοῖς ἄνωθεν χρόνοις, ὅστις εἶχε μετ' αὐτοῦ πολλοὺς φιλοσόφους, ἐξ ὧν εἷς ὑπῆρχε τῶν ἄλλων μειζότερος λίαν. ἦν δὲ παρ' ἐκείνῳ τῷ βασιλεῖ ἄνθρωπός τις τὴν ἀστρολογικὴν τέχνην μεγάλως γινώσκων καὶ μετερχόμενος. τῷ γοῦν πρώτῳ φιλοσόφῳ ἐκείνῳ τοῦ βασιλέως γεννᾶται τότε υἱός. καὶ εἶπον τοῦτο τῷ βασιλεῖ ὡς „ὁ δεῖνα φιλόσοφος ἐγέννησεν υἱὸν σήμερον.“ ὁ δὲ βασιλεὺς εὐθὺς τὸν ἀστρολόγον προσεκαλέσατο. καὶ ὁ ἀστρολόγος πρότερον, τὴν γέννησιν τοῦ παιδὸς ἀκούσας, ἐξέτασεν ἐν τοῖς ἄστροις περὶ τῆς τύχης τοῦ παιδός· καὶ ὡς ὁ βασιλεὺς αὐτὸν ἐλάλησε τοῦ ἐρωτῆσαι αὐτὸν περὶ τοῦ παιδός, αὐτὸς ἅμα λέγει τῷ βασιλεῖ· p.149 B. *„ὁ παῖς οὗτος, ὦ δέσποτα, ὁ νῦν γεννηθείς, ἐξ ὧν „με διδάσκουσιν οἱ τῶν ἀστέρων δρόμοι, τὴν τῶν „ληστῶν καὶ κακούργων κακὴν τύχην ἔχει, καὶ πολ„λοὺς ἐπιζήσει χρόνους, καὶ τῷ τρισκαιδεκάτῳ ἔτει*

1 *lemma: διήγησις τοῦ φιλοσόφου Συντίπα* 7 *μειζότερος Byzantini non raro dixerunt. u.* Reiske *in* Dindorfii Praef. Malal. *p.* VI *sq.* Corais Aelian. *πβ'* 11 *in u. υἱός. καὶ desinit cod.* V *f.* 91; *f.* 92 *incipit a u. ἀκούσας* (14); *media praetermissa sunt* 13 *καὶ ὁ*] *καὶ* A 14 *γένεσιν? cf. l.* 12. 18 *τὴν .. ἀκούσας deest in* M. *ἀκούσας i. e. non per regem sed iam antea de ea re certior factus* 15 *ἐξήτασεν? ἐξήτασεν* M *cf.* 113, 11 16 *ἐλάλησε*] Boissonade *malebat ἐκάλησε (potius ἐκάλεσε). sed iam antecessit προσεκαλέσατο, ut sit ἐλάλησε* adlocutus est eo consilio ut eum percontaretur 16. 17 *καὶ .. παιδός om.* V *ab altero u. παιδός ad alterum transiliens* 20 *τύχην ἔχει*] *πονηρίαν κέκτηται* M. *num τέχνην? sed potest τύχη κακὴ ita intellegi ut non sit* infortunium, calamitas *sed* sors miserabilis, deprecanda

„τῆς ζωῆς αὐτοῦ μέγα κακὸν καὶ κλεψίαν ποιήσει.“ τούτων οὕτως λαληθέντων παρὰ τοῦ ἀστρολόγου, λέγει πρὸς αὐτὸν ὁ πατὴρ τοῦ τεχθέντος παιδός· „νῦν λοιπὸν ὅλα κατὰ ἀλήθειαν ἐφανέρωσας τῷ βα-„σιλεῖ τὰ περὶ τοῦ γεννηθέντος μοι παιδός;“ ὃ δέ „ναί,“ φησίν, „ὦ φιλόσοφε· καὶ γὰρ ἀκριβῶς ἐξέ-„τασα τὰ περὶ τῆς τύχης τοῦ παιδός, καὶ εὗρον ὅτι-„περ ληστὴς γενήσεται καὶ ληστῶν ὁ χαλεπώτατος.“ ἀποκριθεὶς δὲ ὁ φιλόσοφος λέγει ἐκείνῳ τῷ βασιλεῖ· „ἐγὼ λοιπὸν τὸν ἐμὸν παῖδα παιδεύσω οὕτως ἐν τάξει „τοιαύτῃ, τοῦ μὴ ποιῆσαι αὐτὸν τοιαύτην ποτὲ πρᾶ-„ξιν· ἀλλὰ μᾶλλον ποιήσω αὐτὸν φεύγειν ἐκ τῶν „ἀπηγορευμένων [καὶ κακῶν] πράξεων.“ ὁ μὲν οὖν γεννηθεὶς παῖς ὀκτὼ μηνῶν γεγονώς, διέκοψεν αὐτὸν τοῦ βυζάνειν τὸ γάλα τῆς μητρός· ὕστερον δὲ ὁ
p.150 B. πατὴρ αὐτοῦ ἐγκατακλείει αὐτὸν ἐν ὀσπητίῳ τινὶ καὶ τρέφει αὐτὸν μὲ τρυφερὰ καὶ μαλακὰ βρώσιμα καὶ πᾶσαν παίδευσιν αὐτὸν ἐκδιδάσκει καὶ ἐντιμότητα. καὶ οὕτως τὸν υἱὸν μετὰ πάσης ἀκριβείας παιδεύων, οὐκ ἀφῆκεν ὅλως τινά ποτε τοῦ ἐλθεῖν πρὸς αὐτόν, οὐδὲ τὸ παιδίον ἔξω τοῦ ὀσπητίου περιπατεῖν. ἀλλ' οὐδέ τι κακὸν τῶν τοῦ κόσμου ἀφῆκε τὸν παῖδα μαθεῖν ἢ ἀκοῦσαι. καὶ οὕτως ἀνατρεφόμενος ἤρξατο

1 *κλεψίαν i. e. κλοπήν* M 6 *ἐξέτασα cf.* 119, 15. *ἐξετάσασα* V. *ἐξετάσας καὶ συνζητήσας εὗρον* M 8 *ὁ χαλεπώτατος* M *quoque habet* 11 *πρᾶξιν ποτέ* A 13 *καὶ om.* BV. *καὶ κακῶν om.* M: *seclusi. u.* D 14 *ὀκτὼ μηνῶν γεγονώς* (*cl.* 122, 22) *saepe scriptores dixerunt inde a Polybio*: *de quo iniuria dubitauit* Cobet *διέκοψεν* BV (*sc.* pater; MD): *διέκοψαν* A 15 *βυζάνειν*] sugere *cf.* Corais Heliod. *p.* 5 *med.* 16 *ὀσπητίῳ* V 17 *μὲ i. q. διὰ c. gen. coniunctum, Germanorum* mit, *e sermone uolgari Graecorum recentissimorum desumtum.* *μετρυφερὰ* V 20 *τοῦ*] prohibuit ne quis ueniret 21 *ὀσπητίου* V

τὸν πεντεκαιδέκατον χρόνον. καὶ λέγει ὁ πατὴρ πρὸς τὸν παῖδα· „αὔριον, ὦ παῖ, βουλόμενος ἀπελθεῖν „πρὸς τὸν βασιλέα, βούλομαι καί σέ γε λαβεῖν· καὶ „γίνωσκε πῶς μετὰ τὴν συνήθη προσκύνησιν χαιρε„τήσεις τὸν βασιλέα καὶ ὡς πρέπει χαιρετήσεις αὐ„τόν.“ οὕτω μὲν οὖν ὁ φιλόσοφος ἔλεγε τῷ υἱῷ· ὁ δὲ νέος ἀκούσας τὴν πρὸς τὸν βασιλέα παρουσίαν αὐτοῦ, ἠγωνίζετο μᾶλλον ἐπὶ τῷ λόγῳ τοῦ πατρὸς καὶ καθ' ἑαυτὸν ἔλεγεν ὅτι „ἐγὼ οὐδέποτε βασιλέα „τινὰ εἶδον, καὶ ἐπειδὴ ὁ πατήρ μου ἀρτίως λέγει μοι „προςκυνῆσαι τούτῳ, πρέπει με ἀρωματικὰ εἴδη [p.151 B.] „προσαγαγεῖν τῷ βασιλεῖ, ὅπως διὰ τῆς ὀσμῆς του„των καὶ εὐωδίας ἐγκωμιάσαι τὸν βασιλέα. ἀλλὰ „ἐντρέπομαι ζητῆσαι ταῦτα τῷ πατρί μου· ἀλλ' ὅμως „πρέπει ποιῆσαί με τοῦτο.“ ὅτε καὶ τῇ ἐπελθούσῃ νυκτὶ ἐξέρχεται κρυφίως ἀπὸ τοῦ πατρὸς αὐτοῦ καὶ ἀπέρχεται εἰς τὸ παλάτιον καὶ τρυπήσας τὸν τοῖχον τοῦ παλατίου, εἰσῆλθεν ἐντὸς εἰς τὸ βασιλικὸν κραββάτιον. καὶ ὁ βασιλεύς, ἅμα γενόμενος ἔξυπνος, εἶδεν αὐτὸν καὶ ἐταράχθη, καὶ δειλιάσας καὶ πολλὰ φοβηθεὶς ἔλεγε πρὸς ἑαυτὸν ὅτι, „ἐὰν μὴ οὗτος ὁ „κλέπτης εἶχε πολλὴν δύναμιν, οὐκ ἂν οὕτως περὶ

1 χρόνον] *cf.* 91, 15. *de structura non est quod dubites* 2 τὸν *om.* V 3 λαβεῖν] *i. e.* λαβόντα ἀπαγαγεῖν *cf.* 122, 11. *an post* βούλομαι *addendum* μετ' ἐμοῦ? καὶ σὲ μεθ' ἑαυτοῦ ἀπαγαγεῖν πρὸς αὐτὸν βούλομαι M 4. 5 χαιρετήσεις *mira repetitum; u.* χαιρετᾶν *ipsum Graecis hodiernis est in usu* 11 εἴδη] res; *nostrum* Specereien 12 ὅπως *cum infinitiuo Byzantini coniunxerunt. non necessaria igitur quamuis* facili *mutatione* Boissonade *scribebat* ἐγκωμιάσω. ἐγκωμιά A 14 τῷ πατρί *cf.* 93, 11. ἀπὸ τοῦ ἐμοῦ πατρὸς ἐπιζητῆσαι M 17 πέρχεται A 18 κραββάτιον V: κραβάτιον (AB) Boiss. (D). *significatur cubiculum.* ἕως τοῦ κοιτῶνος M 21 ἐὰν] *cf.* 75, 19

„τὸ μέσον τῆς νυκτὸς ἐτόλμησεν εἰσελθεῖν· καὶ ἐὰν „ἀντιπαραστῶ αὐτῷ, ἐπιχειρήσει ἀνελεῖν με.“ ταῦτα καθ' ἑαυτὸν βουλευσάμενος καὶ σιωπήσας, ἀφῆκεν ἄδειαν τῷ κλέπτῃ· τότε ὁ νέος ἀδείας ἐπιλαβόμενος, ἁπλώσας εἰς τὰ ῥοῦχα τοῦ βασιλέως, ἔλαβε μίαν σινδόνα πολλῆς τιμῆς ἀξίαν. ἐκείνην γοῦν μόνην
p.152B. τὴν σινδόνα λαβών, ἐξῆλθε τοῦ παλατίου. καὶ εὐθὺς ταύτην διαπωλήσας, ἀπὸ τῆς τιμῆς τῆς σινδόνος μυρσίνας καὶ ἄλλα μυριστικὰ ἠγόρασε πολλά. ὁ μὲν οὖν βασιλεὺς οὐκ ἐγνώρισε τὸν κλέπτην τῇ νυκτὶ ἐκείνῃ· τῇ δ' ἐπαύριον λαβὼν ὁ πατὴρ τὸν παῖδα πρὸς τὸν βασιλέα ἐπορεύετο. καὶ εἰσελθόντες προσεκύνησαν αὐτὸν μέχρις ἐδάφους· καὶ ὁ παῖς ἅμα τὰ εἴδη ἅπερ ἠγόρασε μυριστικὰ καὶ λίαν εὔμορφα τῷ βασιλεῖ προσήνεγκε, καὶ χωρὶς τῶν μυριστικῶν ἐκείνων ἤρξατο ἐγκωμιάζειν καὶ ἐπαινεῖν τὸν βασιλέα. εἶπε δὲ ὁ φιλόσοφος πρὸς αὐτόν· „ὦ βασιλεῦ, ζῆθι „εἰς τὸν αἰῶνα. ἰδού, καθὼς ὁρᾷς, τῇ βασιλείᾳ σου „προσέφερον τὸν παῖδά μου, ὑπὲρ οὗ ὁ ἀστρολόγος „σου εἶπεν· ‛ἐν τῷ τρισκαιδεκάτῳ ἔτει τῆς ἡλικίας „αὐτοῦ μέλλει ἄρξασθαι τοῦ γενέσθαι λῃστής’· καὶ „νῦν ἰδοὺ πεντεκαίδεκα ἐτῶν γεγονὼς οὐδὲ κἂν

1 *ἐάν τι παραστῶ* V   4 *τῆς ἀδείας?*   5 *ἁπλώσας i. e. ἐκτείνας τὰς χεῖρας* M, *ex usu recentiorum*   6 *μόνην* AM: *om.* BV   7. 8 *uu. τὴν σινδόνα et τῆς σινδόνος libenter careas*   8 *ἀπεμπολήσας* M *rectius: nam stragula uestis una est neque potest diuendi; sed praepositionis uis ita euanuit ut u. διαπωλεῖν nihil differat a simplici uerbo πωλεῖν. cf.* 50, 16   15 *χωρὶς scripsi: χάριν* ABV. *δι' αὐτῶν τῆς προσαγωγῆς* M *omissis uu. καὶ ἐπαινεῖν* (16). *nescio tamen an huius recensionis auctor uocabulo χάριν male interpretatus sit quod in archetypo inuenerat pr. διά*   22 *ἐτῶν cf.* 120, 14   *κἂν explicari quidem potest ut sit* uel (*tantum abest ut latro sit factus, ut ne furtum quidem fecerit*): *sed dubito an praestet, praesertim cum in* M *insit οὐδαμῶς, reponere οὐδὲ μίαν. cf.* D

„κλεψίαν ἐποίησε. καὶ λοιπὸν ὁ ἀστρολόγος σου „ψευδὴς φαίνεται· καὶ ἀπὸ τούτου ὅσα φαίνεται „προλέγων φλυαρίαι ἀπεδείχθησαν νῦν.“ ὁ δὲ βασιλεὺς ἐπὶ τούτοις τοῖς λόγοις ἀκριβῶς καὶ μετὰ p.153 B. περιεργείας ἀτενίσας τῷ προσώπῳ τοῦ παιδὸς καὶ τῷ σχήματι, ἐγνώρισεν ὡς αὐτός ἐστιν ὁ τὸν τοῖχον τρυπήσας καὶ ὡς τολμηρὸς κλέπτης καὶ ἀναίσχυντος τὴν ἐν τῇ στρωμνῇ τοῦ βασιλέως σινδόνα οὗτος ἔκλεψε. καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπε τῷ φιλοσόφῳ· „οὗτός ἐστιν ὁ κατὰ τῆς βασιλείας εἰσελθὼν κλέπτης.“ καὶ ἀπὸ τούτου μᾶλλον ἐπιστεύθη ἡ τοῦ ἀστρολόγου πρόγνωσις ἀληθὴς εἶναι. Ἀπὸ ταύτης οὖν τῆς διηγήσεως λοιπὸν γίνωσκε, ὦ κράτιστε βασιλεῦ, ὅτι ἑκάστου ἀνθρώπου τῇ γεννήσει χωρισμένη τις ἀπὸ θεοῦ κεῖται τελείωσις ἐγνωσμένη, οὐχ ὁρισμένη ἡμῖν, ἢ εὐτυχίας ἢ ἀτυχίας, ἀλλ᾽ οὐδὲ προ-

2 *ψευδὴς* VBM: *ψεύστης* A (D) *φαίνεται*] *non interpreter* uidetur, *etsi per linguae leges uel potius licentiam hoc liceat, sed* sollemniter in publico (tamquam certissima) effatur atque praecinit 5 *περιέργεια ea forma est qua hodierni Graeci utuntur: quare non restitui περιεργίας* 6 *τῷ σχήματι scripsi: τὸ σχῆμα* ABV. *περιέργως τῇ ὄψει τοῦ παιδὸς ἐνατενίσας ἐπεγνώκει αὐτόν* M. *ἀτενίσας cum datiuo in libris potissimum N. T. coniungitur. cf.* 114, 7 *ἰδὼν τοῖς μεγιστᾶσιν* οὗτος M 10 *τῆς βασιλείας μου* M. *u.* D 11 *ἐπιστεύθη*] *quamquam in* M (D) *extat καὶ ἐπιστώθη μᾶλλον ἐπ᾽ αὐτῷ ἡ τοῦ ἀστρολόγου προαγόρευσις, et per se aptior sit hoc loco* confirmandi *quam* credendi *significatio, tamen addita uu. ἀληθὴς εἶναι huius recensionis auctorem scripsisse ἐπιστεύθη, quamquam in archetypo inuenerat ἐπιστώθη, ueri simillimum reddunt.* 14 *et* 124, 1. 5 *γεννήσει*] *cf.* 119, 14 14 *χωρισμένη i. e. ἰδία* M. *de formis χωρισμένη et ὁρισμένη u.* 50, 10 15 *θεοῦ* VMD: *τοῦ θεοῦ* (AB) Boiss. *ἀπὸ scriptori relinquendum. ἀπόκειται παρὰ θεοῦ ἔκβασις εὐτυχίας ceteris uerbis ἐγνωσμένη .. θεοῦ carens* M. *recte ἢ ἀτυχίας in hac rec., ἢ δυστ. in* D *additur, cetera autem non in archetypo inuenta esse arbitror. ἐγνωσμένη est* praedestinata, *ὁρισμένη ἡμῖν* a nobis libero arbitrio electa et constituta; *sed illud προτρεπο-*

τρεπομένη παρὰ θεοῦ· καθὼς καὶ ἐπὶ τῇ γεννή τοῦ σοῦ υἱοῦ γέγονεν, ὅτι οὐκ ἐν ἀρχῇ τῆς ἡλικι παιδίον ὢν ἔμαθεν, ἀλλ' ὕστερον εἰς ἀνδρὸς ἡλικι ἐλθών· συνῆλθον οὖν αὐτῷ τὰ καλὰ καὶ ἐπαινι καὶ εὐτυχίας γέμοντα ἔργα. ἐν δὲ τῇ γεννήσει τ
p.154 B. παιδὸς τοῦ φιλοσόφου ἐκείνου, οὗ εἶχεν ἐκεῖνος βασιλεύς, συνῆλθε τῇ τύχῃ αὐτοῦ τὰ μυσαρὰ ἀτυχίας μεστά."

Ταῦτα τῷ βασιλεῖ Κύρῳ τοῦ Συντίπα διηγησ μένου, φησὶν ὁ βασιλεὺς πρὸς τὸν ἑαυτοῦ παῖδ „εἰπέ μοι, περιπόθητόν μου παιδίον, πῶς ἄρα ποίῳ τρόπῳ ὁ διδάσκαλός σου Συντίπας τὴν τοσα την (σε) φιλοσοφίαν ἐδίδαξεν." ὁ δὲ παῖς τῷ πατ ἀπεκρίνατο· „ἐπειδήπερ νῦν ἀπὸ τὴν ἀρχὴν ζητ μαθεῖν, ὦ βασιλεῦ, γνωρίζω πάλιν τῷ κράτει σ ὡς παραλαβών με ἀπὸ σοῦ ὁ διδάσκαλος καὶ ἀγαγ με εἰς τὴν οἰκίαν αὐτοῦ, εὐθὺς ἔκτισε νέον οἶκ καὶ χρίσας αὐτὸν μετὰ λευκοῦ [ἀσβέστου δηλονό

μένη non expedio scribendumque censeo παρατρεπομένη ἀποτρεπομένη, quae conuertetur, inmutetur. *quo quidem se etsi ipsum uerbum* προτρέπειν *adhibuisse Hippocratem Gale auctor est* (St. Th. 6, 2074 D), *tamen num id iure fecerit modum est dubium. longe minus etiam a lingua, minus a sente commendatur altera de qua quis cogitare possit explicatio ut* π τρεπομένη *sit* εἰς ἣν τις προτρέπεται quo deus leni qu manu ducat 2 τοῦ σοῦ υἱοῦ VM: τοῦ υἱοῦ σου (AB) Boiss. 2 ὅτι .. 4 καλὰ] *horum loco habet* M *tantum* ἐσύστε ἀπέβη αὐτῷ τὰ εὔχρηστα. *pro uu.* ὅτι .. ἔμαθεν Boisson *malebat* ὅ,τι .. ἔπαθεν: *sed cf.* 110, 12 3 παιδίον ὢν *s psi:* παιδὶ ὂν V παιδίον (AB) Boiss. 7 μισαρὰ V 12 σου VD: *om.* (AB) Boissonade. ὁ σὸς μυσταγωγός M σε *adieci, ut est in* MD πατρὶ] παιδὶ V 15 πάλιν αὖθις M. *om.* D 18 κοσμίως περιχρίσας καὶ λευκότητι ταγλαίσας M. *pr.* μετὰ *e consuetudine linguarum recentio explicanda;* 120, 17 ἀσβέστου δηλονότι *seclusi.* ἄσβεστος *nacule dicitur* ungelöschter Kalk

κατελάμπρυνε τοῦτον. εἶτα ὅσα ἔμελλε τοῦ διδάξαι με, ἱστόρησεν αὐτὰ ἐν τοῖς τοίχοις τοῦ οἴκου καὶ πᾶσαν τὴν ἱστορίαν ἐχώρισε διὰ γραμμάτων καὶ μετὰ ἀκριβείας ἅπαντα συνετάξατο καὶ τὸν ἥλιον δὲ καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας ἐκεῖ ἐζωγράφησεν. ἔγραψε δὲ καὶ τὰ δέκα κεφάλαια τῆς σοφίας καὶ τῆς γνώσεως καὶ τῆς διδασκαλίας. ὧν (τὸ) πρῶτον κε- p.155 B. φάλαιον περὶ ἀπαιδεύτου καὶ ὑβριστοῦ ἀνδρός· ὁ γὰρ τοιοῦτος ἄνθρωπος μέσον ἀδελφῶν καὶ φίλων φιλονεικίας καὶ μάχας ἐγείρει. τὸ δεύτερον κεφάλαιον περὶ φιλοσόφου ἐδίδαξεν ἀνδρός· ὁ γὰρ τοιοῦτος ἄνθρωπος μεγάλην ὠφέλειαν ποιεῖ τῷ φίλῳ αὐτοῦ. τὸ τρίτον κεφάλαιον περὶ δολιόφρονος ἀνδρὸς καὶ πονηροῦ, καὶ ὅτι ὁ τοιοῦτος ἄνθρωπος οὐδέποτε ἀγανακτεῖ (εἰ) δόλους κατασκευάζει καὶ κακοῖς κακὰ συρράπτει κατὰ τοῦ πλησίον, ἐκείνου μὴ γινώσκοντος. τὸ τέταρτον κεφάλαιον ἦν περὶ ἀνθρώπου ὀνειδίζοντος ἀπρεπῶς ἑτέρῳ ἀνθρώπῳ πῶς ἢ ἀπὸ ἀρρωστίας ἢ ἀπὸ ἀσθενείας ἐπισυμβάσης λεπρὸς γέγονεν ἢ ἀφ' ἑτέρου συμβάματος ἀνθρωπίνου ἐν τῷ ἰδίῳ σώματι περιφέρει ἀσχημοσύνην. τὸ πέμπτον, ὡς οὐ πρέπει τινὰ κριτὴν ἢ ἄρχοντα ἢ βασιλέα ἀπόφασιν ποιεῖν περὶ παντὸς πράγματος, πρὶν καλῶς ἀκούσῃ καὶ ἐξετάσῃ τὴν τοῦ πράγματος ἀλή-

2 τοῦ *recentiores sic addere solent* 3 ἐχώρισε] διεστίξατο M 4 ἀνετάξατο M 5 ἐζωγράφησε ABV 6 δέκα] ιβ' B 6. 7 τῆς *ter om.* A, 7 τῆς *ante* διδασκαλίας *habent* BMD: *om.* AV τὸ *adieci, ut est in* MD. *fortasse* ὧν ἦν τὸ. παρεισάγει M 12 ἐμποιεῖ M 15 *aut* εἰ *adiciendum erat, quod feci, aut participia* κατασκευάζων *et* συρράπτων *restituenda* 18 πῶς ABVD: *noli emendare* ὅς: *a Graeculis pro u.* ὡς *ea sententia usurpatur qua boni scriptores* ὅτι *adhibent;* 14, 23 20 συμβάντος V 21 [τ]ὸε ὡς V τὸ ‾εον‾ ἕως A 24 ἀκούσῃ καὶ ἐξετάσῃ *scripsi:* ἀκούσει καὶ ἐξετάσει

θειαν. τὸ ἕκτον κεφάλαιον, ὅτι οὐ πρέπει τινὰ ἐλπίζειν εἰς ἄνθρωπον ἄφρονα καὶ παντελῶς ἰδιώτην. p. 156 B. τὸ ἕβδομον ἑρμήνευε περὶ ἀνδρὸς φθονεροῦ, ζηλοτυποῦντος ἄλλους ἀνθρώπους καλῶς πράττοντας καὶ εὐτυχοῦντας, ἢ διότι ἔχουσι προτέρημα ἀξιέπαινον καὶ διὰ τοῦτο πλουτοῦσιν ἢ διότι ἀγωνίζονται περιττὸν βίον ἢ διότι ἀπὸ πατέρων ἐκληρονόμησαν· καὶ ὁ ἄνθρωπος ὁρῶν αὐτοὺς φθονεῖ καὶ λυπεῖται καὶ μαραίνεται, διότι μᾶλλον οὐ δύναται βλάψαι αὐτούς. τὸ ὄγδοον κεφάλαιον διδάσκον ἔλεγε· „δίκαιόν ἐστι „καὶ πρέπον πάντας ἀνθρώπους ἀγαπᾶν, καὶ μὴ τῷ „κακῶς ποιήσαντι ἀνταποδοῦναι κακόν.“ τὸ ἔννατον, ὅτι πρέπει ὡς θέλει τις ἵνα ποιῇ ἄνθρωπος εἰς αὐτόν, (ἵνα) καὶ αὐτὸς ποιῇ ἄλλους ὁμοίως. τὸ δέκατον κεφάλαιον συνεβούλευε καὶ μετὰ τῶν ἐργαζομένων τὰ ἀσεβῆ ἔργα καὶ πράξεις κακάς, καὶ δυναστευόντων τοὺς πτωχοὺς μὴ φιλίαν ὅλως ποιεῖν, μηδὲ

ABV. *eo minus autem* ἂν *est addendum quia scriptoris menti illud* μηδὲ δίκην δικάσῃς, πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς (*Bergki Poët. Lyr. p.* 464) *obuersabatur*: *qui uersus etiam Symeoni Sethi notus erat* 3 ἑρμήνευε] *cf.* 4, 18 6 καὶ .. 7 ἐκληρονόμησαν *non sunt in* M 6 ἀγωνίζονται *puto esse* intento labore sibi parant; adquirendi *enim non solum* laborandi *significatio hoc loco apta est*: *quare* περιττὸν *scripsi*: περὶ τὸν ABVD 8 ὁ] *noli addere* ὅδε *cf.* 79, 6. 127, 6. 9 βλαίψαι *suprascripto* βλέψαι A 11 I Thess. 5, 15. Rom. 12, 17. I Petr. 3, 9 *secundum* Prou. 20, 22 13 Eu. Matth. 7, 12. Luc. 6, 31. Tob. 4, 15 *cl.* Prou. 24, 29. *in margine* ABV: τοῦτο ἔοικε τῷ εὐαγγελικῷ ῥητῷ 14 ἵνα *adieci;* ἵνα ποιῇ *i. e.* ὅτι ποιεῖ. *cf.* D. *in* M *est infinitiuus* ἄλλους] *datiuo* M *et Euangelistae usi sunt rectius* 16 δυναστευόντων *scripsi*: δυναστεύοντας ABV. *quod non ideo mutaui quod putauerim hunc scriptcrem praep.* μετά *cum accusatiuo non coniunxisse* (120, 17) *aut structuram non ita inmutare potuisse ut a genetiuo ad accusatiuum transiret* (7, 17), *sed quia* δυναστεύοντας *ex accusatiuo adposito* τοὺς πτωχοὺς *errore librarii natum uidebatur* 17 φιλίαν] λίαν V

τὰ ἴσα πράττειν τοῖς ἀδίκοις καὶ πλεονεξίαις καὶ ἁρπαγαῖς χρωμένοις καὶ χαίρουσι.“

Ταῦτα ὁ βασιλεὺς ἀκούσας παρὰ τοῦ υἱοῦ εὐχαριστηρίους λόγους ἀνέπεμπε τῷ θεῷ καὶ τὸν αὐτοῦ διδάσκαλον ἐκάθητο ἐγκωμιάζων καὶ δώροις πολυτελέσι καὶ φιλοτίμοις ἐδεξιοῦτο τὸν ἄνδρα. εἶτα p.157B. λέγει ὁ βασιλεὺς τῷ παιδὶ οὑτωσί· „γνώρισόν μοι, ἐρασμιώτατόν μου παιδίον· ἆρά γε τὰ συμβαίνοντά τινι ἐξ εἱμαρμένης καὶ τύχης τινὸς συμβαίνειν εἴωθεν;“ ὁ δὲ παῖς ἔφη τῷ βασιλεῖ· „πολλοὶ τῶν ἀνθρώπων, ὦ δέσποτα, ὑπολαμβάνουσιν οὕτως ἔχειν· πλὴν πλανώμενοί εἰσιν οἱ οὕτω δοξάζοντες. ἀλλ' ἐμοί γε δοκεῖ ὡς ἡ ἀφορμὴ τῶν λυπηρῶν τῶν ἐπερχομένων τοῖς ἀνθρώποις γίνεται ἐκ τῆς τῶν ἀνθρώπων πλεονεξίας· οὐδὲ γὰρ δικαίως ποιοῦσι τὰς πράξεις αὐτῶν οἱ ἄνθρωποι ἀλλ' ἀδίκως καὶ πονηρῶς. συνήθεια γάρ ἐστι τοῖς ἀνθρώποις, ὅταν τινὰ τῶν φιλοσόφων καὶ δικαίων ἀνδρῶν εὕρωσι, κἂν τὰ χρηστὰ καὶ ὠφέλιμα συμβουλεύῃ αὐτοῖς, ἔστι δὲ πτωχὸς καὶ (οὐ τιμαῖς διαπρέπων,) οὐ τιμῶσιν αὐτὸν οἱ πλούσιοι, οὐδὲ ὁ κοινὸς λαὸς δοξάζει ἢ ἀκούει ἢ

2 χαίρουσι] *hic desinit* Ven. 5 ἐκάθητο *i. e.* διετέλει M 10 *in margine* ABV εὖγε ὦ παῖ βασιλέως 13 ἐμοίγε V 17 *in margine* πάθος ἀναμφίβολον (ἀναφίβ. V) τοῦ Καφᾶ, ἤτοι τῶν ἐγχωρίων AV. *itaque de patria non eius qui cod.* A *scripsit*, *quod putabat* Boissonade, *sed eius qui horum librum archetypum exarauit*, *edocemur. cf.* Du Cange *ad Niceph. Greg. hist.* 13, 12 *p.* 683, 17 *et* Pontan. *ad Cantacuz. hist.* IV 26 *p.* 192, 6 *ed. Bonn. p.* 560. *in* B *nihil est nisi* σημείωσαι 18 κἂν τὰ χρηστὰ καὶ ὠφέλιμα *om.* VBD 19 συμβουλεύει A συμβουλεύῃ B *e corr.*, *inde a u.* ἔστι δὲ *structura incepta interrumpitur* 20 οὐ τιμαῖς διαπρέπων *propter u.* καὶ *adieci: nam in* M *leguntur haec* εἰ μὴ καὶ πλουτοκομῶν καὶ τιμῆς διαπρέπων ὁ τοιοῦτος ὑπάρχει. οὐ *de consilio scripsi quia uerba illa propter simile initium uidentur praetermissa esse* 21 ἀκούει *incommode inter* δοξάζει *et* τιμᾷ *interiectum.*

τιμᾷ αὐτόν, οὐδὲ ὡς φιλόσοφον λέγουσι καὶ τιμῶσιν, ἀλλ' ὡς ἰδιώτην παραβλέπουσιν [ὡς πτωχόν]
p.158 B. *ἐὰν δέ τις ἄνθρωπος εἰς τὴν ζωὴν αὐτοῦ εὐτυχὴς ᾖ [τιμῶσιν αὐτὸν πάντες πλούσιοι καὶ μέσοι,] ἔνι δ' ἐστερημένος πάσης σοφίας καὶ γνώσεως καὶ παιδεύσεως παντελῶς, ἐκείνῳ μάλιστα οἱ ἄνθρωποι προσέρχονται καὶ θαρροῦσι, καὶ ἀκούουσι καὶ τιμῶσι καὶ μέγαν ἄνθρωπον καλοῦσι καὶ σοφὸν διὰ τὸν πλοῦτον· πλανώμενοι γοῦν ὄντες καὶ ἀπαίδευτοι καὶ μωροί, οὐ ποιοῦσι τοῦτο καλῶς, ἀλλὰ κακοτρόπως καὶ ἀπατηλῶς, καὶ μετὰ φενακισμοῦ καὶ ἀναισθησίας. ἀφ' οὗ συμβαίνει τὰς πολλὰς πόλεις ἀσθενεῖν καὶ κινδυνεύειν· οὐδὲ γὰρ συνιστῶσιν οἱ πλούσιοι ἀπαίδευτοι καὶ ἄλογοι καὶ μωροὶ διὰ τοῦ πλούτου, ἀλλ' οἱ σοφοὶ καὶ φρόνιμοι ἀπὸ τῆς διαταγῆς αὐτῶν."*

Ὁ οὖν βασιλεὺς ἐπηρώτα τῷ υἱῷ· „ποῖα ἄρα τὸν βασιλέα προσήκει ποιεῖν;" ὁ δὲ υἱὸς λέγει· „τὸ εἶναι συνετὸν καὶ φρόνιμον, καὶ ἐμπειρίαν ἐν τοῖς

melior autem ordo est 7. *itaque ἢ τιμᾷ, nimia repetitione insuper molestum, deleuerim* 1 *ante λέγουσι codicis* V *librarius scripturus erat αὐτόν, sed deleuit ipse inceptum αὐ* 2 *ὡς πτωχὸν seclusi* 3 *ᾖ scripsi: ἦν* VB *καὶ* A 4 *τιμῶσιν .. μέσοι seclusi similemque structuram effeci ei quae antecessit et quae est in* M; *si uerba deleta genuina essent, praeterea ἔνι in κἂν ᾖ mutandum fuisset. adieci autem* (*cl.* 127, 19) *l.* 4 *δ'*: *ἐνι .. στερημένος duarum litterarum spatio relicto* V, *ἔνι ἐστερημένος cum lacunula* B, *ἐνιστερημένος* A. *de u. ἔνι uide* 113, 14 6 *παντελῶν* V *ἐκείνων* V *μᾶλλον* M *προσανέχουσι* M 8 *καὶ ante σοφὸν adiciunt* Boissonade, D 9 *in margine τοῦτο ὅλως* (*ὅλον* A) *ἁρμόδιον τοῖς ἐγχωρίοις καφᾶ* AV *γοῦν ὄντες*] *γοῦντες* A 7—10 *μ.*, 11—15 *non habet* M 13 *συνιστῶσιν αὐτάς? u.* D 15 *ἀπὸ i. e. διὰ* *ἀπὸ τῆς*] *ἀπό τε* BV, *με τὴν* D 16 „*hic et in sequentibus sunt in* A *lemmata ἐρώτησις, ἀπόκρισις*" Boiss. *τῷ υἱῷ*] *τὸν υἱὸν* MD *recte: quamquam de altera structura in hoc scriptore non est dubitandum* *τίνι ἄρα τὸ βασιλεύειν προσήκει* M 17 *εἶναι non bene concinit cum u. ποιεῖν* (17)

πράγμασιν ἔχοντα καὶ ἐλεημοσύνην, πρὸς τῷ καὶ δίκαιος εἶναι· ἀφ' ὧν καὶ ὁ λαὸς ὁ ὑπ' αὐτὸν κυβερνώμενος ἐλεεῖται καὶ οὐκ ἀδικεῖται, οὐχ ὡς ἄρχοντα ἔχων τὸν βασιλέα, ἀλλ' ἐν τάξει πατρός, ὃς p.159 B. καὶ οὐ προσάξει ἀδίκως καὶ ἀνεξετάστως τινὶ τιμωρίαν, ἀλλὰ τοῖς ἀγαθοῖς ἀγαθὰ δώσει, τοῖς δὲ κακοῖς μετ' ἐξετάσεως κακά, καὶ πρὸ πάντων τὸν τοῦ θεοῦ φόβον ἔχει διὰ παντὸς πρὸ ὀφθαλμῶν καὶ μηδὲν ἄλλο τι τούτου τιμιώτερον ἡγεῖται.“ Εἶπε δὲ αὐτῷ πάλιν ὁ βασιλεύς· „ποία βασιλεία ἀσφαλεστέρα ἐγένετο;“ ὁ παῖς εἶπεν· „ἡ τὸ δίκαιον καὶ φιλάνθρωπον ζητοῦσα. καὶ τοὺς πένητας ἐλεεῖ καὶ τοὺς δουλεύοντας καὶ ὑποτασσομένους αὐτῷ· καὶ ὑπὸ πειρασμῶν τοῦ κόσμου στενοχωρούμενοι εὑρίσκουσι βοήθειαν καὶ κουφισμὸν δι' εὐεργεσιῶν αὐτοῦ. οὐδὲ γὰρ κατά τι ἄλλο διαφέρει παντὸς ἀνθρώπου ἢ μόνον διὰ τὸ ἐλεεῖν τοὺς δεομένους.“ Ὁ βασιλεύς· „ἐν ποίᾳ βασιλείᾳ οἱ ἄνθρωποι χαίρουσι;“ καὶ ὁ

1 *participium saepe cum* εἶναι *coniungitur, ut non sit necessarium scribere* ἔχειν τε, *de quo aliquando cogitaueram* τῷ Boissonade: τὸ ABV (D) 2 *potius* δίκαιον *neque* αὐτὸν *est mutandum neque* κυβερνώμενος (κυβερνόμενος V) *delendum* 3 ἄρχο[τ]ν ἔχο[τ]ν BV 5 προσέξει BV. *u.* D 7 μετ' ἐξέτασιν? *sed fortasse scriptor* μετ' ἐξετάσεως *oppositum esse uoluit illi* ἀνεξετάστως 8 ἔχει *praesens ut* ἡγεῖται (9) διαπαντὸς V *ut saepe* 9 ἄλλοτι V 10 ἀσφαλεστέρα *sc.* τῶν ἄλλων, *i. e.* ἀσφαλεστάτη: *qui usus est scriptorum recentiorum similis Francogallorum et Italorum consuetudini cf.* 161 B τὴν καλλιωτέραν, 162 B πλέον; 165 B βαρυτέρων 11 ἡ V: ἢ (AB) Boiss. *sed ut alia praetermittam* τὸ δ. κ. φ. ζ. *subiungi uu.* τ. π. ἐλεεῖ *non potuit. quare post* ζητοῦσα *nouum incepi enuntiatum structura interrupta ut est p.* 162, 1. 2 B. *malim quidem* ἥτις καὶ .. ἐλεεῖ. *uide* MD 16 μόνον Boissonade: μόνον ABV 17 ὁ *non addita coniunctione* καί *uel* δέ *etiam* MD 18 ἐν *i. e.* ἐπί: *quare pergitur u.* τῇ, *non* ἐν τῇ

παῖς· „τῇ ἐκ θείας προνοίας πρῶτον γενομένῃ καὶ τῇ δικαίως πολιτευομένῃ καὶ τοὺς ἐχθρούς, ὅση δύναμις, ἀμυνομένῃ καὶ τοὺς ἀγαθοὺς προνοουμένῃ.“

p.160 B. Αὖθις ὁ βασιλεὺς ἠρώτησε τὸν υἱόν· „ἆρα, ὦ παῖ, ἡ σοφία τῶν φιλοσόφων καὶ ἡ γνῶσις σφόδρα τῆς πανουργίας νικᾷ;“ ὁ υἱὸς ἔφη· „καὶ εἰς ὅλα αὕτη ἡ σοφία τὸ νῖκος ἔχει, διότι γινώσκει καλῶς τὰς τῶν πράξεων διαφορὰς καὶ χωρίζει τὰ φύσει καλὰ ἀπὸ τῶν ἐναντίων. ἡ δὲ πανουργία καὶ πονηρία, ἣν ἔχουσιν οἱ ἄνθρωποι, οὐ φρονήσεως καὶ σοφίας ἐστίν, ἀλλὰ ψιλῆς διανοίας καὶ λογισμοῦ κακοῦ καὶ κακῆς προαιρέσεως, ἀπὸ τοῦ διαβόλου ἐρχομένη.“ Καὶ ὁ βασιλεὺς ἔφη· „τίνος ἕνεκεν οἱ γραμματικοὶ οὐκ ἐντρέπονταί τινα, ἀλλὰ μέσον πάντων ἁπλώνουσι τὴν διδασκαλίαν αὐτῶν καὶ ἀφόβως παρρησιάζονται;“ καὶ ὁ παῖς· „τούτου ἕνεκα, ὦ βασιλεῦ, τὸ πεπαρρησιασμένον ἔχουσιν, ὅπερ τινὲς ἰδιῶται ἀναίσχυντον εἰώθασι καλεῖν, διότι ἀγαποῦσι διδάσκειν πάντας, καὶ μάλιστα τοὺς φρονιμωτέρους καὶ τοὺς τὴν σοφίαν ἀγαπῶντας· εἰ γὰρ ἐφθονοῦ-
p.161 B. σαν, οὐκ ἂν ἐδίδασκόν τινι·“ Καὶ ὁ βασιλεύς· „τί-

1 καὶ τῇ M *quoque.* τῇ *melius abesset* 3 τοὺς ἀγαθούς] *u.* 39, 19. 116, 3. ὀρέγεται *p.* 24, 16. 92, 21. 134, 11 (θεὸν ἐνθυμεῖται 134, 11) 4 ἠρώτισε V 5 ἡ γνῶσις σ. τ. π. ν. *uersus politicus. genetiuum subiunxit scriptor uerbo* νικᾶν *actiuo qui apud antiquos aptus est a passiuo. prorsus diuersi generis sunt de quibus agit* Dorv. Charit. *p.* 345 *extr.* 7 αὐτὴ B αὐτῇ V, *accentu acuto mutato in grauem; om.* D 10 οἱ] οἱ πολλοί? 12 ἀπὸ *coniecit* Boissonade: ὑπὸ ABVD 15 ἁπλώνειν *recentiores Graeci dicunt pro uetere* ἁπλοῦν 16 παρρησιάζεται A 17 τό, τε παῤῥησιασμένον V 18 ἰώθασι V ἀγαποῦσι] *uerba in* αω *a recentioribus saepe ad similitudinem uerborum in* εω *flectuntur* 19 φρονιμοτέρους V 20 ἀγαπῶντας *in* A *correctum ex* ἀγαποῦντας ἐφθονοῦσαν *tempus imperfectum est* 21 ἐδίδασκόν] *cf.* 88, 17. 5, 7. 128, 16; *acc.* D

νες εἰσὶν οἱ παρὰ τῶν φιλοσόφων μισούμενοι;“ καὶ ὁ υἱὸς ἀπεκρίνατο· „ὅσους ὁρῶσι μὴ μετὰ ἀγαθῆς καὶ καθαρᾶς γνώμης προσερχομένους τῇ διδασκαλίᾳ αὐτῶν, ἐπιθυμητῇ οὔσῃ τοῖς νοῦν ἔχουσιν· ἀλλὰ τοὺς τῶν γραμματικῶν ἐλέγχους βαρέως ὑπομένουσι, καὶ ὡς τῇ ἀληθείᾳ ἐναντιούμενοι δικαίως μισοῦνται παρὰ τῶν σοφῶν.“ Καὶ ὁ βασιλεὺς πάλιν ἔφη· „ποῖος θησαυρὸς τῶν ἄλλων ἐστὶ μεγαλώτερος;“ ὁ υἱὸς ἀπεκρίνατο· „ὁ τῶν ἀγαθῶν ἔργων καὶ πράξεων.“ Ὁ βασιλεὺς ἔφη· „τίνος χρείαν ἔχει τις κατὰ τῶν ἐχθρῶν αὐτοῦ;“ καὶ ὁ παῖς εἶπε· „τοῦ θαρρεῖν ἐπὶ τὸν θεόν.“ Ὁ βασιλεὺς ἔφη· „τίς κατὰ ἀλήθειαν ἐγένετο πλούσιος;“ ὁ υἱὸς ἔφη· „ὁ τῶν καλῶν ἔργων ἐπιμελούμενος καὶ ἐπὶ τὸν θεὸν ἠλπικώς.“ Ὁ βασιλεὺς ἔφη· „τίς ἐστιν ὁ τὴν καλλιωτέραν ἔχων ἀνάπαυσιν;“ ὁ παῖς εἶπεν· „ὁ μὴ φθονῶν τινα, καὶ p.162B. ἑαυτὸν μὲν κατακρίνων, ἕτερον δὲ μήτε μέμφεται, μηδὲ κρίνει τί πράττει.“ Ὁ βασιλεὺς εἶπε· „τίς κατὰ ἀλήθειαν μωρὸς καὶ ἄφρων ὑπάρχει;“ ὁ παῖς ἔφη·

4 ἔχουσιν *in* V *correctum ex* ἔχεσσιν: *uolebat librarius nimirum* νουνεχέσιν 5 ὑπομένουσι] *a structura incepta* ὅσους ὁρῶσι .. προσερχομένους *deflexit oratio, pro accusatiuo participii et uerbo actiuo* ὑπομένοντας καὶ .. ἐναντιουμένους δικαίως μισοῦσι *inferens uerbum finitum* ὑπομένουσι *et uerbum passiuum. in archetypo autem ab initio eam orationis formam infuisse quae interrogationi simul adcurate respondet docet* M: ὅσοι μὴ .. προσίενται, ἀλλὰ τοὺς .. ἐλέγχους πικρῶς ὑποφέρουσιν ὡς τῇ ἀληθείᾳ προσκρούοντες (cod. προσκρούονται) 8 μεγαλώτερος] *p.* 133, 1 *cf.* Corais στοχ. αὐτ. *ante* Aelian. πβ'. *hodiernis enim Graecis adiectiuum est* μεγάλος 10 τίνος *scripsi*: τίνα ABV, ποῖαν D. τίνος χρήζει M 15 καλλιωτέραν *ab adiectiuo* κάλλιος *deriuatus quod rursus ex comp.* καλλίων *originem duxit; hodierni Graeci dicunt* καλλήτερος 16 φθονῶν τινα *cf.* 3, 11 17 *debebat pergere* μεμφόμενος .. κρίνων *cf.* 129, 11. καὶ ἑαυτὸν μὲν ἐπιμεμφόμενος, ἕτερον δὲ μὴ κατακρίνων M 18 *et* 132, 5 μὴδὲ V κρίνῃ V

„ὁ μὴ γινώσκων τὸ ἑαυτοῦ πταῖσμα, καὶ μὴ ἀκούων τοῦ συμβουλεύοντος αὐτῷ ἀγαθά.“ Ὁ βασιλεὺς ἠρώτησε· „τίς τῶν ἀνθρώπων ἔχει καλὴν καὶ φιλικὴν τὴν διάθεσιν τῆς ἀγάπης;“ ὁ παῖς ἀπεκρίνατο· „ὁ μή τινα ποσῶς λυπήσας, μηδὲ εἴς τινα ἔχων ζηλοτυπίαν.“ Ὁ βασιλεὺς ἔφη· „ποῖος λογισμὸς ὑπάρχει τῷ θεῷ μεμιασμένος;“ ὁ υἱὸς ἔφη· „ὅστις ἔχει ἔργα μυσαρὰ καὶ πράξεις, πρὸς τούτοις δὲ ὡς μέγα τι δεινὸν ἔχει καὶ τὴν ὑπερηφανίαν καὶ ἀλαζονείαν.“

Ὁ βασιλεὺς ἔφη· „ποία τῶν αἰσχρῶν πράξεων πλέον εἰς ἁμαρτίαν βάλλει τὸν πράττοντα;“ ὁ δὲ υἱὸς ἔφη· „ὁ φθόνος καὶ ἡ ψευδομαρτυρία, ἡ πλεο-
p.163B. νεξία καὶ τὸ πορεύεσθαι εἰς τὸ ἴδιον θέλημα, διὰ τὸ μὴ φοβεῖσθαι θεόν, εἰς ὅσα παραλόγως ὡς ἄλογον ζῶον ἁμαρτάνει καὶ οὐκ ἐντρέπεται. αὗται οὖν αἱ πράξεις τοῦ τάλανος ἀνθρώπου τοῦ ζῶντος ἐν ἁμαρτίαις.“ Ὁ βασιλεὺς ἔφη· „καὶ τίς ἐστιν ὁ μὴ γινώσκων ταῦτα [καὶ φοβούμενος τὸν θεόν];“ ὁ υἱός· „ὅστις ἐστὶν ἀχόρταστος ἐν πᾶσι πράγμασιν, εἴτε τροφαῖς εἴτε ἱματίοις εἴτε χρήμασιν εἴτε δόξῃ εἴτε κτήμασιν εἴτε θεραπείᾳ δούλων.“ Ὁ βασιλεὺς εἶπε· „τίνα πρέπει φοβεῖσθαι καὶ τρέμειν;“ ὁ νέος εἶπε·

1 πειθόμενος τῷ .. συμβουλεύοντι M 3 ἠρώτισε V 4 τῆς ἀγάπης ABVD: *non habet* M *rectius* ἀπεκρίθη V 5 ποσῶς] τὸ παράπαν M 7 μεμιασμένος] βδελυκτός M. μεμισημένος? ἔχει] confecit et nunc quasi possidet (hat an sich)? ἔχει εἰργασμένα? 8 μισαρά ABVD: *correxit* Boissonade ὡς *praedicatum indicat;* ἔχει ὡς *i. e.* habet pro. *p.* 101, 12. Corais Isocr. *p.* 181. *in u.* μέγα τι *desinit* V (*fol.* 99) 9 ἀλαζονίαν *libri* 11 πλέον *cf.* 129, 10. πλέα τῇ ἁμαρτία περιβάλλει M ὁ δὲ υ. ἔ. ὁ *om.* A 14 *uberius* M εἰς ὅσα *i. e.* ἐν οἷς, ἐφ' οἷς M ἄλλοσον A 15 καί] κἂν A 18 καὶ φ. τ. θ., *quae uerba in* M *non extant*, *seclusi quippe quae tamquam responsum margine adscripta fuisse putem* ὁ μὴ φοβούμενος τὸν θεόν 22 πρέπει] *i. e.* ὀφείλει τις M

„τὸν μὴ φοβούμενον τὸν θεὸν μηδὲ τὴν μεγαλωτέραν ἀρχήν, μηδὲ χωρίζοντα τὸ δίκαιον ἀπὸ τοῦ ἀδίκου. ἀλλὰ λέγω σοι, βασιλεῦ, οὐ πρέπει ποιεῖν φίλον ἄνθρωπον δολιόφρονα, πονηρὸν καὶ ὑποκριτήν, ὅστις ἄλλα μὲν τῷ στόματι λέγει, ἄλλα δὲ τῇ καρδίᾳ πονηρῶς συλλογίζεται.“ Ὁ βασιλεὺς ἔφη· „πῶς ἄρα οἱ ἄνθρωποι τὴν φιλίαν ἀγαπῶντες, ἐν καιρῷ πολὺ ἐπὶ πλέον τὴν ἔχθραν ποιοῦσιν;“ ὁ νέος εἶπε· „διὰ p.164 B. τοῦτο· τὸ ζημιῶσαί τινα εὔκολόν ἐστι, τὸ δὲ ποιῆσαί τινα καλῶς, δύσκολον.“ Καὶ πάλιν ὁ βασιλεύς· „πῶς οἱ ἄρρωστοι τοὺς λόγους τῶν ἰατρῶν δέχονται καὶ ὑπομένουσι, κἂν βαρέοι εἰσίν, οἱ δὲ ἄνθρωποι, ὅταν ἀκούωσι τὴν ἀλήθειαν, βαροῦνται ἐπ' αὐτῇ καὶ δυσχεραίνουσιν;“ ὁ δὲ υἱὸς ἔφη· „ὅτι ὁ ἄρρωστος τὰ βότανα καὶ τὰ ζουλάπια τὰ φερόμενα πρὸς αὐτὸν ὑπομένει καὶ δέχεται, κἂν δριμέα κἂν πικρὰ ὑπάρχωσι, διὰ τὴν ἀνάγκην τοῦ σώματος αὐτοῦ καὶ ὅτι ἐλπίζει διὰ τῶν βοτανῶν ὑγείαν, καὶ τὰς φωνὰς τῶν ἰατρῶν ὑπομένει νομίζων ὅτι δι' ὑγείαν φασὶ ταῦτα πρὸς αὐτόν· ὁ δὲ ἄφρων ἀνὴρ καὶ ἀσύνετος, ὅταν ἀκούῃ τἀληθῆ καὶ τὰ πρέποντα, βαρεῖται καὶ δυσχεραίνει πρὸς τὰ λόγια, ὅτι οὐκ ἀναγκάζεται ὑπό τινος, ὡς ὁ ἄρρωστος ὑπὸ τῆς νόσου. διὰ τοῦτο καὶ γέγρα-

1 μεγαλωτέραν *cf.* 131, 8   2 *agnoscis sermonem Noui Foederis*   3 ἀλλὰ μὴν πτοεῖσθαι δεῖ καὶ φίλον δολιόφρονα M *scitius*   5 *sententia inde ab Homero uolgata*   5 ἐν τῇ?   10 καλῶς *scripsi:* καλὸν AB. καλὸν ποιεῖν *absolute ut aiunt positum adhibuit qui Iesaiam uertit* 1, 17; καλοποιεῖν *hodierni Graeci dicunt eadem sententia qua* εὐεργετεῖν. *quamquam igitur scribere poteram* καλόν τι, *malui* καλῶς. *uide Eu. Luc.* 6, 26. 27   12 κἂν .. εἰσὶν] κἂν .. δοκοῦσιν M   βαρέοι] *hodierni Graeci* βαρειοί *dicere solent*   δὲ *om.* B   14 ὅτι ὁ BD: ὅστις A Boiss. ὅτιπερ ὁ νοσῶν M   16 δριμέα Boissonade: δριμαῖα AB   22 ὑπό τινος βίας εἴτε ὀδύνης M   23 γέγραπται] Prouerb. Sal. 9, 8 *cl.* 15, 5. 12. 10, 23. 12, 1. 13, 1 *etc.* *sententia etiam a Symeone Sethi adhibetur*

πται· „ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε, καὶ μὴ ἔλεγχε p.165 B. „ἄφρονας [ἤτοι κακοὺς] ἵνα μὴ μισήσωσί σε.“ Πάλιν ὁ βασιλεὺς ἔφη τῷ υἱῷ· „πῶς ἄρα ὁ μὲν πλούσιος ἐν τροφαῖς εὐθὺς τρώγων εὐκόλως χορταίνει, ὁ δὲ ἀχόρταστος τῶν χρημάτων καὶ ἀγαπῶν αὐτὰ ἀχόρταστον ἔχει τὴν ὄρεξιν αὐτῶν;“ ὁ νέος εἶπεν· „ἡ μὲν τῶν πλουσίων γαστήρ, ἡ δεχομένη τὰς τροφάς, μετὰ τὸ λαβεῖν τὰς πολλὰς ἐκείνας τροφὰς χορταίνει, κἂν οὐ θέλει· ὁ δὲ ὀφθαλμός, λαίμαργος ὑπάρχων καὶ ἀχόρταστος, καθ' ὅσον ὁρᾷ τὰ χρήματα, ἐπὶ τοσοῦτον ὀρέγεται αὐτά, καὶ θεὸν οὐκ ἐνθυμεῖται, ἕως ὅτου διὰ θανάτου καλύψει ἡ γῆ τοὺς ὀφθαλμοὺς αὐτοῦ.“ Πάλιν ἐρωτᾷ ὁ βασιλεύς· „ποῖος ἄρα γίνεται ὁ θάνατος τοῦ βασκάνου ἀνδρός;“ ὁ υἱὸς ἀπεκρίνατο· „ὁ θάνατος τοῦ τοιούτου ἀνθρώπου χαρὰ τοῖς ἄλλοις ἀνθρώποις γίνεται· οὐδὲ γὰρ ἔνι ἄλλο χεῖρον τῶν βαρυτέρων ἁμαρτιῶν, ὡς ἡ τῆς βασκανίας καὶ τοῦ φθόνου ἁμαρτία. καὶ πρέπει πάντα ἄνθρωπον θερμῶς παρακαλεῖν τὸν θεόν,

2 ἤτοι κακούς *deleui utpote ex Prouerbiorum loco, ubi* μὴ ἔλεγχε κακούς *legitur, adscriptum* 3 πλούσιος ἐν τροφαῖς (τρυφαῖς B *cl.* D): *aptius* M ὁ μὲν δαψιλῶς ἐσθίων 4. 9 χορταίνει *intransitiue ut aiunt dictum i. e.* κορέννυται M 5 χρημάτων *scripsi*: βρωμάτων AB, φαγίων D. *cf.* 10 *et* M 6 ἀκόρεστον *ut est in* M? 7 ἡ μὲν] ἡμῶν B ἡ *noli delere; cf.* M 9 θέλει BD: θέλῃ A. *illud propter u.* οὐ *praetuli.* κἂν μὴ βούληται M 11 ἐπὶ τοσοῦτον] „*in his uocibus desinit A, cuius scilicet folium ultimum fuit auolsum*“. Boissonade αὐτὰ] *cf.* 130, 3 θεὸν .. ἐνθυμεῖται] „ἡ παρ' ἡμῖν συνήθεια ἐπὶ μὲν πράγματος πρὸς αἰτιατικὴν (συνάπτει) ..., ἐπὶ δὲ προσώπου, τὸ συναμφότερον, οἷον Σὲ ἐνθυμοῦμαι καὶ Σοῦ ἐνθυμοῦμαι.“ Coraës *ad Isocr. p.* 15 (19) *et* 73 (23) *cl.* 13 (9) 12 καλύψει] *scripsitne more suo* καλύψῃ? μέχρις ἂν .. καλυφθήει cod. M 16 Ies. Sirac. 5, 17 17 ἔνι] *cf.* 113, 14. 51, 26 βαρυτέρων BD: βαρυτάτων Boissonade; *cf.* 129, 10 ὡς *de consuetudine recentiorum*

ὅπως ἐκ τῶν τοιούτων τελείως ἐξέλθῃ ὁ φθόνος ἐκ
τῆς καρδίας αὐτοῦ. γίνωσκε οὖν, ὦ πάτερ καὶ βα-
σιλεῦ, ὅτι πᾶς ἄνθρωπος ὁ μὴ βασκαίνων καὶ φθο- p.166 B.
νῶν γλυκέως ἐσθίει, γλυκέως πίνει, ἡδέως κοιμᾶ-
ται· αἱ πράξεις αὐτοῦ φροντίδα οὐκ ἔχουσιν· εὐκό-
λως γὰρ ὃ βούλεται πράττει, καὶ ἡ ζωὴ αὐτοῦ χωρὶς
ἀνάγκης γίνεται· καθήμενός ἐστιν ἀμέριμνος, ἱστά-
μενος οὐ κοπιᾷ. ταύτας οὖν, κράτιστε βασιλεῦ, ὥσπερ
παρ' ἐμοῦ ἀκήκοας ἀποκρίσεις ἀρκετὰς εἶναι νόμιζε
περὶ πάντων."

1 *ἐκ τῶν τοιούτων*] propterea. *omittit* M 3 ὁ *om.* M 4 *γλυκαίως bis* B: *correxit* Boissonade 7 *sermo Veteris Foederis* 10 *περὶ πάντων*] *uberius* M

Narrationis de Syntipa

altera recensio

qualis extat in cod. Mon. 525 fol. 51—66.

p. 60, 3 . . . λέγει οὖν πρὸς τὴν ὁμόζυγον· τί ἐστι τοῦτο ὅπερ νῦν τεθέαμαι; οὐ διεστειλάμην σοι μηδ' ὅλως τούτοις ἡμῶν προσψαύειν τοῖς σιτίοις;“ ἡ δ' ὁμόζυγος „καὶ οὐχ ἡψάμην αὐτῶν“ ἀπεκρίνατο. ἢ δὲ οὐδαμῶς ταύτῃ πεπίστευκεν, ἀλλὰ μᾶλλον κατ' αὐτῆς ἀγριάνασα, πλήττει θρασέως αὐτὴν καὶ τῆς ζωῆς ἀπορρήγνυσι, καὶ μονωτάτη καταλιμπάνεται. ἐπιστάντος δὲ τοῦ χειμῶνος καὶ πολλῶν ὑετῶν τε καὶ νιφετῶν καταφερομένων, καὶ αὖθις ὁ σῖτος ἐκεῖνος τῇ τοῦ ἀέρος ὑγρότητι νοτισθεὶς ὅλην ἐκείνην ὡς τὸ πρότερον τὴν θυρίδα πεπλήρωκεν. ὅπερ θεασαμένη ἡ περιστερὰ τὴν αἰτίαν τῆς τε ἐλλείψεως καὶ τῆς ὡς πρῴην ὕστερον ἀναπληρώσεως καθ' ἑαυτὴν ἐπέγνω. καὶ τὸ ἀπ' ἐκείνου πικρῶς ἐπὶ τῇ ἀπωλείᾳ τῆς ὁμοζύγου μετεμέλετο, οὐδὲν δὲ τῆς μεταμελείας ἀπώνατο. οὕτως οὖν ἐπίσταμαι, ὦ βασιλεῦ, ὡς εἴπερ καὶ σὺ τὸν

In hoc imo margine nullo addito signo exhibentur codicis scripturae, supra a me mutatae, leuioribus quibusdam rebus praetermissis; interrogandi signo adposito coniecturas a me dubitanter propositas indicari scito; littera P *alteram recensionem libri significat, quam discrepare uel concinere hic illic ubi necessarium uidebatur notaui* 2 *μηδ' ὅλως scripsi ubique* 4 *καίτοι? αὐτῷ cod.; cf.* 2, 9. 60, 6 13 *ὑστέρας ἑαυτὸν*

υἱόν σου διαχειρίσῃ ἐκ ψιλῆς διαβολῆς τοῦ καταράτου τοῦδε γυναίου, καὶ ταῦτά τι τοιοῦτο μὴ εἰδὼς ἐκείνου, καὶ τῷ σῷ κράτει ὡσαύτως συμβήσεται ὡς τῇ εἰρημένῃ περιστερᾷ, καὶ τοῖς κέντροις τῆς μετα- p. 61 μελείας χαλεπῶς ἔσῃ νυττόμενος, ἀλλ' οὐδέν σοι ὄφελος ἔσται. καὶ ἄλλης δέ μου διηγήσεως ἄκουσον, ὦ βασιλεῦ, περὶ τῶν γυναικείων σοι δηλούσης πανουργιῶν. Ἀνήρ τις ἦν γεωργικὴν μετιὼν ἐπιστήμην. οὗτος οὖν ἐν μιᾷ ἐξέρχεται εἰς τὸν ἀγρὸν αὐτοῦ τοῦ κατασπεῖραι αὐτόν. περὶ δέ γε τὴν ὥραν τοῦ ἀρίστου ἡ τοῦ γεωργοῦ σύζυγος ὄψα ἡτοίμασεν ὄρνιθός τε καὶ μελιπήκτου ἐδέσματος. ἃ δὴ σπυρίδι ἐνθεῖσα πρὸς τὸν ἄνδρα ἐκόμιζε. συνέβη δὲ πορευομένην αὐτὴν διά τινος καταλύματος διελθεῖν. ἐλθοῦσαν δὲ ὁδοστάται ποθέν τινες ἐξορμήσαντες κατέσχον αὐτὴν καὶ ἐν ἐκείνῳ εἰσαγαγόντες τῷ καταλύματι βιαίως αὐτῇ συνεγένοντο, καὶ ἃ διεκόμιζεν ὄψα κατήδοντο ἀφελόμενοι. μικρὸν δέ τι τοῦ μελιπήκτου ἐδέσματος ὕστερον καταλιπόντες, καὶ εἰς μόρφωσιν ἐλέφαντος τουτὶ τὸ καταλειφθὲν ἐπισκευάσαντες, τῇ σπυρίδι ἀναπέθεντο, μηδέν τι περὶ τοῦδε εἰδυίας τῆς γυναικός, καὶ τὴν σπυρίδα κατεκάλυψαν. ἡ δὲ γυνὴ ταύτην ἀνελομένη κεκαλυμμένην οὖσαν ὡς πρότερον καὶ ἀγνοοῦσα ὡς τὰ ἐν αὐτῇ παρ' ἐκείνων ὄψα ἐβρώθη,

1 διαχειρήσῃ 2 τι: τὸ? μήπω? 141, 16 εἰδότος cod.: ed tum debebat dici εἰδότος σου περὶ ἐκείνου. leuiore mutatione cripsi εἰδώς 6 ὤφελος 9 ἐν μιᾷ idem est quod μιᾷ τῶν μερῶν P 14 διὰ] ἀπὸ P ἐλθοῦσαν cod.: ἐλθούσης malim eponere quam ἐλθοῦσα. sed P (καὶ ὡς εἶδον τὴν γυναῖκα κράτησαν αὐτήν) eo ducit ut in libro archetypo additum fuisse uspicemur ἰδόντες: ἐλθοῦσαν δὲ ὁ. ἰδόντες, ἐξ. κ. α. ceterum raepositio διά ad ἐλθούσης suppletur ut 87, 8 17 κατήδοντο utique scriptoris est 19 ὕστερον post σπυρίδι ponendum cf. 71, 8; 24 ὄψα sic conlocatum ne te offendat 22 ἀναπεκάλυψαν

τὴν σπυρίδα πρὸ τῶν τοῦ ἀνδρὸς αὐτῆς ἀποθεῖσα ὀμμάτων διέστη βραχύ. ὁ δ' ἀνὴρ αὐτῆς ἐκκαλύπτει καὶ ὁρᾷ μηδὲν ἕτερον ἔχουσαν τὴν σπυρίδα ἢ μόνον p. 62 τὸ μελίπηκτον ἔδεσμα, τὸ τὴν μορφὴν ἔχον τοῦ ἐλέφαντος. ὅπερ ἰδών, „τί τοῦτο, γύναι;“ πρὸς τὴν σύζυγον ἔφησεν. ἡ δὲ τὰς ὄψεις τῷ ὁρωμένῳ ἐπιβαλοῦσα, εὐθὺς τὸ αὐτῇ συμβεβηκὸς δρᾶμα κρύπτειν ἐκμηχανᾶται. καί φησι πρὸς τὸν ἄνδρα· „ταύτῃ τῇ νυκτί, καθευδούσης μου, ὄναρ ἐφάνη μοι ξένον. ἔδοξα γὰρ ἐλέφαντι ἐποχεῖσθαι καθ' ὕπνους, καὶ τούτου ὀλισθήσασάν με τοῖς ποσὶν αὐτοῦ συμπατηθῆναι. ἔξυπνος δὲ γενομένη πολλῷ συνειχόμην φόβῳ, καὶ αὐτίκα πρὸς τὸν ὀνειροκρίτην ἔσπευσα πορευθῆναι σὺν τάχει, ᾧ καὶ τὰ ὁραθέντα διηγησάμην καὶ ὃς τὸν ὄνειρον διαλύσας ἐνετείλατό μοι οὕτω εἰπών· '(ὡς) ἐλέφαντος μορφήν σε χρή, ὦ γύναι, ἐκ μελιπήκτου κατασκευάσαι ἐδέσματος καὶ τῷ ἀνδρ σου εἰς βρῶσιν ἀποκομίσαι, ὡς ἂν ὁ ὄνειρος οὗτο ἀκινδύνως σοι διαλυθείη.' καὶ νῦν κατὰ ταύτας τὰς ὑποθήκας ὡς ὁρᾷς σοι πεποίηκα μὲν ἐγώ, σὺ δὲ λοιπόν, ὦ ἄνερ, προθυμότατα φάγε, ὡς ἂν μηδείς μοι προσγένοιτο κίνδυνος.“ καὶ ὃς τὸ μελίπηκτον εὐθὺς ἐδηδόκει. ἡ δὲ γυνὴ τοιούτως πρὸς αὐτὸν προφασισαμένη ἐξ ἀνυπόπτου, τὸν τοῦ συνεύνου κίνδυνον ὑπεξέφυγεν ἑαυτὴν περιποιησαμένη τὰ μάp. 63 λιστα. ὁ γὰρ ἀνὴρ αὐτῆς πᾶσιν οἷς αὐτῷ περὶ τούτου λελάληκεν ἀναμφιλέκτως πεπίστευκε. τοίνυν, ῶ

4 τοῦ *etsi habet quo offendat, non deleuerim* 6 δρ μένῳ? 16 ὡς *in codice legitur post* γύναι 18. 21 ὡς διαλυθείη *et similia in hoc scriptore ferenda censui* 23 ἐδη κει] *aoristi loco est* 24 ἐκ τοῦ? *ad* 56, 22 (21) 27 τοίν Lob. Phr. 342. *ita Pollianus* A. P. XI, 127, *Leo Diaconus*, *Ioa*

βασιλεῦ, καὶ αὐτὸς ἐπίγνωθι τὸ ποικίλον τῶν γυναικείων μηχανημάτων· καὶ ὅτιπερ ἂν καὶ βουληθεῖεν, εὐφυῶς (εἰς) τὸ πονηρεύεσθαι καὶ συσκευάζειν ἔχουσι.“ Τούτων δ' ὁ Κῦρος καὶ πάλιν ἀκηκοὼς τῶν ῥημάτων, μὴ ἀποκτανθῆναι τὸν υἱὸν ἐγκελεύει.

Κατὰ δὲ τὴν ἕκτην ἡμέραν σφόδρα ἡ γυνὴ ἐπὶ τῷδε τῷ προστάγματι τοῦ βασιλέως χαλεπήνασα καὶ δεινοπαθήσασα, καθ' ἑαυτὴν οὕτως ἔλεγεν, ὡς „εἰ μὴ τὴν σήμερον ὁ τοῦ βασιλέως υἱὸς ἀποκτανθείη, τὴν αὔριον πάντως προσφθέγξεται τῷ ἰδίῳ πατρί, καὶ εὐθέως διὰ τῆς αὐτοῦ πρὸς αὐτὸν ὁμιλίας τὰ τῆς ἐμῆς σκαιωρίας ἔσται κατάδηλα, καὶ θανάτῳ παραδοθήσομαι. χρὴ οὖν ἐμαυτὴν διαχειρίσασθαι· οὐδαμῶς γάρ τι ἕτερον τῷ βασιλεῖ ἀναγγεῖλαι τολμήσω.“ ταῦτα καθ' ἑαυτὴν ἡ κακότροπος ἐκείνη γυνὴ συλλογισαμένη καὶ δέει συσχεθεῖσα πολλῷ, πρῶτα μὲν τὰ ἑαυτῆς συνελέξατο πράγματα τῆς οὐσίας καί γε τοῖς γνωστοῖς καὶ τοῖς γείτοσιν ἐμερίσατο. εἶτα καὶ ἀξιοῖ ὕλην αὐτοὺς καυστικὴν συναγαγεῖν αὐτῇ· οἱ δὲ δαψιλῆ συναγείρουσι. κἀκείνη δι' αὐτῆς σφοδρὰν ἀνῆψε πυράν· ἧς δὴ ἀναφθείσης, ὥρμησεν ἡ γυνὴ τῇ καμίνῳ ἑαυτὴν ἐμβαλεῖν, ὅτιπερ p. 64
ὑφωρᾶτο τῇ ἕωθεν οὐ μετρίαν αὐτῇ ἐπισπάσεσθαι τὴν αἰσχύνην καὶ τὸν κατάγελων. ἐπεὶ δὲ καὶ ἡ ἑβδόμη ὡς ἐν τοσούτῳ ἡμέρα ἐφέστηκε, καθ' ἣν καὶ

Cinnamus, Byzantini alii. cf. Iacobs *ad* Ael. N. A. II 66 *p.* 55. *infra in narratione de astrologo iterum inuenies* 3 εἰς *adieci, ut structura similis euadat ei quae est in* P ἑτοίμως ἔχουσι πονηρεύεσθαι. *sed nescio an* εὐφυῶς *tantum mutandum sit in* ἐκ φύσεως 5 ἐγκ. *non mutandum cf.* 19, 1 6 κατ' αὐτὴν δὲ P 13 διαχειρήσασθαι 17 [τῆς οὐσίας]? *om.* P 18 ἐμέρισεν? διεμοίρασεν P 23 αὐτὴν 24 κατάγελον *cf. not. ad p.* 64, 2 *in margine* ιε': *quo non uidetur indicari caput, sed* folium XV *libri e quo* M *descriptus est*

ὁ παῖς τῷ βασιλεῖ καὶ πατρὶ προσφθέγξασθαι ἤμελλεν, ὥς γε κατ' ἀρχὰς ὑπὸ τοῦ διδασκάλου παρήγγελτο, ἡ γυνὴ αὕτη λίαν ὡς εἰκὸς ἠγωνία καὶ ἐφρόντιζε, καὶ μερίμναις καὶ ἀλγηδόσι τὴν καρδίαν ἐβάλλετο. ᾔδει γὰρ ὡς ἡνίκα τῷ βασιλεῖ ὁ παῖς φθέγξαιτο, οὐ μόνον αὐτὴ καταισχυνθήσεται, ἀλλὰ καὶ ὀλέθρῳ μετὰ τῆς αἰσχύνης παραδοθήσεται, ἐφ' οἷς πάντως τῷ παιδίῳ ἀτόπως λελάληκε. τοῦ γοῦν τοιούτου αὐτῆς χαλεποῦ βουλεύματος πολλαχῇ γε τῇ φήμῃ θρυλλουμένου καὶ διαθέοντος, ἔφθασε καὶ εἰς τὰς τοῦ βασιλέως αὐτοῦ ἀκοάς. καὶ μὴν σὺν τάχει τὴν γυναῖκα προφθάνει καί φησιν αὐτῇ· „τίνος χάριν, ὦ γύναι, πυρὶ σεαυτήν παραδίδως;“ ἣ δέ „μὴ ὡς ἔδει με ἀπὸ τοῦ παιδός σου“ ἔφη „ἐξεδίκησας οὐδὲ αὐτὸν ἀπέκτεινας καθάπερ προσῆκεν.“ ὁ δὲ p. 65 βασιλεὺς ἅμα τῷ λόγῳ πίστεις αὐτῇ ἐνόρκους δέδωκεν ἀσφαλεῖς, ὡς ἀναμφιλέκτως τὸν παῖδα διαχειρίσεται. ἣ δὲ ἀποδεξαμένη τὸν λόγον, ἐπέσχεν ἑαυτὴν τοῦ τοιοῦδ' ἐγχειρήματος. καὶ αὐτίκα ὁ βασιλεὺς μετ' ὀργῆς ἀπεφήνατο ἀνυπερθέτως τὸν υἱὸν ὑποβληθῆναι τῷ ξίφει. τῆς οὖν τοιαύτης ἰταμωτάτης ἐξενεχθείσης ἀποφάσεως, ὁ τοῦ βασιλέως φιλοσοφώτατος ἕβδομος σύμβουλος περὶ ταύτης ἐνωτισάμενος καὶ σὺν αὐτῷ οἱ ἕτεροι ἓξ συμφιλόσοφοι, ἐπὶ τῷ γόνῳ τῆς πορφύρας σφόδρα λελύπηνται καὶ ἤλγησαν τὰς ψυχάς, ὁρῶντες τὸν ἀνεύθυνον ὡς

1 φθέγξασθαι ἤμελλεν *quin scriptor dixerit ut* P, *non est quod dubites* 6 αὔτη 11 αὐτό μὲν 12 προφθάνει] διαμηνύσας P 13 *plenius* P 15 οὔτε *cod.: quamquam dubites an error sit scriptoris* 17 ἀσφαλεῖς *noli delere* 20 τὸν υἱὸν αὐτοῦ P: *sed cf.* 141, 14 21 ἰταμοτάτης 23 ἐνωτισάμενος] *infra* ἐνωτισθείς 25 γόνῳ τῆς πορφύρας *orientalium populorum sermonem sapit*

κακοῦργον κινδυνεύοντα. καὶ πορευθέντες ἐφίστανται τῷ τοῦ βασιλέως σπεκουλάτωρι, ἤδη τὸ ξίφος πρὸς τὴν σφαγὴν τοῦ παιδὸς ἀνατείνοντι, ἐπιμόνως αὐτὸν ἀξιοῦντες βραχύ τι τὴν τοῦ παιδὸς ὑπερθέσθαι ἀναίρεσιν, ἄχρις ἂν ὁ τῶν φιλοσόφων ἕβδομος πρὸς τὸν βασιλέα εἰσέλθοι ἅμα τε καὶ ἐξέλθοι. οὐ μὴν ἀλλὰ καὶ δώροις τὸν ἄνδρα ἐδεξιώσαντο. ὃ δὲ τοὺς φιλοσόφους αἰδεσθείς, τῇ αὐτῶν συγκατανεύει αἰτήσει. εἶτα ὁ τῶν φιλοσόφων ἕβδομος σύμβουλος πρὸς τὸν βασιλέα ἐκεῖθεν πορεύεται· καὶ εἰσελθὼν προσεκύνησεν αὐτὸν ἐπὶ τῆς γῆς καί φησι· „βασιλεῦ, ζῆθι. γινώσκειν σου τὸ κράτος ἐκδυσωπῶ, ὡς ἐξαίσιον ἅμα καὶ ἀνόσιον δρᾶμα πειρᾶσαι ποιήσασθαι, p. 66
ὅτιπερ τὸν υἱὸν μαχαίρας ἔργον γενέσθαι προσέταξας, ψιλῇ γυναικὸς ὑποθήκῃ οὕτως ἀνεξετάστως συναρπαγείς, καὶ ταῦτα μήπω ἐγνωκώς, κἂν ἀληθῆ σοι κἂν ψευδῆ λελάληκεν. ἤκουσται δέ μοι καὶ τοῦτο, ὡς διὰ πολλῶν εὐχῶν, νηστειῶν τε καὶ εὐποιιῶν θεόθεν τοῦτον τὸν παῖδα σύ τε καὶ ἡ μήτηρ ἐξητήσασθε· καὶ διὰ γυναικὸς ῥῆμα ὀλέθρῳ αὐτὸν παραδίδως; ἀλλ' ὅμως μου τῶν ῥημάτων ἄκουσον.

Ἀνὴρ γάρ τις ἦν πύθωνος πνεῦμα ἔχων, καὶ τοῖς βουλομένοις τὰ μέλλοντα δὴ μαντευόμενος καὶ δαψιλῆ πορίζόμενος κέρδη· οὐ μὴν ἀλλὰ καὶ ἰατρικῆς τέχνης τῇ μαντείᾳ ἔμπειρος ἦν. ὅθεν καὶ πᾶσι τοῖς παρ' αὐτοῦ πυνθανομένοις περί τινων ἀδήλων ἑτοίμους ἐποιεῖτο τὰς ἀπολύσεις. οὕτως οὖν ὁ ἀνὴρ p. 67

6 εἰσέλθῃ — ἐξέλθῃ *coniunctiuos restituas ex* P 12 *litteram* γ *librarius omiserat rubro colore postea additurus; quod crebro factum abhinc notare supersedebo* 13 πειρᾶσαι, *i. e.* πειρᾷ, *iam supra notatum* 14 ὅτι σου τὸν υἱὸν P. *cf.* 66, 2 19 ἐξητήσασθε[αι] 20 καὶ] καὶ νῦν? καὶ δή? 23 κἀντεῦθεν? 27 οὗτος P

ἐπιστημόνως ἔχων οὐκ ὀλίγον αὐτῷ πλοῦτον ἐθησαύρισε. μιᾷ γοῦν τῶν ἡμερῶν τὸ ἐνοικοῦν αὐτῷ μαντικὸν πνεῦμα πρὸς τὸν ἄνδρα εἰρήκει· „ἔγωγε τοῦ λοιποῦ ὑπαναχωρῆσαί σου βούλομαι, καὶ οὐκέτι ἕξεις με. πλὴν πρὸ τῆς ἐκδημίας μου λόγους τρεῖς διαστελῶ σοι, καὶ δὴ ἐν ἑκάστῳ τούτων ὃ ἂν θεόθεν αἰτήσῃ, παραχρῆμά σοι παρασχεθήσεται.“ καὶ ταῦτα λέξαν τὸ πνεῦμα τὰς τρεῖς ῥήσεις τἀνδρὶ δεδήλωκεν. εἶτα πόρρω μὲν αὐτὸ γέγονεν, ὁ δ' ἀνὴρ ἐκεῖνος ἀνακεχωρηκότος τοῦ πνεύματος οἴκαδε σὺν ἀθυμίᾳ πολλῇ ἀφῖκτο. καὶ τοῦτον ἡ σύζυγος οὕτως ἔχοντα θεασαμένη, „τί οὕτως“ ἔφησε „στυγνὸς καὶ ὠχριῶν παραγέγονας;“ ὁ δὲ αὐτῇ ἀπεκρίνατο· „ὅτιπερ, ὦ γύναι, τὸ τοῦ πύθωνος ἐκεῖνο πνεῦμα, ὃ δὴ ἐνεκατῴκει μοι, δι' οὗ ἐμαντευόμην καὶ τὰς νόσους ἐθεράπευον, νῦν ἀπ' ἐμοῦ ἐξελθόν, τελέως ἀνεχώρησε. καὶ τούτου ἐρημωθείς, αὐτήν, ἴσθι, τὴν ζωήν μου ἀπολέγομαι. ὑπ' αὐτοῦ γὰρ ἅπαν ἀπόρρητον ἐμυούμην καὶ δαψιλῆ κέρδη ἐποριζόμην.“ ἡ δὲ γυνὴ ταῦτα παρὰ τοῦ ἀνδρὸς ἀκούσασα, σφόδρα κἀκείνη ἐπὶ τῷ συμβάντι ἤλγησεν. ὁρῶν δὲ ταύτην ἐκεῖνος ἀνιωμένην πικρότερον, παρηγορεῖν ὡς ἐνὸν τὴν γυναῖκα ἐπεχείρησε, καὶ εἴρηκε πρὸς αὐτήν· „θάρσει, ὦ γύναι, καὶ μὴ λυποῦ· τὸ γὰρ πνεῦμα ἐκεῖνο ῥήσεις μοι διεστείλατο τρεῖς, ὥστε δι' ἑκάστου αὐτῶν πᾶν εἴ τι θυμῆρές μοι θεόθεν ἐξαιτήσασθαι. καὶ δε-

3 εἰρήκει *cf.* 138, 23 ἐδηδόκει 6 ἐν *scripsi:* μὲν *cod.; praep.* ἐν *hoc sensu frequens est in Noui Foederis libris;* λόγοι *autem sunt precandi formulae. cf.* 8. 25. 144, 3 9 αὐτὸ *non uidetur mutandum esse in* αὐτοῦ, *quo ducit* P μακρὰν τοῦ ἀνδρός, *ita ut respondeant sibi* αὐτὸ μὲν — ὁ δ' ἀνήρ 13 γέγονας P 21 τὸ συμβὰν

δήλωκέ μοι ὡς εἴ τι δ' ἂν καὶ αἰτήσωμαι, (ἅμα) p. 68 θεόθεν γενήσεταί μοι.“ τούτοις τοῖς λόγοις ἐπὶ τὸ εὐθυμότερον ἡ γυνὴ γενομένη, „αὐτάρκη σοι τὸ λοιπόν“ ἔφησε τῷ ἀνδρί „ταῦτα τὰ τρία ῥησείδια.“ ὁ δ' ἀνὴρ πρὸς τὴν σύζυγον αὖθις ἀντέφησε· „τί οὖν, πρὸς θεοῦ, συμβουλεύεις μοι ἤδη αἰτήσασθαι;“ ἡ δὲ λίαν οὖσα πονηροτάτη καὶ πρὸς ἀτάκτους ὁρμὰς καὶ παραλόγους ὀρέξεις ἐνδόσιμός τε καὶ φιλοσώματος, „οἶδας“ φησίν „ὦ ἄνερ, καθὰ καὶ αὐτὴ ἐπίσταμαι, ὡς οὐδὲν συνουσίας τοῖς ἀνθρώποις προσφιλέστερον· αἴτησαι (τοίνυν) τὸ θεῖον, πολλοὺς τῷ σώματί σου ἰθυφάλλους ἐπιφυῆναι.“ ὁ δὲ ματαιόφρων ἐκεῖνος τὴν τοιαύτην αὐτίκα δέησιν προέθετο καὶ ἅμα τὸ ἑαυτοῦ σῶμα γέγονε κατάκομον (καὶ μεστὸν ἰθυφάλλων). οὓς ἑωρακὼς ὁ δείλαιος ἑαυτὸν πικρῶς ἐμυσάττετο καὶ τὴν γυναῖκα θρασέως πλήττει καὶ καθυβρίζει, καὶ τοσοῦτον τῷ θυμῷ κατ' αὐτῆς ἠγριαίνετο, ὡς καὶ ἀνελεῖν αὐτὴν ἀνηλεῶς βεβουλεῦσθαι. καὶ ἔλεγεν αὐτῇ· „αὕτη ἐστὶν ἡ ἐπωφελής σου συμβουλία, ὦ κατάρατε; οὐκ ἠδέσθης τοιαύτης μοι ἀσχημοσύνης βουλὴν πονηρὰν ὑποθέσθαι;“ ἡ δὲ πρὸς αὐτὸν ἀντέφησε· „τί τοσοῦτον

1 *εἴ τι δ' ἂν noli mutare in ὅτι ἂν uel ἐπειδάν. cf.* 63, 5 *ἅμα adieci ne sententia quae antecessit repetatur; habet* P 2 *γενέσθαι cod.: ἐφανέρωσέ μοι ὅτι .. γενήσεται* P 4 *ῥησείδια] cf.* Ianson *disserens de nom. demin. in* Ann. Phil. Suppl. V, 2, 238 11 *structura αἴτησαι τὸ θεῖον non caret exemplis; sed uidetur excidisse aut τοίνυν, quod adieci* (*cf.* 144, 3. 12), *aut λοιπὸν aut alia quae idem significat coniunctio, uelut οὖν γοῦν δή. ζήτησον οὖν* P 14 *καὶ μεστὸν ἰθυφάλλων om. cod.: sed simile certe aliquid, ut est in* P *μεστὸν καὶ νεφρῶν καὶ ὄρχεων supplendum esse efficit pr. οὓς* 16 *temporum uerbi mutatio in* P *quoque inest* 19 *βεβουλῆσθαι? βουληθῆναι* P 21 *in margine ις'*

ἐχαλέπηνας; μηδέν σοι ἔσται περὶ τούτου φροντίς· [περὶ τούτου μὴ διαταραχθήσῃ·] ἕτεροι γάρ σοι δύο ὑπελείφθησαν λόγοι· αἴτησαι τοίνυν τὸ θεῖον διὰ
p. 69 τοῦ ἑνὸς ῥήματος, τοὺς ἰθυφάλλους τούςδε ἀφανισθῆναι ἀπὸ σοῦ." ὃ δὲ τῇ συζύγῳ πεισθείς, αἰτεῖται τοῦτο παρὰ θεοῦ, καὶ εὐθὺς ἐκείνων μὲν ἀπηλλάγη τῶν ἰθυφάλλων, ἀπώλεσε δὲ σὺν αὐτοῖς καὶ ἃ δὴ γεννητὰ αἰδοῖα ἐκέκτητο. αὖθις οὖν ἐπὶ πλέον τῆς γυναικὸς καταθρασύνεται καὶ αὐτὴν ἐκ παντὸς τρόπου ἀποκτεῖναι πειρᾶται. ἡ δὲ γυνή „ἵνα τί" φησίν „ἀνελεῖν με σφαδάζεις; μηδ' ἐπὶ τῷδε ἀσχάλλου. ἓν γάρ σοι ῥῆμα ὑπολέλειπται. αἴτησαι γοῦν τὸ θεῖον τὰ γεννητά σου ἀπολαβεῖν αἰδοῖα." ὃ δὲ τοῦτο ποιήσας μόγις τοῦ αἰτηθέντος ἐπέτυχεν. Ἴδε οὖν, ὦ βασιλεῦ, οἷα ἐκείνῳ τἀνδρί συμβέβηκεν, ὅτιπερ ἀσυλλογίστως τῇ τῆς γυναικὸς κακίστῃ βουλῇ ὁ μάταιος συγκατέθετο. καὶ νῦν λοιπὸν μακροθύμησον, ἀξιῶ, καὶ μὴ κατεπείγου πρὸς τὴν ἄδικον τοῦ υἱοῦ σου ἀναίρεσιν μηδὲ οὕτως ἀνεξετάστως συναρπαγῇς τῇ τῆς μοχθηρᾶς γυναικὸς σκαιωρίᾳ
p. 70 καὶ μᾶλλον ὅταν ἡ διαβάλλουσα δεινὴ λίαν ᾖ καὶ κακότροπος. ἀλλὰ καὶ ἄλλης διηγήσεως ἄκουσον.

Ἀνήρ τις ἦν, ὃς ἔνορκον ἑαυτῷ ὅρον ἔθετο μὴ ὅλως ἠρεμῆσαι ἢ ἑαυτῷ δοῦναι ἄνεσιν, μήτε μὴν ἀγαγέσθαι γυναῖκα, ἕως ἂν πᾶσι τοῖς τῶν γυναικῶν ἐπισταίη μηχανήμασι. καὶ εὐθὺς τῆς πατρίδος ἐξιών, περιήει τὰς χώρας πληρώσσων τὸ σπουδαζόμενον.

1 ἔστω? π. τ. μὴ δ. *quamquam in* P *legitur* μηδὲν ταραχθῇς ἢ λυπηθῇς περὶ τούτου, *seclusi, quia scriptorem dicturum fuisse puto* μηδὲ π. τ. δ. 11 σφαδάζῃς 23 μηδ' ὅλως? *sed cf.* 126, 17 *et indicem* 24 μηδὲ? 140, 15 26 ἐπισταίη *mire dictum*

ἕτερος δέ τις αὐτῷ κατὰ τὴν ὁδοιπορίαν συνήντηκεν, ὃς καὶ μαθὼν πρὸς αὐτοῦ τὴν κατεπείγουσαν χρείαν, φησὶ τῷ ἀνδρί· „οὐ δυνήσῃ, ὦ ἄνθρωπε, τοὺς τῶν γυναικῶν κατανοῆσαι τρόπους οὐδὲ τὸ πέρας αὐτῶν ἐφευρεῖν, ἕως ἂν σποδιὰν συναγαγὼν καί τινα τόπον δι' αὐτῆς καταπάσας τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐπ' αὐτῆς διατελέσῃς καθήμενος καὶ μετρίας τροφῆς καὶ πόσεως μεταλαμβάνων. p. 71 οὕτω γὰρ δυνήσῃ ἀπαριθμῆσαι καὶ σημήνασθαι τὰς τῶν γυναικῶν πανουργίας.“ ὁ δὲ τῶν ῥημάτων τούτων ἀκούσας παρὰ τοῦ αὐτῷ συναντήσαντος, ἐποίησε καθὼς οὗτος αὐτῷ ἐνετείλατο, καὶ διετέλει ἐπὶ σποδιᾶς καθήμενος καὶ εὐτελεῖ τῇ διαίτῃ χρώμενος καὶ παρ' ὅλας τὰς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἀπογραφόμενος τὰς τῶν γυναικῶν μηχανουργίας· ἃς δὴ καὶ περαιωθῆναι ἐδόκει ἐσύστερον καὶ μηδεμίαν τούτων καταλιπεῖν ἄγραφον. λαβὼν οὖν ἃς ἐπεποιήκει ἀπογραφάς, πρὸς τὴν ἑαυτοῦ οἰκίαν ἐπανῄει. πορευόμενος (δ') ἐπί τι χωρίον παρεγένετο, ἐν ᾧ καὶ κατέλυσεν. ἦν δέ τις ἀνὴρ ἐν τῷδε τῷ χωρίῳ, ὃς καὶ παρασκευασάμενος ἑστίασίν τινα, τοὺς τοῦ χωρίου οἰκήτορας κέκληκε· μεθ' ὧν κἀκεῖνον τὸν ἀπογραφέα εἰς δεξίωσιν μετεκαλέσατο. ὃ δὲ ἐλθὼν καὶ ἀναπεσὼν μετὰ τῶν ἄλλων δαιτυμόνων, οὐχ ὁμοίως αὐτοῖς τῶν παρατιθεμένων ἤσθιεν, ἀλλ' ἄσιτος ἐκαθέζετο. λέγει οὖν ὁ ἑστιάτωρ αὐτῷ· ‛πόθεν καὶ τίς εἶ, ὦ ἑταῖρε;' ὁ δὲ ἀπεκρίνατο· ‛ὁδίτης εἰμί, ὡς ὁρᾷς, κἀκ μακρᾶς παραγί-

5 ἀγαγὼν 6 καταπάσσας 12 οὗτος] αὐτὸς *cod.* ἐκεῖνος P 17 μηδὲν *cod.; οὐδεμίαν* P *cf.* 146, 17 19 δ' *om. cod.* καὶ ἐπανερχόμενος P 25 δαιτομόνων *cod., ni fallor* παρατεθειμένων?

νομαι χώρας. ἐκ γὰρ τῆς ἐνεγκαμένης ἐξῆλθον τοῦ σοφίαν μαθεῖν καὶ τὰ τῶν πονηρῶν κατανοῆσαι γυναικῶν μηχανήματα.' ταῦτα αὐτοῦ εἰρηκότος, φησὶν ὁ ἑστιάτωρ πρὸς τὴν ἑαυτοῦ σύζυγον· 'ὁ ἀνὴρ οὗτος ξένος τοῦδε τοῦ χωρίου πεφύκει καὶ οὐδὲν p. 72 ὅλως ἔφαγεν. ἐξελθὼν δὲ τῆς ἰδίας πατρίδος καὶ τὰς χώρας περιιών, τὰς τῶν γυναικῶν ἁπάσας, ὥς φησίν, ἐκμεμαθήκει μηχανουργίας, καὶ ταύτας γραφῇ παραδέδωκεν. ἀλλ' ἀναστᾶσα, γύναι, παρασκεύασον αὐτῷ τὰ πρὸς βρῶσιν καὶ πόσιν ἁρμόζοντα αὐτῷ, ὡς ἂν παρ' ἡμῶν δεόντως φιλοφρονηθείη.' ὁ μέντοι ἀνὴρ ἐξειπὼν ἔξεισιν. ἡ δέ γε γυνὴ τὸν ὁδοιπόρον (ἐρωτῶσα) 'τί πεποίηκας' φησίν 'ἄνθρωπε; γέγραφας πᾶσαν τῶν γυναικῶν τὴν πονηρίαν;' ὃ δὲ 'ναί' φησί 'πάσας αὐτῶν ἀπεγραψάμην τὰς μηχανουργίας καὶ τοὺς αὐτῶν δόλους καὶ σκαιωρίας διελαβόμην, μηδέν τι τούτων τὸ παράπαν ἐάσας ἀσήμαντον.' ἐκείνη δὲ ταῦτα παρ' αὐτοῦ ἐνωτισθεῖσα, ἔγνωκεν ὡς ματαιόφρων ὁ ὁδοιπόρος καὶ ἀσύνετος καθέστηκε. καὶ πρὸς αὐτὸν κατ' εἰρωνείαν ἐφθέγξατο· 'καὶ ἐπείπερ, ὡς φάσκεις, τὰ γυναικεῖα μηχανήματα γέγραφας, ἀδύνατόν ἐστι γυναικί, εἴτε κἀμοὶ αὐτῇ, τεχνάσασθαί τι πρὸς σὲ ἢ διὰ λόγου ἢ διά p. 76 τινος πράξεως; πλὴν ἄκουσον τῶν ἐμῶν ῥημάτων. ἰδοὺ [ὡς] ὁρᾷς τὸν ἐμὸν ἄνδρα ὡς εἰς βαθὺ ἐλη-

1 ἐνεγκαμένη] patria 5 πεφύκει *cf.* 138, 23 6 καὶ πάσας τὰς χώρας? — ὅλας P 8 ἐκμεμάθηκε? 11 ἡμῖν P *cf.* 147, 20 φιλοφρονηθείη] 138, 18. ὡς ἂν .. τραφῇ P 12 ἐξειπὼν ταῦτα? τὸν ὁδοιπόρον .. φησὶ *in hac recension[e] ferri nequit: itaque aut addendum erat* πρὸς, *aut quod fec[it]* ἐρωτῶσα *quemadmodum exhibet* P, *aut restituendus datiuus* 13. 22 γέγραφας P *quoque, ut non sit addenda praeposi[tio]* ἀπό 22 εἴτε] etsi uel 25 *codex caret narratione q[uae] in P legitur p.* 72, 23 — 75, 22 ὡς *seclusi*

λάκει γῆρας, νεᾶνις δ' ἐγὼ καὶ (τῆς) τῶν ἀνδρῶν συνουσίας πάνυ ἐφίεμαι. καὶ σὺ δ' ὡς ὁρῶ νέος εἶ, ἔτυχες δὲ καὶ κατακόρως φαγὼν καὶ πιών, ἔτυχε δ' ὡςαύτως καὶ ὁ σύνευνος ὁ ἐμὸς ἀποδημῶν. ἐγερθεὶς οὖν, τὴν ἔφεσίν μοι ἐκπλήρου.' ταῦτα εἰπούσης τῆς γυναικὸς πρὸς ἀπάτην τοῦ ὁδοιπόρου, πείθεται τοῖς λόγοις αὐτῆς. καὶ ἀναστὰς ὡς εὐήθης καὶ ὄντως ἠλίθιος, τὴν ζώνην ἔλυε τοῦ ἰδίου φιμιναλίου τοῦ τὴν κλίνην ἐπαναβῆναι. ἰδοῦσα δὲ ἡ γυνὴ τὸ πρὸς ἐπιμιξίαν αὐτοῦ ταχυρρεπές τε καὶ ῥᾴδιον, τὰς χεῖρας τῇ ἑαυτῆς ἐπιθεῖσα κεφαλῇ μεγαλοφώνως ἐκραύγασεν. εὐθέως δὲ οἱ τοῦ χωρίου κάτοικοι ἐπὶ τῇ αὐτῆς κραυγῇ πρὸς τὴν οἰκίαν ἐπέθεον ἰδεῖν τί τοῦτ' ἦν. ὁ δέ γε ὁδοιπόρος, ἐκείνης οὕτω βοώσης τῶν τ' ἐγχωρίων πρὸς αὐτὴν ἐρχομένων καὶ τῆς τραπέζης ἔτι πρὸ αὐτοῦ ἱσταμένης, ἦν δεδιὼς ἐς τὰ μάλιστα, ἐρυθριῶν καὶ ἀμηχανῶν ἐπὶ τῷδε. εἰσελθόντες δὲ οἱ ἀγροῖκοι λέγουσι τῇ γυναικί· 'τίνος ἕνεκεν ἐπὶ τοσοῦτον, ὦ γύναι, ἀνεβόησας'; ἣ δέ φησι πρὸς αὐτούς· 'οὗτος ὁ ξένος παρ' ἡμῶν φιλοφρονούμενος καὶ ἀπὸ τῆςδε τῆς τραπέζης ἐσθίων, ὑπό p. 77
τινος θρύμματος τὴν φάρυγγα χαλεπῶς ἐπεσχέθη καὶ μικρὸν ὅσον ἐκινδύνευεν ἀπαγχονισθῆναι. ἐγὼ δ' αὐτίκα ἐπὶ τῷδε τῷ συμβάντι ἀθρόον καιρίως ἀλγήσασα καὶ τὸν ἄνδρα τελέως ἐκλιπεῖν ὑποτοπά-

1 τῆς *om* 5 μοι] μου P 7 αὐτός εὐήθιος *cod., quod fortasse seruandum erat; est enim qui hoc nomine utitur* 8 φημιναλίου? *sed uide* Suid. *in h. u. et in* ἀναξυρίδας *et* Dindorfium *in* St. Th. 2, 394 *extr. in* βρακίον 9 τοῦ] τῷ 11 ἑαυτῆς: ς *m. pr. postea add.* 11—15 *plenius* P 14 *in margine* ιζ' 16 ἐσταμάλιστα: *quae scriptura hyphen in hoc libro frequentissima est* 20 ὁ παρ' P ἡμῶν *hoc loco P quoque exhibet* 21 καὶ *om* P 24 καιρίως adeo ut paene moreretur 25 ἂν ἐκλιπεῖν?

σασα οὕτως ἐκραύγασα. νυνὶ δὲ τῆς τοῦ θεοῦ ἀρωγῆς προφθασάσης, ἀπηλλάγη ταύτης τῆς συνοχῆς καὶ τῆς προτέρας εὐεξίας ἐν καταστάσει γέγονε.’ ταῦτα εἰπούσης αὐτῆς ἐξίασιν οἱ ἐπιδραμόντες ἅπαντες. ἡ δὲ γυνὴ προσπελάσασα τῷ ὁδοιπόρῳ ἔφησεν οὕτως· ‘ἆρά γε τοῦτο, ὅπερ ἤδη διεπραξάμην εἰς σέ, τοῖς λοιποῖς προσαπεγράψω’; ὁ δὲ ξένος ‘οὔ’, φησίν ‘οὐδαμῶς.’ ἡ δὲ ‘μάτην τοίνυν, ὦ ἄνθρωπε, τοὺς κόπους καὶ τὴν δαπάνην ἀνάλωσας. πολλὰ γὰρ ἀγωνισάμενος ἀνηνύτοις ἐπεχειρήσω, τὰς δὲ τῶν γυναικῶν μηχανουργίας οὔπω κατενόησας.’ ὁ δέ, ἅμα τῷ λόγῳ διεγερθεὶς καὶ τὰ γραφέντα διενεγκών, τῷ πυρὶ ἀπετέφρωσεν. εἶτα καὶ θειαζόμενος ἔλεγεν ‘οὐδεὶς βροτῶν διαγνῶναι δύναιτ’ ἂν τὰ τῶν γυναικῶν πανουργεύματα.’ μετὰ δὲ ταῦτα διαπορούμενος καὶ μηκέτι προσθείς τὰ γυναικεῖα ζητεῖν, πρὸς τὴν ἰδίαν πατρίδα ἐπάνεισι καὶ ἀπεριέργῳ τῇ γνώμῃ νόμιμον ἑαυτῷ γυναῖκα ἠγάγετο.

Ἐκ τούτων τοίνυν, ὦ βασιλεῦ, τῶν τῷ κράτει σου νῦν ἐξηγημένων πρὸς τῆς ἐμῆς εὐτελείας, ἴσθι ἀσφαλῶς ὡς ἀπέραντος ἡ τῶν γυναικῶν μοχθηρία.
78 καὶ μὴ οὕτως ἀσυλλογίστως πρὸς τὴν τοῦ παιδός σου συναρπαγῆς διαχείρισιν ψιλαῖς ὑποθήκαις οὕτω (κακοτρόπου) γυναικός. εἰ γὰρ τὸν υἱὸν θανάτῳ ὑποβάλοις, τίς ἄρα ἔσται τὸ ἀπὸ τοῦδε ἐπὶ τῇ σῇ

1 ἀρρωγῆς 4 δραμόντες 7 λοιποῖς ἀπεγράψω 10 ἐπεχειρίσω? *quo uerbo medio Graeci recentiores utuntur* 12 διενεγκών auferens 13 ἐπετέφρωσεν θειαζόμενος] θαυμάζων P 16 προθεὶς *uel* προσθεὶς *cod.*, προσέθηκε P: pergens 17 ἐπανήει? 23 διαχείρισιν *i. e.* interfectionem: διαχείρησιν *cod.* 24 κακοτρόπου *om. cod.; poterat suppleri etiam* κακογνώμου (58, 17) πονηρᾶς πανούργου ἀναισχύντου *uel horum simile adiectiuum* 25 *uberius* P

πεποιθὼς προσπαθείᾳ;' τούτων ὁ Κῦρος πρὸς τοῦ ἑβδόμου συμβούλου τοῦ σοφωτάτου ἀκροασάμενος, εὐθέως ἕνα τῶν δορυφόρων αὐτοῦ προσεκαλέσατο, στείλας τῷ σπεκουλάτωρι καὶ κελεύων μηδαμῶς ἀποκτεῖναι τὸν υἱὸν αὐτοῦ. εἶτα τῆς ὀγδόης ἐφισταμένης ἡμέρας λύεται μὲν τοῦ τῆς σιωπῆς δεσμοῦ ἡ τοῦ παιδὸς γλῶττα, καὶ ἀρξάμενος φθέγγεσθαι λέγει p. 79
πρός τινα κόρην πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ ἱσταμένην· 'ταχέως ἀπελθοῦσα, νεᾶνις, κάλεσόν μοι τὸν τῶν φιλοσόφων τοῦ ἐμοῦ πατρὸς καὶ βασιλέως πρωτεύοντα.' ἡ δὲ τῆς φωνῆς ἀσμένως τοῦ νεανίσκου ἀκούσασα, πορεύεται πρὸς τὸν φιλόσοφον τὸν τῶν ἑτέρων διαφορώτατον καὶ ἀπαγγέλλει αὐτῷ λέγουσα ὡς 'ὁ τοῦ βασιλέως υἱὸς φθέγγεσθαι ἀπήρξατο καὶ προσκαλεῖταί σε εἰς αὐτὸν παραγίνεσθαι.' ὁ δὲ αὐτίκα δρομαίως πρὸς αὐτὸν παραγίνεται καὶ τοῦτον χαριέστατα περιπτυξάμενος ἠσπάσατο. εἶτα ὁ παῖς προσφθεγξάμενος τῷ φιλοσόφῳ, ἀνακαλύπτει αὐτῷ ὅτου χάριν παρ' ὅλας τὰς ἑπτὰ ἡμέρας σιωπῶν διετέλει· ἀλλὰ μὴν καὶ ὅσα πρὸς αὐτὸν ἡ πονηρὰ τοῦ βασιλέως παλλακὴ ἀφρόνως λελάληκε, δῆλα τῷ φιλοσόφῳ πεποίηκε. καὶ προσέθετο λέγων 'μεγάλας τὰς εὐχαριστίας ὑπέχω τῷ θεῷ τε καὶ ὑμῖν, ὅτι με βιαίου καὶ ἀδίκου θανάτου τὸν ἀναίτιον ἐλυτρώσασθε, καὶ τὸν πατέρα μου καὶ βασιλέα τῶν τῆς μοχθηρᾶς σκαιωριῶν [γυναικὸς] ἐξηρπάσατε. ἀλλά μοι, κύριέ μου, πορεύθητι πρὸς τὸν βασιλέα καὶ

4 *στείλας*] *noli addere ἀπο* 12 *τὸν ἑτέροις cod.: ἄνδρα τῶν ἄλλων* P 15 *παραγενέσθαι* P 22 *προσέθηκε* P 25 *τὸν π. μου καὶ β. om.* P 26 *γυναικὸς deleui, quamquam dubitans, cum Byzantini in uerborum ordine artificiose inmutando ualde sibi placuerint* 27 *μοι*] *νῦν* P

γνώρισον αὐτῷ ὅσα σοι δεδήλωκα καὶ διωμίληκα, πρὶν ἡ κακότροπος γυνὴ πρὸς αὐτὸν εἰσέλθοι καὶ τὰς τούτου διαφθεῖραι ἀκοὰς ὡς τὸ πρότερον.' ὁ δὲ φιλόσοφος τῷ παιδὶ ἀπεκρίνατο· 'γίνωσκε, ὦ νεανία, ὡς καὶ ὁ σὸς διδάσκαλος ἅμα τῷ τὰ τῆς σῆς λαλιᾶς ἀκουτισθῆναι αὐτῷ πρὸς τὸν βασιλέα παραγενήσεται.' ὁ δὲ παῖς 'ἀληθῶς' φησί 'τοῦτο εἶπας, κύριέ μου· τὴν σήμερον γὰρ κἀκεῖνος πρὸς τὸν βασιλέα ἐλεύσεται.' τούτων οὕτω παρ' ἀμφοτέρων πρὸς ἀλλήλους διαλεχθέντων, ἐγείρεται ὁ φιλόσοφος μετὰ σπουδῆς καὶ πρὸς τὸν βασιλέα πορεύεται. καὶ εἰσελ- p. 80 θὼν πρὸς αὐτὸν καὶ τὴν συνήθη τούτῳ ἀποδιδοὺς προσκύνησιν, λέγει αὐτῷ· 'βασιλεῦ, ζῆθι εἰς τὸν αἰῶνα. χαρᾶς σοι κομίζω εὐαγγέλια· σήμερον γὰρ ὁ υἱός σου τῶν τῆς σιωπῆς δεσμῶν λέλυται καὶ φθέγγεσθαι ἤρξατο καί με πρὸς τὸ σὸν ἐστείλατο κράτος δηλῶσαι τῇ σκηπτουχίᾳ σου τὰ περὶ αὐτοῦ ἅπαντα.' καὶ ταῦτα εἰπὼν διεσάφησεν αὐτῷ ὅσα παρὰ τοῦ παιδὸς ἠκηκόει. ὁ δὲ βασιλεὺς χαρᾶς ὅτι πλείστης ἐπὶ τῇ ἀγγελίᾳ τοῦ φιλοσόφου πληρωθεὶς καὶ ὥσπερ ἄλλος ἐξ ἄλλου ὑφ' ἡδονῆς καταστάς, πρῶτα μὲν δώροις τὸν ἄνδρα τῶν ἀγαθῶν εἵνεκεν ἀγγελιῶν ἐδεξιώσατο, εἶτα καί τινας τῶν αὐτοῦ δορυφόρων ἀπέστειλε, μετακαλούμενος τὸν παῖδα σὺν πολλῇ ταχυτῆτι. ὃς πρὸς τὸν βασιλέα ταχὺ παραγίνεται καὶ εἰσελθὼν προσεκύνησεν αὐτῷ. ἀνέστη δὲ τοῦ θρόνου ὁ βασιλεὺς ἐκ περιχαρίας καὶ τῷ υἱῷ χαριέντως προσυπήντησε καὶ αὐτὸν περιπτυξάμενος ποθεινό-

2 *optatiuum noli scriptori eripere* 7 ὁ δὲ . . ἐλεύσεται 9 *om* P 9 *pr.* παρὰ *ne delendam censeas prohibet* τούτων 14 Luc. 2, 10. 11. σήμερον· ὁ γὰρ P 16 ἔστειλεν? *cf.* 145, 12. 153, 7. 152, 1 27 περιχαρείας?

ατα ἠσπάσατο. ὁ δὲ παῖς ἀνοίξας τὸ στόμα, χαίρειν ροσφθέγγεται τῷ βασιλεῖ. ὁ δὲ τῆς χειρὸς τοῦτον ρατήσας συνεδριάζειν αὐτῷ ἐπὶ τῆς βασιλικῆς καέδρας ἐκέλευσεν. εἶτά φησι πρὸς τὸν φίλτατον υἱόν· τίς ἄρα ἡ αἰτία ἐτύγχανεν, ὦ τέκνον ποθεινότατον, ῆς ἐπὶ ταῖς προλαβούσαις ἑπτὰ ἡμέραις τοσαύτης ου σιωπῆς καὶ ἀφωνίας, καὶ ὅτου χάριν οὐδ' ὅλως οι ἐν αὐταῖς λελάληκας, ὡς κἀμὲ διὰ τῆς σῆς σιγῆς πὸ τῶν τῆς γυναικὸς ῥημάτων πρὸς ὄλεθρόν σου υναρπάζεσθαι καὶ πειρᾶσθαί σε ἀνελεῖν; ὁ δὲ νέος ῷ βασιλεῖ καὶ πατρὶ ἀπεκρίνατο· ‛ὁ θεός, βασιλεῦ, ς ἐστιν ἀρωγὸς τῷ ἀνθρωπείῳ γένει, οὗτός με τῆς φαγῆς διεφύλαξεν. ὅτι δὲ μὴ ἐφθεγγόμην τῷ κρά- p. 81 τει σου ἐφ' ὅλαις ταῖς προλαβούσαις ἑπτὰ ἡμέραις, ίνωσκε, ὦ δέσποτα, ὡς ὑπὸ τοῦ διδασκάλου μου Συντίπα ἐντεταλμένος ἐτύγχανον, μὴ τὸ παράπαν ἐντὸς τῶν ἑπτὰ ἡμερῶν λόγον τινὰ φθέγξασθαι. ὅτι δὲ καὶ ἡ γυνὴ αὕτη πρὸς τὴν σφαγήν μου τὸ κράτος σου παρώρμα, γνωρίζω σοι, βασιλεῦ, καὶ περὶ ταύτης, ὡς ὅτε πρὸς σὲ μετὰ τὸ πέρας τῆς διδασκαλίας τοῦ ἐμοῦ μυσταγωγοῦ παραγέγονα, καί με μετ' ὀλίγον τῇ γυναικὶ ταύτῃ παρέδωκας, κἀκείνη με πρὸς τὴν αὐτῆς οἰκίαν ἀπήγαγεν, εὐθὺς ἡ γυνὴ ἀκολάστως ἔχειν τυγχάνουσα, πρὸς συνουσίαν ἑαυτῆς με ἠρέθιζε καὶ ᾐρεῖτο με συγγενέσθαι αὐτῇ. ἐγὼ δὲ σφοδρῶς ἐπὶ τῷ ἀτόπῳ τοῦ πράγματος, ὡς ἔδει, χαλεπήνας καὶ κατ' αὐτῆς ὀξύτατα θυμωθείς, ὑπὸ τῆς κατασχούσης με τότε τοῦ θυμοῦ συγχύσεως καὶ ταραχῆς ἐπελαθόμην τῆς τοῦ διδασκάλου ἐντολῆς, ἥν

3 αὐτῷ P *quoque* 12 ἀρρωγός ἀνθρωπίνῳ P τῆς ἀδίκου σφαγῆς P *ut* 153, 15 16 ἐντεταλμένον *cod.*, παρηγγελμένος ἤμην P 19 ταύτης] τούτου P *in margine* ιη´

μοι ἐν ταῖς ἑπτὰ ἡμέραις σιγᾶν διεστείλατο. καὶ ἀποκριθεὶς ἔφην τῇ γυναικί· „οὐδὲν τό γε νῦν ἔχον περὶ ὧν μοι ἔφης, ὦ γύναι, πρὸς σὲ ἀντιφθέγξομαι, ἄχρις ἂν ἑπτὰ ἡμέραι τὸ ἀπὸ τοῦδε παρέλθοιεν, παρρυεισῶν δὲ τούτων καθὼς σοι προσήκει περὶ ὧν p. 82 μοι λελάληκας ἀπολογήσομαι.“ ταῦτα οὖν, ὦ βασιλεῦ, μόνα τῇ γυναικὶ τῷ τότε ἀντεφθεγξάμην, μηδὲν ἕτερον μηκέτι προσθεὶς ἢ ἄλλο τι φθεγξάμενος ἄχρι τῆςδε τῆς σήμερον ἡμέρας. καθὸ δέ γε τὰ τῇ γυναικὶ ἀρεστὰ οὐδαμῶς ἐγὼ τότε διεπραξάμην, εὐθὺς ἐκείνη πολλῷ δέει ληφθεῖσα κἀντεῦθεν κινδυνεῦσαι δι' ἐμοῦ ὑφορωμένη ἔσπευδεν ἐντὸς τῶν ἑπτὰ ἡμερῶν ἀπωλείας με θέσθαι παρανάλωμα, καὶ σέ, ὦ βασιλεῦ, πρὸς τὴν σφαγήν μου παρώτρυνεν ἡ κακότροπος. ἀλλὰ τὸ μὲν τῆς ἐμῆς γε σιωπῆς αἴτιον ἤδη σου τῇ σκηπτουχίᾳ δεδήλωται· τοῦ λοιποῦ δὲ εἴπερ εὐδοκοίη καὶ ἐθέλοι τὸ κράτος σου, προσταξάτω ἱκανὸν ὄχλον συνελθεῖν καὶ πάντας τοὺς φιλοσόφους, ὅπως ἐπ' ἀκροάσει αὐτῶν ἀνακαλύψω ἐπὶ τοῦ ἀνακτορικοῦ σου βήματος ἣν με διδασκαλίαν ὁ φιλόσοφος Συντίπας ἐξεδίδαξε.'

Τούτων ἀκούσας ὁ βασιλεὺς παρὰ τοῦ υἱοῦ τῶν ῥημάτων, ἐπὶ πλεῖον ἔχαιρε μᾶλλον καὶ σφόδρα ἠγαλλιᾶτο. ὃς καὶ κελεύει πάντας τοὺς φιλοσόφους καὶ εἰδήμονας συναθροισθῆναι, ἀλλὰ μὴν καὶ τοὺς μεγιστᾶνας αὐτοῦ. καὶ μὲν δὴ πάντες ἐπὶ τὸ αὐτὸ πρὸς τὸν βασιλέα συνῆλθον. παραγίνεται δὲ καὶ ὁ

4 τοαποτοῦδε *et sim.* 16. 23. 26. *cf.* 147, 16 ἄχρις ἂν .. παρέλθοιεν *cf.* 138, 18 7 τῷ τότε *aliquotiens usurpauit* 8 ἄλλό τι, *ut saepe* 9 σήμερον *non erit delendum* 10 ἐγὼ τότε] ἔγωγε *ut P?* 12 ὑφωρωμένη *uel* ὑφωρουμένη 19 ἐπ' *non est quod mutetur in* ἐν 23 [μᾶλλον]? *om* P

*τοῦ παιδὸς διδάσκαλος, καὶ εἰσελθὼν προσεκύνησε
τὸν βασιλέα ἐπὶ τῆς γῆς. ὁ δέ βασιλεὺς ὑπολαβὼν
ἔφη πρὸς αὐτόν· ‛ποῦ ἦσθα μέχρι τοῦ νῦν, σοφώ-
τατε Συντίπα; ὅτι γε διὰ τῆς σῆς ἀποδημίας μικροῦ
δεῖν τὸν υἱόν μου ἀπέκτεινα.’ ὁ δὲ Συντίπας αὐτῷ
ἀπεκρίνατο· ‛ἐγώ, βασιλεῦ, τῷ υἱῷ σου ἐφ’ ὅλαις
ἡμέραις (ἑπτὰ) σιγᾶν ἐνετειλάμην, καθότι τὰ περὶ* p. 83
*τῆς αὐτοῦ τύχης δι’ ἀστρολογικῆς συζητήσεως ἐξε-
ρευνήσας, ἔγνων ὡς, εἰ ἐντὸς τῶν ἑπτὰ ἡμερῶν
φθέγξοιτο, παραχρῆμα θανάτῳ ὑποβληθείη· ὅθεν
καὶ τοῦ σοῦ κράτους ἐμαυτὸν πόρρω πεποίηκα, ἕως
ἂν ἡ τῶν ἑπτὰ ἡμερῶν περαιωθείη διωρία. καὶ κα-
λῶς ὁ υἱός σου πεποίηκε, μηδαμῶς σοι φθεγξάμενος
ἐν αὐταῖς.’ ὁ δὲ βασιλεὺς ἔφη· ‛χάρις μεγίστη τοί-
νυν τῷ ἀθανάτῳ θεῷ, ὅτι μου τὸν υἱόν τῆς σφαγῆς
διεφύλαξεν. εἰ γὰρ τοῦτον παρ’ ἐμοῦ ἀναιρεθῆναι
συνέβαινεν, ἐξαρθῆναι ἂν ἐκινδύνευε τὸ ἐμὸν τῆς
γῆς ὄνομα.’ ταῦτα εἰπὼν ὁ βασιλεὺς προσκαλεῖται
τοὺς φιλοσόφους, οὓς ἐγγυτέρω σὺν τῷ Συντίπᾳ
παραστησάμενος, τοῦ παιδὸς ἐκ δεξιῶν συνέδρου
τῷ βασιλεῖ καθεστηκότος, ἐπηρώτα τοὺς φιλοσόφους
λέγων· ‛γνωρίσατέ μοι νῦν, εἴπερ ἄρα τὸν ἐμὸν
υἱὸν ἐντὸς τῶν ἑπτὰ ἡμερῶν ἀνῃρηκέναι εἶχον,
τίνι τὸ αἴτιον τῆς ἐκείνου σφαγῆς ἐπεγράφετο, ἐμοί,
τῷ υἱῷ μου ἢ τῇ γυναικί;’ ἐγγίζουσι δὲ τῷ βασιλεῖ
τέτταρες τῶν φιλοσόφων. ὧν θάτερος ἀποκριθεὶς
ἔφη· ‛ἡ αἰτία αὕτη, ὦ βασιλεῦ, τοῦ Συντίπα ἐτύγ-* p. 84

4 *γε*] *καὶ* P *διὰ τῆς σ. ἀποδημίας i. e. more Byzantinorum idem atque διὰ τὴν σὴν ἀποδημίαν . διὰ τὸ σὲ μὴ φαίνεσθαι* P 7 *ἑπτὰ i. e. ζ′ in codice excidit in pagina extrema* 12 *cf.* 152, 4 19 *τοὺς φιλοσόφους habet* P *quoque* 20 *συνεδρίου* 23 *ἀνῃρηκέναι εἶχον*] interfecissem 24 *ἐπεγέγραπτο* P

χανεν. ἐπειδὴ γὰρ ἐκεῖνος ὡς ἡ ἐντὸς τῶν ἑπτὰ ἡμερῶν τοῦ σοῦ παιδὸς λαλιὰ κίνδυνον αὐτῷ ᾔδει ὅτι ἐπάγει, ἵνα τί μὴ παρ' ἑαυτῷ τοῦτον ἐτήρει, ἀλλὰ πρὸς τὸ σὸν κράτος ἀπέστειλεν;' οὕτω τοῦ ἑνὸς φιλοσόφου εἰπόντος, ὁ δεύτερος ἀπεκρίνατο· 'οὐ τοῦτό γε ὃ φάσκεις εὐάρμοστον· οὐ γάρ τις αἰτία τῷ Συντίπᾳ πρόσεστι, καθότι οὐχ οἷός τε ἦν τὸν παρ' αὐτοῦ πρὸς τὸν βασιλέα ὑποσχεθέντα ὅρον ἐλλεῖψαι ἢ πλεονάσαι, οὔτε τῷ βασιλεῖ τὸ παράπαν διαψεύσασθαι. καὶ διὰ τοῦτο πόρρω τῶν ὀφθαλμῶν αὐτοῦ ἀπομακρύνας ἑαυτὸν ἀπέκρυψε, τὸν δέ γε παῖδα τῷ βασιλεῖ ἐξαπέστειλεν. ὅθεν ἡ αἰτία τῷ τὴν τοῦ παιδὸς ἀναίρεσιν ἐπιτάξαντι πρόσεστιν.' ἀποκριθεὶς δὲ καὶ ὁ τρίτος φιλόσοφος ἔφησεν· 'οὐχ οὕτως ἐστὶν ὡς σὺ φής· οὐ γὰρ ὁ βασιλεὺς τοῦ πράγματος αἴτιος· ἀλλ' ὥσπερ οὐδὲν ψυχρότερον τῆς τε καφουρᾶς καὶ τοῦ ξύλου ὃ σάνταλον ἡ συνήθεια οἶδε καλεῖν, ἀμφότερα δὲ ἀλλήλοις παρά τινος συντριβόμενα σπινθῆρας πυρὸς μᾶλλον ἀποτελοῦσιν, οὕτω καὶ ἅπας ἀνὴρ κἂν ἄγαν εἴη συνετὸς καὶ ἀγχίνους, ἅμα τῷ αὐτὸν γυναικὶ προσομιλῆσαι καὶ
p. 85 μᾶλλον τῇ παρ' ἑαυτοῦ ποθουμένῃ, εὐθὺς ὑπ' αὐτῆς τοῦ ἰδίου σκοποῦ πρὸς τὸ ταύτης μεθέλκεται θέλημα. ἡ γυνὴ τοίνυν τούτου ἐστὶν αἰτία τοῦ πράγματος, ὅτιπερ ψευδῶς τοῦ παιδὸς κατειποῦσα πρὸς ἀπώλειαν αὐτοῦ τὸν βασιλέα παρώτρυνε.' παρελθὼν δὲ καὶ ὁ τέταρτος φιλόσοφος ἔφη· 'οὐδ'

1 ὡς *noli delere* 5 *cf.* 18, 1 8 *accusatiuus* τὸν .. ὅρον *non est permutandus cum genetiuo. pro u.* ἐλλεῖψαι P *exhibet* ὀλιγῶσαι τῷ βασιλεῖ *datiuum adiunxit u.* διαψεύδομαι *ut simplici u.* ψεύδομαι *Noui Foederis scriptores et Septuaginta qui dicuntur* 16 *aliter* P 18 *cf.* 15, 6 19 μᾶλλον *i. e.* μάλιστα 20 εἴη *scriptoris est* 24 ἔστιν

οὕτως ἔχει ὡς εἴρηται. οὐδὲ γὰρ ἡ γυνὴ αἰτία καθέστηκεν, ἐπεὶ καὶ εἴωθεν ὡς τὰ πολλὰ ὄψις εὐειδοῦς νεανίσκου θέλγειν τὴν φύσιν τῆς γυναικός, καὶ ὡς ἁπαλωτέραν θηρᾶσθαι μᾶλλον, εἰ ἐτύγχανε καὶ ἀλλήλοις αὐτοὺς κατὰ μόνας προσομιλεῖν. τότε γὰρ ἡ γυνὴ ἐπὶ πλέον πρὸς τὴν τοῦ νέου γαργαλίζεται συνουσίαν καὶ διερεθίζει αὐτὸν εἰς ἐκπλήρωσιν τῆς ἰδίας ἐφέσεως. ὅθεν καὶ αὕτη ἡ γυνὴ τῷ αὐτῷ συνεσχέθη ἔρωτι, ἐπεὶ δὲ οὐδαμῶς ὁ τοῦ βασιλέως υἱὸς αὐτῇ συγκατέθετο, ἀλλὰ καὶ μᾶλλον διαπειλεῖν ἐδόκει αὐτῇ, ἐδεδίει πάντως αὐτὸν ἡ γυνὴ καὶ ἑαυτὴν [p. 86] ἔσπευδεν ὑφορωμένου κινδύνου διατηρῆσαι, κἀντεῦθεν τὴν τοῦ νέου ἀναίρεσιν ὡς αὐτῇ συμφέρουσαν ἐπετήδευεν. ὅθεν ἡ αἰτία τῷ νεανίσκῳ πρόσεστιν, ὅτι μὴ τὴν ἐντολὴν τοῦ διδασκάλου τετήρηκεν, ἀλλ' ἐφθέγξατο τῇ γυναικὶ δειμαλέον καὶ ἀπότομον λόγον.' ὑπολαβὼν δὲ καὶ ὁ Συντίπας λέγει 'οὐκ ἔστιν οὕτως ὡς ὑμεῖς φατε· οὐδὲ ὁ παῖς αἴτιος καθέστηκε. καὶ γὰρ οὐδὲν τῆς ἀληθείας μεῖζον, καὶ πᾶς ὃς φάσκει σοφιστικὸν ἑαυτὸν τυγχάνειν, καὶ διαψεύδεται ἐς τὰ μάλιστα, ἐξουδένωται πᾶσα ἡ αὐτοῦ σύνεσις, καὶ οὐκ ἔστι σοφὸς ὁ τοιοῦτος οὔτε μοίρᾳ σοφῶν συνηρίθμηται, ἀλλὰ τῆς τῶν ψευδολόγων καὶ ὑποκριτῶν ὁμηγύρεως καθέστηκεν.'

Ὑπολαβὼν δὲ καὶ ὁ τοῦ βασιλέως υἱὸς λέγει τῷ πατρί· 'δέσποτα βασιλεῦ, ἐπίτρεψον κἀμοὶ ἀπόλογόν

4 θηρᾶσθαι, (καὶ ἔτι) μᾶλλον εἰ τυγχάνει? — ἀγρεύει .. ὡς ἀσθενεστέραν· καὶ μάλιστα γίνεται τοῦτο, ὅταν τύχωσι .. P 6 ἐπιπλέον *cod., qualia plerumque non indicaui* 8 αὐτοῦ? 12 *in margine* ιθ' ὑφωρωμένου] ὑφορωμένου τοῦ? 18 οὐδὲ γάρ *ut* P? 20 τυγχάνειν, διαψεύδεται. καὶ ἐσταμάλιστα ἐ. *cod.*, εἶτα ψεύδεται πλεῖστα P 22 οὐδὲ? *cf.* 144, 24. *paullum differt* P

τινα πρὸς ταῦτα εἰρηκέναι.' ὁ δὲ βασιλεὺς ἐκέλευσε καὶ τὸν υἱὸν ἀποκριθῆναι. κἀκεῖνος εὐθὺς τοῖς φιλοσόφοις φησίν· 'ἡ ἐμὴ γνῶσις πρὸς τὴν ὑμετέραν σοφίαν ὡς μυῖα πρὸς δράκοντα πέφυκεν, ἀλλ' ὅμως μου τῶν ῥημάτων ἀκούσατε. Ἦν γάρ τις ἀνὴρ ὃς p. 87 ἑστίασίν τινα πολυτελῆ παρετοιμασάμενος πολλοὺς δαιτυμόνας εἰς δεξίωσιν κέκληκεν. εἶτα τούτων ἀναπεσόντων καὶ ἐσθιόντων, γάλα τούτους πεπωκέναι παρεσκεύασεν. ἔστειλεν οὖν πρὸς τὴν ἀγορὰν τὴν ἑαυτοῦ δούλην ὠνήσασθαι γάλα τοῖς κληθεῖσιν ἀνδράσιν. ἡ δὲ λαβοῦσα τὴν χύτραν ἐπὶ τὴν ἀγορὰν ἐπορεύθη καὶ γάλα ὠνήσατο, καὶ ἐπιθεῖσα τὴν χύτραν τῇ ἑαυτῆς κεφαλῇ πρὸς τὴν τοῦ κυρίου αὐτῆς οἰκίαν ἐπανήρχετο. αὐτῆς δὲ πορευομένης, λοῦπος ἄνωθεν καταπτάς, ὄφιν δέ τινα ἐπιφερόμενος, ἐπὶ τὴν χύτραν κατέρριψε τὸν ἰὸν τοῦ ὄφεως. οὗτος γὰρ σφόδρα ὑπὸ τῶν ὀνύχων τοῦ λούπου συνεχόμενος, ἀπὸ τῆς πολλῆς βίας τὸν ἰὸν παρὰ τὸ τῆς χύτρας ἐξήμεσε στόμιον. τοῦ δέ γε ἰοῦ ἐν τῷ γάλακτι ἐμεθέντος, οὐκ ᾔσθετο περὶ τοῦδε (οὐδὲν) τὸ παράπαν ἡ δούλη. ἀχθέντος οὖν εἰς τὸν οἶκον τοῦδε τοῦ γάλακτος, ἐκπεπώκεισαν οἱ δαιτυμόνες αὐτό, καὶ εὐθέως τεθνήκασιν ἅπαντες· εἴπατε οὖν μοι, φιλόσοφοι, τίς τοῦ φόνου γέγονεν αἴτιος;" εἷς δὲ τῶν φιλοσόφων ὑπολαβὼν ἔφη· 'ὁ ἑστιάτωρ· ἔδει γὰρ αὐτὸν τοὺς δαιτυμόνας μὴ πρὶν πιεῖν παραδοῦναι τοῦ γάλακτος, ἄχρις ἂν ἐπιτρέψαι τὴν δούλην τοῦδε

4 ἐλέφαντα P   8 πεπωκέναι *cf.* 103, 19   18 ἀπὸ] ὑπὸ P *recte*   παρὰ] ἐπὶ? εἰς P   20 οὐδὲν *adieci*   22 ἐκπεπώκεισαν *cf.* 138, 23   αὐτό *sede sua offendit, sed ne* αὐτοῦ *reponatur prohibet* ἐκπ.; ἐξ αὐτοῦ P   26 αὐτοῦ τοῖς δαιτυμόσι? *sed* παραδοῦναι *uidetur idem significare atque* ἐᾶν   27 ἂν ἐπιτρέψαι *cf.* 152, 4   τήνδε

τοῦ γάλακτος ἀπογεύσασθαι, εἶθ' οὕτω μετα- p. 88 δοῦναι τοῖς φίλοις.“ ἀποκριθεὶς δὲ θάτερος τῶν αὐτῶν ἔφησε φιλοσόφων· ‘οὐχ οὕτως ἔχει τὸ πρᾶγμα· οὐ γὰρ ὁ ἑστιάτωρ παραίτιος, ἀλλὰ τῷ ὄφει ἡ αἰτία πρόσεστιν.’ ὑπολαβὼν δὲ ὁ ἕτερός φησιν· ‘οὐδὲ οὕτως ἔχει ὡς φατέ· οὐδὲ γὰρ ὁ ὄφις μέμψεως ἄξιος, ἐπειδήπερ τῇ βίᾳ τῆς πιεζούσης αὐτὸν συνοχῆς, ὑφ' ἧς καὶ ἀπαγχονισθῆναι κατηναγκάζετο, τὸν ἰὸν ἐξήμεσεν.’ εἶτα καὶ ἄλλος ἀπεκρίνατο τῶν φιλοσόφων· ἡ αἰτία αὕτη τῷ λούπῳ μᾶλλον πρόσεστιν, ὅτιπερ ἐκείνου κραταιῶς τὸν ὄφιν συνέχοντός τε καὶ ἄγχοντος, εἰς τὸ ἐμέσαι ὁ ὄφις συνηλάθη.’ παρελθὼν δὲ p. 89 καὶ ὁ Συντίπας φησί· ‘γνωστὸν ὑμῖν, ὦ ἄνδρες, ἔστω, ὡς ἅπαν θεοδημιούργητον ζῷον δύναμιν ἔχον ζωτικὴν οὐδὲν ἕτερον ἐσθίει ἀλλ' ὅπερ αὐτοῦ τῇ φύσει ὁ θεὸς ἀπέταξε. τοιγαροῦν καὶ ὁ λοῦπος ἀπὸ τῶν τῆς γῆς ἑρπετῶν διατρέφεσθαι ὁρισθείς, ἀναίτιος ἐπὶ τῷ συμβάντι καθέστηκεν.’ ὁ δὲ βασιλεὺς ταῦτα εἰπόντων τῶν φιλοσόφων ἐνατενίσας τῷ υἱῷ λέγει πρὸς αὐτόν· ‘οἶμαι, ὦ υἱέ, ὡς οἱ παρόντες φιλόσοφοι οὐκ ἐπίστανται τίνι τῶνδε προσυπῆρχε τὸ αἴτιον. πλὴν ἀλλὰ σὺ φράσον μοι, τίς ὁ γεγονὼς αἴτιος.’ ὁ δὲ παῖς τῷ βασιλεῖ ἀπεκρίνατο· ‘οὐ κατά τι, ὦ δέσποτα βασιλεῦ, οἱ φιλόσοφοι σφάλλονται, οὐδ' ὡς τῇ ἀληθείᾳ προσκρούοντες ἀλληνάλλως φάσκουσι. πλὴν ὁ τοῖς τοῦ γάλακτος πεπωκόσι

8 κατηναγκάζετο *cf.* 58, 2 9 ὁ ἄλλος P 12 *cf.* 88, 14 20 οἶμαι . . ὡς *noli mutare* 21 τῶνδε *malui scribere quam* τότε: τόδε *cod. quod si tenes interpretatus* huius rei, *offendit tempus praeteritum* προσυπῆρχε. τίνι πάντων P 22 πλὴν ἀλλὰ *saepe coniunguntur* 25 ἀλληνάλως 26 φάσκουσι] σφάλλονται P

συμβεβηκὼς κίνδυνος τῇ εἱμαρμένῃ τούτων ἀπέκειτο, καὶ ἤμελλον οὗτοι τῷ τοιῷδε τρόπῳ τοῦ βίου ὑπεξελθεῖν.' ὁ δὲ βασιλεὺς τὸν λόγον ὡς p. 90 λίαν εὐάρμοστον ἀποδεξάμενος, ἥσθη ἐπὶ τῇ τοῦ υἱοῦ πάνυ συνέσει καὶ τῇ τούτου συλλογιστικῇ καὶ σοφιστικῇ ἀποκρίσει. καί φησι πρὸς τὸν Συντίπαν· 'αἴτησαι ὃ ἂν ἐθέλοις καί σοι πρὸς τῆς ἐμῆς βασιλείας βραβευθήσεται. ἀλλὰ καὶ εἴ τις περισσοτέρα σοι πρόσεστι διδασκαλία, καὶ τήνδε τὸν υἱόν μου ἐκδίδαξον.' ὁ δὲ Συντίπας ἔφη τῷ βασιλεῖ· 'γνωστὸν ἔστω τῷ κράτει σου, ὦ βασιλεῦ, ὡς οὐδὲν τῆς σοφιστικῆς τέχνης καὶ λογιότητος τὸ παράπαν ἐνέλιπον ὅπερ μὴ τὸν υἱόν γε τὸν σὸν ἐξεδίδαξα, ὡς καὶ πάντων τῶν ὑπὸ τὴν βασιλείαν σου φιλοσόφων ὑπέρτερον αὐτὸν καταστῆναι.' ὁ δὲ βασιλεὺς ὑπολαβὼν πρὸς τοὺς μεγιστᾶνας καὶ τοὺς ὑπ' αὐτὸν φιλοσόφους ἔφη· 'ἆρά γε ταῦτα φιλαλήθως ἡμῖν ὁ Συντίπας φθέγγεται;' οἱ δὲ ἀπεκρίναντο· 'καὶ μάλα, ὦ δέσποτα.' ὁ δὲ τῷ υἱῷ ἐμβλέψας αὐτοῦ λέγει· 'σὺ δὲ τί φής, ὦ τέκνον; ἀληθείᾳ ταῦτα περὶ σοῦ γε ὁ σὸς φάσκει διδάσκαλος;' οἱ δὲ φιλόσοφοι ἀντὶ τοῦ παιδὸς ἀποκριθέντες εἶπον· 'οὐδεὶς ὡς ὁ υἱός σου ἐν τῇ τῶν λόγων διαπρέπει κομψότητι.' λέγει οὖν καὶ ὁ παῖς τῷ βασιλεῖ· 'γνωρίζω σου τῷ κράτει, ὦ δέσποτα, ὡς εἴ τις τῶν ἀνθρώπων μὴ τελείαν p. 91 σχοίη σύνεσιν, οὐκ ἀποδίδωσιν ἀγαθὰ τοῖς αὐτὸν

1 συμβεβηκόσι ἐπέκειτο P *minus recte. cf.* 5, 24 3 ὑπεξελθεῖν *cf.* 140, 1 5 συνέσει πάνυ? λίαν ἥσθη P καὶ τῇ . . καί φησι]· καὶ τάχα ἐπὶ τῇ σ. κ. σ. α. φρονήσει καὶ ἀποκρίσει φησὶ P 7 ὅπερ ἂν ἐθέλῃς P *recte; cf.* 138, 18 15 καταστῆσαι P 20 ἐν ἀληθείᾳ P. *cf. Plut. de def. or.* 37 *p.* 523, 2 *Did; Pomp.* 46, 3 26 τὴν σύνεσιν? τὴν φρόνησιν P

εὐεργετήσασι. τὸν μέντοι τοιοῦτον διάστροφον μᾶλλον εἶναι γινώσκομεν. οὗτος δὲ ἀκριβῶς ἐπιμελησάμενος δοκιμώτατόν με τῇ φιλοσοφίᾳ καὶ τῇ γνώσει κατέστησε. καὶ χρὴ τοῦτον παρὰ τῆς σῆς βασιλείας ἀξίαν τῆς ἐπιμελείας καὶ τὴν ἀμοιβὴν κομίσασθαι. ἐπεὶ δ', ὦ βασιλεῦ, καὶ οὗτοί σου οἱ φιλόσοφοι ἐπιμαρτυροῦσί μοι ὡς καὶ αὐτῶν δὴ τοῖς λόγοις ὑπερτερῶ, ἄκουσόν μου τῆς παρούσης διηγήσεως.

Δύο γάρ τινα παιδία ἐτύγχανον, τὸ μὲν χρόνων p. 92
πέντε, τὸ δὲ τριῶν. ἦν δὲ καί τις ἀνὴρ γηραιὸς καὶ ἀνάπηρος ἅμα καὶ παράλυτος, ὃς συνέσει καὶ ἀγχινοίᾳ σὺν ἐκείνοις ὑπῆρχε κατάκοσμος."

Ὁ δὲ βασιλεὺς τὸν εἱρμὸν ἀνακόπτων τοῦ διηγήματος, λέγει τῷ υἱῷ 'καὶ τίς ἦν, τέκνον, ἡ τούτων ὑπόθεσις'; ἀναλαβὼν δὲ ὁ παῖς τὸν λόγον ἄνωθεν διηγεῖτο λέγων·

"Ἀνήρ τις ἦν κίναιδος. ὃς ἡνίκα περὶ γυναικὸς εὐειδοῦς ἠκηκόει, πρὸς ἐκείνην ἀκολασίας χάριν εὐθὺς ἐπορεύετο. ἐδηλώθη γοῦν αὐτῷ ἐν μιᾷ περί τινος ὡραιοτάτης γυναικός, καὶ αὐτίκα πρὸς αὐτὴν ἀπελήλυθε συνουσίας εἵνεκεν. εἶχε δὲ παῖδα ἡ γυνὴ ἐκείνη ἐτῶν τριῶν τῇ ἡλικίᾳ τυγχάνοντα. ὃς τηνικαῦτα ἔτυχε λέγειν τῇ μητρί· 'παρασκεύασόν μοι, ὦ μῆτερ, ἔδεσμά τι τοῦ φαγεῖν. ἡ δὲ ὁρῶσα τὸν ἄνδρα ἐκεῖνον πρὸς τὴν μετ' αὐτῆς κατεπειγόμενον ἀκολασίαν, λέγει πρὸς αὐτόν· 'μικρόν με ἀνάμεινον,

6 συμμαρτυροῦσί P 7 ὑπερτερεῖν, cod., ὅτι ὑπερβάλλω P 9 in margine κ 9 χρόνον 12 ἐκείνοις (ει supra) κατάκομος cod.: quod reposui κατάκοσμος eo firmatur quod infra de eisdem hominibus dicitur πολλῇ τῇ γνώσει καὶ τῇ συνέσει κεκόσμηνται 17 κύναιδος 19 ἐν μιᾷ cf. 137, 9 23 λέγειν cf. 118, 5

ἄνθρωπε, ἄχρις οὗ τῷ ἐμῷ παιδὶ βρώσιμόν τι παρασκευάσω.' ὃ δὲ ὑπολαβὼν ἔφη τῇ γυναικί· 'ἄφες τό γε νῦν ἔχον τὴν τοῦ παιδὸς φροντίδα καὶ τοῦτο δὴ τὸ ἡμέτερον ἐκπλήρωσον ἔργον, μήπως γένοιτό με χρονίσαι ὧδε.' ἣ δὲ ἀντέφησε τῷ ἀνδρί· 'εἰ ἤδεις, ὦ ἄνθρωπε, ὁποίαν οὗτος ὁ παῖς μου τὴν ἀγχίνοιαν κέκτηται, οὐκ ἂν τοιαῦτά μοι ἔλεγες.' καὶ ταῦτα εἰποῦσα εὐθέως ἐγείρεται καὶ ὅπερ ἦν ἑψήσασα ἔδεσμα, ὀρύζιον τυγχάνον, παρέθηκε τῷ παιδί. ὃ δὲ εἰ καὶ μὴ πάντη νήπιος ἦν τῷ χρόνῳ, ἀλλ' οὖν ὀδυρόμενος διετέλει καὶ τὴν μητέρα ἠνάγκαζε περισσότερον αὐτῷ παρατεθεικέναι ὀρύζιον· 'οὐ γὰρ κεκόρεσμαι ἔτι', φησίν, 'ἀλλὰ πλείονος p. 93 ὀρέγομαι.' ἡ δὲ μήτηρ ἐποίησε κατὰ τὸ τοῦ παιδὸς θέλημα· ὃ δὲ αὖθις καὶ ἑτέρας παραθήκης ἐφιέμενος ἐπὶ πλέον πρὸς τὴν μητέρα ὠλοφύρετο. ὁ μέντοι ἀκόλαστος ἐκεῖνος ἀνὴρ δυσχεραίνων ἐπὶ τῇ ἀσελγείᾳ τοῦ παιδὸς καὶ τῷ τούτου ἀδιακόπτῳ κλαυθμῷ, λέγει πρὸς αὐτόν· 'λίαν τῷ ὄντι ἀναιδὴς καὶ ἀκόρεστος πέφυκας, καὶ οὐκ ἔνεστί σοι φρόνησις, ὡς ὁρῶ, τὸ παράπαν. εἰ γὰρ τὸ τοιοῦτον ἔδεσμα πέντε ἀνδράσι παρετέθη, δαψιλῶς ἂν αὐτοῖς εἰς κόρον διήρκεσεν.' ὁ δὲ παῖς ὑπολαβὼν ἔφη· 'σὺ μᾶλλον πάσης ἀπεστέρησαι φρονήσεως, ὡς τὸ παρὰ σοῦ νῦν ζητούμενον καὶ ἐμῇ μητρὶ ἀπρεπῶς λεγόμενον σεαυτὸν ἐπιζητεῖ καὶ πρᾶξιν μεταδιώκει θεῷ μεμισημένην. ἐν ἐμοὶ δὲ τί καθορᾷς φρονήσεως ἐστερημένον; ἀλλὰ καὶ ἀπὸ τοῦδέ μου τοῦ κλαυθμοῦ ὅπερ ἀναίδειαν

4 μήπως ἀργήσω P 12 παρατεθεικέναι *cf.* 103, 19 13 ἔτι] ἀκμὴν P 14 κατὰ *om.* P 17 ἀσελγείᾳ] ἀνάγκῃ P 25 σεαυτὸν] *cf. n. ad p.* 93, 11 26 μεταδιώκει *cf.* 93, 12 28 ὅπερ P *quoque*

σὺ καλεῖς, τίνα ζημίαν ὅλως ὑφίσταμαι, μᾶλλον μὲν οὖν καὶ οἱ ὀφθαλμοί μου τοῖς δάκρυσι καθαρθέντες ἐπὶ πλεῖον διεφωτίσθησαν, καὶ οἱ μυκτῆρές μου τῆς p. 94 ἐν αὐτοῖς ἀκαθαρσίας ἀπεσμήχησαν, καὶ τὸ παρατεθέν μοι ἔδεσμα προσετέθη μοι, καὶ δι' αὐτοῦ τοῦ κλαυθμοῦ εἴ τι ἄρα καὶ ἤθελον ῥᾳδίως μοι προσεγένετο.' τούτων ὁ ἀνὴρ ἐκεῖνος τῶν συνετῶν ῥημάτων ἀκηκοὼς συνῆκεν ὡς ὁ παῖς οὗτος αὐτοῦ μᾶλλον ὑπέρκειται τῇ φρονήσει. καὶ ὃς ἀναστὰς καὶ σχηματίσας ἄμφω τὼ χεῖρε τῷ παιδὶ προσεκύνησε καί φησι· 'μὴ μέμψῃ μοι, ἀξιῶ, περὶ ὧν σοι ἀπεφθεγξάμην. οὐ γὰρ ᾔδειν ὡς τοιαύτην ἐκέκτησο φρόνησιν.' καὶ τοῦτο εἰπών, εὐθὺς ἐκεῖθεν ὑπανεχώρησε μηδὲν ἄτοπον ἐπὶ τῇ αὐτοῦ μητρὶ ἐργασάμενος.

Ἄκουσον τοίνυν, ὦ δέσποτα βασιλεῦ, καὶ τῆς περὶ τοῦ πενταετοῦς παιδὸς διηγήσεως. Ἄνδρες ὑπῆρχόν τινες τρεῖς, οἳ καὶ ἀλλήλοις ἐτύγχανον κοινωνοί. ἐπί τινα δὲ δι' ἐμπορίαν χώραν μακρὰν ἐστάλησαν. τῆς δέ γε ὁδοιπορίας ἐχόμενοι εἴς τινα κώμην εἰσέρχονται καὶ παρά τινι γραΐδι τὴν κατάλυσιν ἔθεντο. μετὰ δὲ ταῦτα ἔδοξεν αὐτοῖς ἐπὶ τὸ βαλανεῖον ἀπελθεῖν καὶ ἀπολούσασθαι. καὶ λέγουσι τῇ γραΐδι· 'ἑτοίμασον ἡμῖν, ὦ γύναι, τὰ χρειώδη σκεύη καὶ ἐπιβλήματα.' ἡ δὲ πάντα αὐτοῖς ἡτοιμάσατο, μόνου τοῦ κτενὸς δ' ἐπελάθετο. ἐκεῖνοι δὲ p. 95 ἐκβαλόντες ἅτινα ἐπεφέροντο χρυσίου τρία βαλάντια, ὧν ἔνδοθεν αὐτῶν τὸν κοινὸν θησαυρὸν εἶχον, τῇ γραΐδι παραδεδώκασι, καὶ ἐνετείλαντο αὐτῇ

4 ἀπεσμήχθησαν? ἐκαθαρίσθησαν P 5 προσετέθη μοι καὶ] πρὸς τροφὴν P. προσετέθη *uidetur significare* es bekam mir, concoxi 16 *cf.* 92, 6 *et infra* 165, 16 πραγματευταί *add.* P 18 ἐμπορείαν 22 εῖον *charta abscissa periit*

φυλάττειν αὐτὰ παρ' ἑαυτῇ· 'καὶ μὴ δώσῃς πρός τινά τι τούτων ἄχρις ὅτου τοὺς τρεῖς ὁμοῦ πρὸς σὲ γεγονότας θεάσαιο.' ταῦτα τῇ γραΐδι παραγγείλαντες, ἐπὶ τὸ βαλανεῖον ἀπῄεσαν. καὶ εἰσελθόντες ἐπεὶ κτένιον ἔχειν οὐκ εἶδον, στέλλουσι θάτερον αὐτῶν τῇ γραΐδι τοῦ κομίσαι τὸ κτένιον. ὁ δὲ σταλεὶς εἶπεν αὐτῇ· 'οἱ κοινωνοί μου δι' ἐμοῦ σοι δηλοῦσιν, ὦ γύναι· στεῖλον ἡμῖν τὸ παρ' ἡμῶν σοι παρατεθὲν χρυσίον.' ἡ δὲ λέγει αὐτῷ· 'οὐδαμῶς σοι δώσω τι, ἄχρις ἂν οἱ τρεῖς ὁμοῦ γένοισθε.' ὃ δὲ λέγει αὐτῇ· 'κατ' ὄψιν ἰδού σοι ἑστήκασιν, ὡς ὁρᾷς, οἱ κοινωνοί μου καὶ φωνοῦσί σοι πόρρωθεν, δοῦναι μοι τὸ τοιοῦτον χρυσίον.' ταῦτα εἰπὼν φωνεῖ πρὸς ἐκείνους περὶ τοῦ κτενὸς αὐτοῖς ἀνωνύμως καὶ ἀδήλως οὑτωσὶ λέγων· 'οὐδέν μοι ἡ γραῦς παρέχει, εἰ μὴ
p. 96 ὑμεῖς αὐτῇ ἐπιτρέψοιτε.' οἳ δὲ ἐφώνησαν πρὸς αὐτὴν λέγοντες 'πάρασχε, ὦ γύναι, αὐτῷ.' ἣ δὲ ἐκβαλοῦσα τὸ παρατεθὲν αὐτῇ χρυσίον ἐπέδωκεν αὐτῷ. ἐκεῖνος δὲ τοῦτο εἰληφὼς εὐθέως ἐκεῖθεν ἀπέδρα. οἱ δὲ κοινωνοὶ τούτου ἐπὶ πολὺ αὐτὸν διετέλουν προσμένοντες· εἶτα φωνοῦσι πρὸς τὴν γραΐδα· 'ποῦ ἐστιν ὁ πρὸς σὲ σταλεὶς ἐκεῖνος κοινωνὸς ἡμῶν, ὅτι μὴ ὅλως ἡμῖν ἀνεφάνη;' ἡ δὲ γραῦς ἔφη τοῖς ἀνδράσιν ὡς 'τὸν θησαυρὸν ὑμῶν παρ' ἐμοῦ ἐπεζήτησε, καὶ κατὰ τὴν ὑμετέραν προσφώνησίν τε καὶ προτροπὴν παραδέδωκα τοῦτον αὐτῷ. ὃν καὶ λαβὼν ὑπεχώρησε τῆς οἰκίας μου.' οἳ δὲ ἀντεῖπον τῇ γυ-

1 δώσειν *cod.*: δώσῃς P 5 οὐκ ἔχειν εἶδον? 10 γένοισθε *cf.* 152, 4 11 ὡς ὁρᾷς] *cf.* 103, 15 14 καὶ ἀδήλως *om.* P 16 ἐπιτρέψαιτε? 17 πάρασχε, *quod est in codice, retinui* 20 ἐπιπολὺ *ut saepe. in marg.* κα 23 ὁ κ.? μηδ' ὅλως? οὐδ' ὅλως P *cf.* 144, 23 24 ὡς *sic recentiores*

ναικί· ʽἡμεῖς κατ᾽ ἐναντίον αὐτὸν ἡμῶν ἀπεστάλκαμεν πρὸς σὲ ζητῆσαι τὸ κτένιον.᾽ ἡ δὲ γραῦς ʽἀλλ᾽ ἐκεῖνος᾽ φησί ʽτὸ χρυσίον ὑμῶν ἐξ ἐμοῦ ἐπεξήτησεν ὡς ἀφ᾽ ὑμετέρας προτροπῆς. κἀγὼ δὲ παρ᾽ ὑμῶν, ὡς ἐφώνησε, προτραπεῖσα δοῦναι αὐτῷ, καθὼς ἔφητε ἐκβαλοῦσα τοῦτο ἐπιδέδωκα πρὸς αὐτόν.᾽ ταῦτα οἱ ἔμποροι ἀπροσδοκήτως παρὰ τῆς γυναικὸς ἐνωτισθέντες καὶ πικρῶς ἀθυμίᾳ βαρείᾳ κατασχεθέντες, ταύτην ἀνάρπαστον ἅμα λαβόντες, πρὸς τὴν τῆς χώρας πορεύονται ἄρχοντα καὶ αὐτῷ τὰ τοῦ πράγματος ἐκτραγῳδοῦσι περιπαθῶς. ὁ δὲ ἄρχων p. 97 ἔφη τῇ γυναικί· ʽἀπόδος αὐτοῖς τὸ παρατεθέν σοι παρ᾽ αὐτῶν χρυσίον.᾽ ἡ δὲ γραῦς ἀπεκρίνατο αὐτῷ· ʽἐγώ, κύριέ μου, ἀπέδωκα αὐτοῖς τὸν θησαυρὸν αὐτῶν.᾽ οἱ δ᾽ ἔμποροι πρὸς τὸν ἀντίλογον αὐτῆς ἀνθυπέφερον· ʽἡμεῖς, ὦ δικαστά, τρεῖς τυγχάνοντες κοινωνοί, ὅτε τῇ γραΐδι τὰ ἡμέτερα χρήματα παρεθέμεθα, σὺν ἀσφαλείᾳ εὐθὺς αὐτῇ ἐνετειλάμεθα εἰπόντες ὡς „μηδαμῶς γε τῶν σῶν χειρῶν, ὦ γύναι, ἡ τοιαύτη ἡμῶν ἐκβληθήτω παραθήκη, εἰ μήτοι γε τοὺς τρεῖς ἡμᾶς ὁμοῦ θεάσαιο ταύτην ἐπιζητοῦντας λαβεῖν ἀπὸ σοῦ.“ ὁ δὲ ἄρχων πάλιν ἔφη πρὸς τὴν γραΐδα· ʽἀπόδος τὸ χρυσίον τοῖς ἐμπόροις, ὦ γύναι, καὶ μηδὲν μηκέτι πρὸς ταῦτα ἀμφίβαλλε.᾽ ἡ δὲ γραῦς ἀπὸ προσώπου ἔξεισι τοῦ ἄρχοντος ὀδυρομένη πικρῶς καὶ γοερὸν ἀλαλάζουσα. μετὰ μικρὸν δὲ παῖς τις ἐτῶν πέντε τυγχάνων ἔφη τῇ γυναικί, συναντήσας

1 *κατεναντίον ἐξ ἡμῶν? ἀπεστάλκαμεν uel ἀπεστείλκαμεν cod.* 8 *πικρῶς habet* P *quoque* 9 *ἅμα λαβόντες scripsi: ἀναλαβόντες cod., λαβόντες* P 19 *χωρῶν* 22 *ἀπὸ i. e. παρὰ* 25 *ὀδυρωμένη* 27 *num ἔφη τῇ γυναικί conlocanda post οἰμωγῆς?*

αὐτῇ θρηνῳδούσῃ, ἣν καὶ κατῴκτειρε τῆς πικρᾶς οἰμωγῆς· ‘τί οὕτως οἰκτρῶς ὀλοφύρῃ, ὦ γύναι’; ἣ δὲ ἔφησε τῷ παιδί· ‘ἐασόν με, παῖ, τὴν τάλαιναν p. 98 *ἀποδύρεσθαί μου τὴν συμφοράν.’ ὃ δὲ ἐπέκειτο βιάζων αὐτὴν καὶ τὴν αἰτίαν τοῦ ὀδυρμοῦ πυνθανόμενος, καὶ οὐ πρότερον ἀπέστη αὐτῆς ἄχρις οὗ πάντα αὐτῷ ἡ γυνὴ διεσάφησεν. ὃ δὲ ἀντέφη αὐτῇ· ‘ἐγώ σε τῆς κατεχούσης ἀπαλλάξω νυνὶ συμφορᾶς. ἀλλ’ εἰ βούλοιο ποιῆσαί με τοῦτο, δός μοι πρότερον ἀργυροῦν ἕνα, ἵνα δι’ αὐτοῦ κάρυά μοι ἐξωνήσωμαι.’ ἡ δὲ γυνή φησιν· ‘εἴπερ με τῆς χαλεπῆς ταύτης συνοχῆς ἀπαλλάξεις, δώσω σοι τὸν ἀργυροῦν.’ ὁ δὲ παῖς λέγει αὐτῇ· ‘ὑπόστρεψον τοίνυν πρὸς τὸν ἄρχοντα καὶ λέξον αὐτῷ οὕτως· „γνωρίζω σοι, ὦ κύριέ μου, ὡς τρεῖς ἦσαν τυγχάνοντες οἱ κοινωνοί, οἳ τὸ χρυσίον μοι τοῦτο παρέθεντο, ὥσπερ δῆτα καὶ πρὶν ἐδηλώθη σου τῇ μεγιστότητι. οἳ καὶ ἐνετείλαντό μοι λέγοντες· „ὅρα μὴ δώσεις τινὶ ἐξ ἡμῶν τὰ παρατεθέντα σοι χρήματα, ἐὰν μήτοι γε οἱ τρεῖς ὁμοθυμαδὸν παραγενοίμεθα πρὸς σέ.“ νυνὶ δέ, κύριέ μου, ἰδού, τὸ χρυσίον παρ’ ἐμοί ἐστι· πρόσταξον τοίνυν τοὺς τρεῖς κοινωνοὺς ἐπὶ τὸ αὐτὸ παραστῆναί μοι, καθάπερ, ὡς ἔφην, κἀκεῖνοι σὺν ἀκριβείᾳ μοι κατηγγυήσαντο. καὶ οὕτως ὁ κοινὸς αὐτῶν θησαυρὸς παρ’ ἐμοῦ αὐτοῖς ἀποδοθήσεται.’ ἐπὶ ταύταις τοιγαροῦν ταῖς τοῦ παιδὸς ἐκείνου πιθαναῖς ὑποθήκαις ἡ γυνὴ σφόδρα ἡσθεῖσα ταχέως ὑποστρέφει πρὸς τὸν ἡγεμόνα καὶ τὰ πρὸς τοῦ παι-*

10. 12 *ἄργυρον* cod., *ἀργύριον* P   10 *κάραν*   18 *δώσῃς*? 170, 16 *ὅρα μὴ φωραθῇς*. *aliter* 166, 19 = 100, 19   19 *ἐὰν*] *recte εἰ* 163, 20   22 *ἐπιτοαυτὸ ut* 152, 26

δὸς παρατεθέντα [πρὸς αὐτὸν] ὡς εὐσύνοπτα καὶ συνετὰ πρὸς αὐτὸν ἀπεφθέγξατο. ὁ δὲ ἡγεμὼν εὐλογοφανῶς λέγειν διαγνοὺς τὴν γυναῖκα, μεταστέλλεται τοὺς ἐμπόρους καί φησι πρὸς αὐτούς· 'εὐλόγως ἡμῖν ἡ γυνὴ ἥδε νυνὶ λέγει· ὅθεν αὐτῇ παραστήσατε ὑμεῖς μεθ' ἑαυτῶν καὶ τὸν ἕτερον ὑμῶν κοι- p. 99 *νωνόν, καθὼς ἄρα καὶ ὑμεῖς αὐτῇ ἐνετείλασθε. εἶθ' οὕτως οἱ τρεῖς ὁμοθυμαδὸν τὸ χρυσίον ἀπολήψεσθε.' τῆς οὖν τοιαύτης ἀποφάσεως παρὰ τοῦ δικαστοῦ ἐξενεχθείσης καὶ τῆς γυναικὸς μηκέτι παρὰ τῶν δύο ἀνδρῶν ἐκείνων καθελκομένης, συνῆκεν ὁ ἄρχων ὡς παρ' ἑτέρου τινὸς ἡ ἐγκαλουμένη γραῦς τὸν ἔσχατον τόνδε ἀπόλογον ἐξεδίδακτο. καὶ προσκαλεσάμενος αὐτὴν ἐπυνθάνετο παρ' αὐτῆς, τίς ἄρα ταύτῃ τὴν πιθανὴν ἀντίθεσιν ταύτην ὑπέθετο. ἡ δὲ ἀπεκρίνατο· 'παῖς μοι πενταέτης ἐντυχὼν καὶ ὀδυρομένην ἑωρακώς, ᾤκτειρέ με καὶ τήνδε τὴν ἀντίθεσιν ὑπεσήμανεν.' ὁ δὲ ἡγεμὼν τὸν παῖδα πρὸς ἑαυτὸν εὐθὺς μετεστείλατο καὶ ἥξαντα ἐπηρώτησε λέγων αὐτῷ· 'σύ, ὦ παῖ, ἀληθῶς τόνδε τὸν λόγον τῇ γραΐδι ὑπέθου'; ὃ δὲ 'ναί,' φησίν 'ὦ κύριέ μου.' ὁ δὲ δικαστὴς ἐκπλαγεὶς ἐπὶ τῇ τοῦ παιδὸς συνέσει καὶ ἀγχινοίᾳ, εὐθέως αὐτὸν καθηγητὴν ῥητόρων καὶ φιλοσόφων προβάλλεται.*

Ἄκουσον δέ, ὦ δέσποτα βασιλεῦ, καὶ τῆς περὶ τοῦ γηραιοῦ ἀνδρὸς διηγήσεως. Ἀνήρ τις ἦν, ὃς εἰωθὼς ἐμπορεύεσθαι, ἀρωματικὰ ξύλα εἰς ἐμπορίαν ὠνήσατο. ὃς καὶ μεμαθηκὼς περί τινος πόλεως ὡς p. 100

1 *πρὸς αὐτὸν secludere malui quam scribere πρὸς αὐτὴν ὑποτεθέντα?* 15 *αὐτῇ?* 16 *πενταέτης recte; cf.* 161, 16 17 *ὀδυρωμένην* 18 *ὑπεσήμανεν recentiores dixerunt* 26 *ὃς] ὡς cod.* 27 *ἐμπορείαν*

σπάνις αὐτῇ τῶν τοιούτων, τάχος τὰ ἐωνημένα παραλαβών, εἰς ταύτην ἤλαυνε τὴν πόλιν. ᾗ πλησίον γενόμενος ἔξωθεν τὴν κατάλυσιν ἐποιήσατο, μαθεῖν ἐντεῦθεν πρότερον ᾑρημένος πῶς ἄρα ἐν ταύτῃ τῇ πόλει περὶ τούτων ἔχει τῶν ξύλων ἡ ὤνησις. ἐν δὲ τῷ μεταξὺ γυνή τις δούλη τῶν ἐν τῇ πόλει τινὸς τυγχάνουσα, τὸν ἔμπορον θεασαμένη 'πόθεν, ὦ ἑταῖρε;' πρὸς αὐτὸν ἔφη 'καὶ τίνα εἰσὶν ἃ ἐπιφέρῃ;' ὁ δ' ἔμπορος 'ἔγωγε' ἀπεκρίνατο 'ἃ ἐπιφέρομαι ξύλα εἰσὶν ἀρωματικά.' ἡ δὲ εἰσελθοῦσα πρὸς τὸν ἑαυτῆς κύριον πάντα τὰ κατ' ἐκεῖνον τὸν ἔμπορον αὐτῷ διεσάφησεν. ὁ δὲ ποικίλος ὢν καὶ πανοῦργος τὸν τρόπον, αὐτίκα συναγαγὼν ἃ παρ' ἑαυτὸν ἀρωματικὰ ξύλα ἐκέκτητο, ἐνέβαλε τῷ πυρί, ὀλίγα ταῦτα ὑπάρχοντα. καὶ ἐμφυσήσαντος πολλή τις ἐκεῖθεν εὐωδία ἐξεπέμπετο. ἧς ὀσφρανθεὶς ὁ ἔξωθεν ἔμπορος λέγει τοῖς περὶ αὐτόν· 'εὐωδίας πλείστης ἀρωματικῆς ὀσφραίνομαι. ἴδετε οὖν τὸ τάχος σὺν πολλῇ ἀκριβείᾳ μήπως τινὶ τῶν ἡμετέρων γόμων πυρκαϊά τις προσήγγισε, καὶ ἡμέτερα καίεται
p. 101 ἀρώματα.' οἱ δέ φασιν· 'οὐδαμῶς πυρκαϊά τις ἢ σπινθὴρ τὸ παράπαν τινὸς τῶν ἡμετέρων ἥψατο γόμων.' πρωίας δὲ γενομένης τὴν πόλιν εἰσέρχεται ὁ ἔμπορος· ᾧ καὶ εἰσελαύνοντι συναντᾷ ὁ τῆς δούλης ἐκείνης δεσπότης. εἶτα πυνθάνεται παρ' αὐτοῦ,

5 [περὶ]? 6 τῶν ἐν τῇ πόλει τινὸς] τινὸς τῶν ἀρχόντων τῶν ἐγχωρίων P 9 in margine κβ' 14 ἑαυτῷ? 15 ὀλίγα (with α above τ) cod. ὀλίγα τινά? ἐμφυσήσαντος ἀνέμου? 18 πλήρης mutaui in πλείστης. πολλῆς εὐωδίας ξύλων μυριστικῶν P. ἀρωματικῶν? 19 μήπώ τινι cod., μήπως P 23 εἰσέρχεται habet codex, sed ita scriptum ut dubitare possis an sit ἐπέρχεται. εἰσῆλθεν εἰς P

τί ἄρα εἶεν ἃ ἐν τῷ φόρτῳ αὐτοῦ κέκτηται. ὁ δ' ἔμπορος 'ἀρωματικά' φησί 'κεκόμισμαι ξύλα εἰς ἐξώνησιν τοῖς βουλομένοις τῶν τῆς πόλεως τῆσδε κατοίκων.' αὖθις δ' ἐκεῖνος 'τίς σε, ὦ ἄνθρωπε, κατηνάγκασε ταῦτα πρὸς ταύτην διακομίσαι τὴν πόλιν, τὰ δ' ἄλλ' ἃ σοι ἐπικερδῆ ἐτύγχανεν εἴδη παραλιπεῖν; ἐν ἀκριβείᾳ γὰρ ἴσθι ὡς τοῖς τοιούτοις οἱ ἐνταῦθα ἄνθρωποι ξύλοις οἷα καυσίμῳ ὕλῃ τινὶ προσανέχουσι, καὶ πρὸς ἔκκαυσιν καμίνου αὐτοῖς χρῶνται.' 'ἀλλ' ἔγωγε' φησὶν ὁ ἔμπορος 'ἠνώτισμαι ὡς ὑπὲρ πάσας τὰς πόλεις αὕτη μάλιστα ἐνδεὴς καὶ σπανίζουσα τῶν τοιούτων.' ὃ δὲ πρὸς αὐτόν· 'οἱ τοῦτ' εἰρηκότες σοι πολύ σε ἠπάτησαν.' τούτοις τοῖς λόγοις τὴν καρδίαν πληγεὶς ὁ ἔμπορος συνεσχέθη τῇ λύπῃ. ὁ δέ γε ἀνὴρ ἐκεῖνος ἀνίᾳ τοῦτον συσχεθέντα ἑωρακώς, ἔφη αὐτῷ· 'ὁρῶ σε δεινῶς, ὦ ἑταῖρε, γεγονότα περίλυπον, καί σε κατοικτείρω τῆς σφοδρᾶς ἀθυμίας. ἄγε δὴ λοιπὸν διάπρασόν μοι πάντα τὸν φόρτον σου, καὶ εἴ τι βούλει, παράσχω σοι ἐν πλήρει πίνακι.' ὁ δ' ἔμπορος συλλογισάμενος καθ' ἑαυτὸν ἔλεγε· 'βέλτιόν μοι οὖν, ὡς στοχάζομαι, πέφυκεν, εἴ τι δή μοι p. 102
καὶ δῴη ὁ ἄνθρωπος οὗτος, εἰληφέναι ἢ τὴν ἐμπορίαν μου ὅλην ἐαθῆναι ἀδιάπρατον.' καὶ ταῦτα διανοησάμενος, διεπώλησεν αὐτῷ τὸν ἑαυτοῦ φόρτον ἅπαντα, συναρεσθεὶς ὑπὲρ τῆς τιμῆς ἧς ἤμελλεν

6 ἐ. ἂν? 8 *cf.* 149, 26 ὕλῃ τινι ὡς καύσιμα ἔχουσι P 18 διάπρασον] *notes formam inusitatam antiquis* 19 παράσχω *futuri loco est quamquam facile esset reponere* 19 ἐν πλῆρες πινάκι *et* 168, 1 ἐν πινάκι πεπληρωμένον, *nihil tamen censeo mutandum*: ἐν *enim uidetur esse i. q.* bestehend in. *cf.* 101, 25 22 δώοι. *cf.* Lob. Phr. 346. ἐμπορείαν 25 συναρεσθείς] συμβιβασθεὶς λαβεῖν .. ἕνα πίνακα γεμισμένον P. *legit igitur etiam illud* ἤτοι ἐν π. π: *nihilominus seclusi*

εἰληφέναι [, ἤτοι ἐν πίνακι πεπληρωμένῳ]. λαβὼν οὖν ὁ ἀνὴρ τὰ ἐωνημένα εἰς τὴν ἰδίαν οἰκίαν ἐκομίσατο. ὁ μέντοι ἔμπορος τὴν πόλιν διερχόμενος κατέλυσεν ἅμα τοῖς αὐτοῦ κοινωνοῖς παρά τινι γραΐδι γυναικί. καὶ αὐτῇ ἐπηρώτησε λέγων ʻπῶς ἄρα, ὦ γύναι, τὰ τῶν ἀρωμάτων ξύλα ἀπεμπολοῦνται τῇ πόλει;ʼ ἡ δὲ ἔφη πρὸς αὐτόν· ʻἰσοστάθμῳ αὐτοῖς χρυσίῳ. πλήν, ὦ ἔμπορε, ἰδοὺ λέγω σοι, προσεκτικῶς ἔχε ἀπὸ τῶν τῆςδε τῆς πόλεως κατοίκων. πανοῦργοι γὰρ ἅπαντες καὶ ποικίλοι πεφύκασι, καὶ οὐκ ἔστι τινὰ τῶν ὧδε ἡκόντων μὴ παρὰ τῶν πολιτῶν
p. 103 *αὐτῆς ὀλέθρῳ μικροῦ παρυφίστασθαι.ʼ ταῦτα εἰπούσης τῆς γραΐδος, ἐξήει τοῦ οἴκου αὐτῆς μετʼ ὀλίγον τὰ κατὰ τὴν πόλιν ὀψόμενος, καὶ ὁρᾷ τρεῖς ἄνδρας ἅμα καθεζομένους. οἷς θαμινὰ ἐνατενίζων εἱστήκει. κἀκείνων δὲ τὸν ἔμπορον τοῦτον ἑωρακότων, θάτερος τούτων εἰρήκει· ʻδεῦρο, ὦ πάτερ, σύ τε κἀγὼ πρὸς ἀλλήλους διαλεχθῶμεν, καὶ ὃς ἂν τοῦ ἑτέρου ὑπερτερήσῃ, ἐπιταξάτω τῷ ἡττηθέντι ποιῆσαι, ὅπερ ἂν ὁ νενικηκὼς βούλοιτο.ʼ ὁ δʼ ἔμπορος ἁπλοϊκῇ τῇ γνώμῃ καὶ ἀπεριέργῳ τῇ γνώσει στοιχῶν ʻναί,ʼ φησί ʻκαὶ γενέσθω καθὼς ἐκέλευσας.ʼ εἶτα ἐκαθέσθησαν πρὸς ἀλλήλους διαλεγόμενοι· καὶ νενίκηκε τὸν ἔμπορον ὁ μῖμος ἐκεῖνος καὶ πανοῦργος*

5 *αὐτῇ ἐπηρώτησε cf.* 128, 16 6 *ἀπεμπολῶνται? cf.* 102, 16 *ἐν τῇ πόλει?* 7 *ἰσόσταθμα τῷ χρυσῷ* P *minus apte* 11 *τινὰ] τις cod. οὐκ ἔστι δυνατὸν τὸν ἐνταῦθα ἐλθόντα ξένον .. μὴ ὑπομεῖναι* P 16 *ἑωρακότες cod.: malui scribere ἑωρακότων quam κἀκεῖνοι. ἐκεῖνοι .. ἑωρακότες* P *structura recentioribus inprimis familiari* 17 *θατέρῳ cod. εἷς ἀπὸ τούτων τῶν τριῶν* P *εἰρήκει cf.* 142, 3 19 *ὑπερτερήσοι. u.* 173, 5. 171, 9 22 *στοιχῶν] τυχών? sed uidetur explicari posse* qua erat simplicitate obsecutus *sc.* illi *καὶ] στέργω καὶ* P 24 *μίμος codex ubique*

ἀνήρ, καὶ ἔφη αὐτῷ· ‘ἰδού, ὡς ὁρᾷς, τοῖς λόγοις περιεγενόμην σου. λοιπὸν ὃ ἐπιτρέπω σοι ποίει. καταπιεῖν σε βούλομαι τὰ τῆς θαλάσσης ὕδατα.’ ἐπὶ τοῖςδε ὁ ἔμπορος ἐν ἀθυμίᾳ καὶ ἀμηχανίᾳ γενόμενος, οὐκ ἠδύνατο εὐλογοφανῆ τινα τῷ μίμῳ ἀντίθεσιν προβαλέσθαι καὶ τοὺς αὐτοῦ βρόχους διεκφυγεῖν. ἦν δὲ ὁ ἔμπορος γλαυκόφθαλμος· ἔτυχε δὲ καὶ ὁ μῖμος ὁ ἕτερος τῶν τριῶν μονόφθαλμος μὲν ὑπάρχων, γλαυκὸν δὲ καὶ αὐτὸν ἔχων. κἀκεῖνος δὲ ἀναστὰς ἐπελάβετο ἰσχυρῶς τοῦ ἐμπόρου λέγων ‘σύ μου τὸν ἕτερον ἐσύλησας ὀφθαλμόν. ἄγωμεν p. 104 *τοίνυν ἀμφότεροι πρὸς τὸν τῆς πόλεως ἄρχοντα, ὡς ἂν δι’ αὐτοῦ ἀποδώσῃς μοι ὃν σεσύληκάς μοι ὀφθαλμόν.’ ἠκηκόει δὲ ταῦτα καὶ ἡ τὸν ἔμπορον ὑποδεδεγμένη γραῦς, καὶ ὅτι πρὸς τὸν τῆς χώρας ἄρχοντα ὁ μῖμος ἐκεῖνος τὸν ἔμπορον εἷλκε. καὶ τούτοις ἀπιοῦσι συναντήσασα ἔφησε πρὸς τὸν μῖμον· ‘ἔασον, ἀξιῶ, τὴν σήμερον ἐγγυητικῶς παρ’ ἐμοὶ τὸν ἄνδρα τοῦτον τὸν ἔμπορον, κἀγὼ αὐτὸν ἕωθεν πρωῒ παραστήσω σοι.’ ὃ δὲ εἴξας αὐτῆς τῇ αἰτήσει, δέδωκεν αὐτῇ τὸν ἄνθρωπον. ὃν καὶ λαβοῦσα ἡ γραῦς οἴκαδε ἀνεχώρησε. καὶ ἤρξατο κατηγορεῖν αὐτοῦ λέγουσα ‘οὐδέν σοι προπαρήγγειλα προσεκτικῶς ἔχειν ἀπὸ τῶν ἐν ταύτῃ (τῇ πόλει) πολιτῶν, ὅτι γε μῖμοι καὶ πονηροὶ τὴν γνώμην καὶ ποικίλοι πάντῃ πεφύκασι;*

9 *αὐτὸν*] *utrum supplendum τὸν ἕνα ὀφθαλμὸν ex μονόφθαλμος an addendum ut legatur καὶ αὐτὸν τὸν ἕνα uel καὶ αὐτὸν τὸν ὀφθαλμόν? in P est γλαυκὸν δὲ τὸν ἕνα αὐτοῦ κεκτημένον ὀφθαλμόν* 11 *ἀπάγωμεν? ἀπέλθωμεν* P. *spreui autem ἄγ’ ἴωμεν cum propter sententiam tum propter formam* 13 *ἀποδώσεις μοι*] *μου? cf.* 168, 5 19 [*τὸν ἔμπορον*]? 23 *οὐδὲν* omnino non 24 *ἐν ταύτῃ*] *ἀπὸ τῶν ἀνθρώπων τῆς πόλεως* P: *quare τῇ πόλει adieci potius quam ἐνταῦθα reponerem*

εἰληφέναι [, ἤτοι ἐν πίνακι πεπληρωμένῳ]. λαβὼν οὖν ὁ ἀνὴρ τὰ ἐωνημένα εἰς τὴν ἰδίαν οἰκίαν ἐκομίσατο. ὁ μέντοι ἔμπορος τὴν πόλιν διερχόμενος κατέλυσεν ἅμα τοῖς αὑτοῦ κοινωνοῖς παρά τινι γραΐδι γυναικί. καὶ αὐτῇ ἐπηρώτησε λέγων ʽπῶς ἄρα, ὦ γύναι, τὰ τῶν ἀρωμάτων ξύλα ἀπεμπολοῦνται τῇ πόλει;ʼ ἡ δὲ ἔφη πρὸς αὐτόν· ʽἰσοστάθμῳ αὐτοῖς χρυσίῳ. πλήν, ὦ ἔμπορε, ἰδοὺ λέγω σοι, προσεκτικῶς ἔχε ἀπὸ τῶν τῆςδε τῆς πόλεως κατοίκων. πανοῦργοι γὰρ ἅπαντες καὶ ποικίλοι πεφύκασι, καὶ οὐκ ἔστι τινὰ τῶν ὧδε ἡκόντων μὴ παρὰ τῶν πολιτῶν p. 103 *αὐτῆς ὀλέθρῳ μικροῦ παρυφίστασθαι.ʼ ταῦτα εἰπούσης τῆς γραΐδος, ἐξῄει τοῦ οἴκου αὐτῆς μετʼ ὀλίγον τὰ κατὰ τὴν πόλιν ὀψόμενος, καὶ ὁρᾷ τρεῖς ἄνδρας ἅμα καθεζομένους. οἷς θαμινὰ ἐνατενίζων εἱστήκει. κἀκείνων δὲ τὸν ἔμπορον τοῦτον ἑωρακότων, θάτερος τούτων εἰρήκει· ʽδεῦρο, ὦ πάτερ, σύ τε κἀγὼ πρὸς ἀλλήλους διαλεχθῶμεν, καὶ ὃς ἂν τοῦ ἑτέρου ὑπερτερήσῃ, ἐπιταξάτω τῷ ἡττηθέντι ποιῆσαι, ὅπερ ἂν ὁ νενικηκὼς βούλοιτο.ʼ ὁ δʼ ἔμπορος ἁπλοικῇ τῇ γνώμῃ καὶ ἀπεριέργῳ τῇ γνώσει στοιχῶν ʽναί,ʼ φησί ʽκαὶ γενέσθω καθὼς ἐκέλευσας.ʼ εἶτα ἐκαθέσθησαν πρὸς ἀλλήλους διαλεγόμενοι· καὶ νενίκηκε τὸν ἔμπορον ὁ μῖμος ἐκεῖνος καὶ πανοῦργος*

5 *αὐτῇ ἐπηρώτησε cf.* 128, 16 6 *ἀπεμπολῶνται? cf.* 102, 16 *ἐν τῇ πόλει?* 7 *ἰσόσταθμα τῷ χρυσῷ* P *minus apte* 11 *τινὰ] τις cod. οὐκ ἔστι δυνατὸν τὸν ἐνταῦθα ἐλθόντα ξένον .. μὴ ὑπομεῖναι* P 16 *ἑωρακότες cod.: malui scribere ἑωρακότων quam κἀκεῖνοι. ἐκεῖνοι .. ἑωρακότες* P *structura recentioribus inprimis familiari* 17 *θατέρῳ cod. εἷς ἀπὸ τούτων τῶν τριῶν* P *εἰρήκει cf.* 142, 3 19 *ὑπερτερήσοι. u.* 173, 5. 171, 9 22 *στοιχῶν] τυχών? sed uidetur explicari posse* qua erat simplicitate obsecutus *sc.* illi *καὶ] στέργω καὶ* P 24 *μίμος codex ubique*

ἀνήρ, καὶ ἔφη αὐτῷ· ʽἰδού, ὡς ὁρᾷς, τοῖς λόγοις περιεγενόμην σου. λοιπὸν ὃ ἐπιτρέπω σοι ποίει. καταπιεῖν σε βούλομαι τὰ τῆς θαλάσσης ὕδατα.᾿ ἐπὶ τοῖςδε ὁ ἔμπορος ἐν ἀθυμίᾳ καὶ ἀμηχανίᾳ γενόμενος, οὐκ ἠδύνατο εὐλογοφανῆ τινα τῷ μίμῳ ἀντίθεσιν προβαλέσθαι καὶ τοὺς αὐτοῦ βρόχους διεκφυγεῖν. ἦν δὲ ὁ ἔμπορος γλαυκόφθαλμος· ἔτυχε δὲ καὶ ὁ μῖμος ὁ ἕτερος τῶν τριῶν μονόφθαλμος μὲν ὑπάρχων, γλαυκὸν δὲ καὶ αὐτὸν ἔχων. κἀκεῖνος δὲ ἀναστὰς ἐπελάβετο ἰσχυρῶς τοῦ ἐμπόρου λέγων ʽσύ μου τὸν ἕτερον ἐσύλησας ὀφθαλμόν. ἄγωμεν p. 104 τοίνυν ἀμφότεροι πρὸς τὸν τῆς πόλεως ἄρχοντα, ὡς ἂν δι᾿ αὐτοῦ ἀποδώσῃς μοι ὃν σεσύληκάς μοι ὀφθαλμόν.᾿ ἠκηκόει δὲ ταῦτα καὶ ἡ τὸν ἔμπορον ὑποδεδεγμένη γραῦς, καὶ ὅτι πρὸς τὸν τῆς χώρας ἄρχοντα ὁ μῖμος ἐκεῖνος τὸν ἔμπορον εἷλκε. καὶ τούτοις ἀπιοῦσι συναντήσασα ἔφησε πρὸς τὸν μῖμον· ʽἔασον, ἀξιῶ, τὴν σήμερον ἐγγυητικῶς παρ᾿ ἐμοὶ τὸν ἄνδρα τοῦτον τὸν ἔμπορον, κἀγὼ αὐτὸν ἕωθεν πρωῒ παραστήσω σοι.᾿ ὃ δὲ εἴξας αὐτῆς τῇ αἰτήσει, δέδωκεν αὐτῇ τὸν ἄνθρωπον. ὃν καὶ λαβοῦσα ἡ γραῦς οἴκαδε ἀνεχώρησε. καὶ ἤρξατο κατηγορεῖν αὐτοῦ λέγουσα ʽοὐδέν σοι προπαρήγγειλα προσεκτικῶς ἔχειν ἀπὸ τῶν ἐν ταύτῃ (τῇ πόλει) πολιτῶν, ὅτι γε μῖμοι καὶ πονηροὶ τὴν γνώμην καὶ ποικίλοι πάντῃ πεφύκασι;

9 αὐτὸν] *utrum supplendum* τὸν ἕνα ὀφθαλμὸν *ex* μονόφθαλμος *an addendum ut legatur* καὶ αὐτὸν τὸν ἕνα *uel* καὶ αὐτὸν τὸν ὀφθαλμὸν? *in P est* γλαυκὸν δὲ τὸν ἕνα αὐτοῦ κεκτημένον ὀφθαλμόν 11 ἀπάγωμεν? ἀπέλθωμεν P. *spreui autem* ἄγ᾿ ἴωμεν *cum propter sententiam tum propter formam* 13 ἀποδώσεις μοι] μου? *cf.* 168, 5 19 [τὸν ἔμπορον]? 23 οὐδὲν omnino non 24 ἐν ταύτῃ] ἀπὸ τῶν ἀνθρώπων τῆς πόλεως P: *quare* τῇ πόλει *adieci potius quam* ἐνταῦθα *reponerem*

καὶ μηκέτ' οὖν εἰς τοὐμφανὲς αὐτοῖς διεξέλθῃς τὸ σύνολον· ἐπεὶ δὲ τὸ πρότερον οὐκ ἐπείσθης τῇ παραινέσει μου κἀντεῦθεν εὗρες τὰ τῆς παρακοῆς σου ἐπίχειρα, ἤδη γε νῦν μοι πείσθητι περὶ οὗ σοι συνθέσθαι βεβούλημαι. γνωρίζω γάρ σοι ὡς οἱ τοιοῦτοι μῖμοι ἔχουσί τινα καθηγητὴν γηραιόν, ὃς καὶ τοῖς τῆς πονηρίας πλεονεκτήμασι μάλα τῶν ἄλλων διαφέρει καὶ ὑπερτερεῖ. ὅθεν καὶ πάντες οἱ μῖμοι καθ' ἑκάστην ἑσπέραν παρ' αὐτὸν ὡς καθηγητὴν προσφοιτῶσι καὶ αὐτῷ τὰ ἑκάστῳ δι' ὅλης p. 105 τῆς ἡμέρας εἰρημένα καὶ πεπραγμένα λεπτομερῶς ἀπαγγέλλουσι. νῦν οὖν ἄκουσόν μου τῆς λυσιτελοῦς συμβουλίας, καὶ ἀναστάς, ἄμειψόν σου τὸ σχῆμα καὶ ἑαυτόν ὡς ἕνα τῶν μίμων ἐκείνων ἀμφίασον καὶ σχημάτισον. εἶτα λάθρα διελθών, ἐγκατάμιξον σεαυτὸν τῇ αὐτῶν ὁμηγύρει. πλὴν ὅρα, μὴ φωραθῇς ὑπ' αὐτῶν. συμπορεύθητί τε αὐτοῖς ἕως τοῦ καθηγητοῦ, καὶ πλησίον αὐτῷ στὰς λεληθότως οἷά τις τῶν τυχόντων καὶ κοινῶν τῆς πόλεως ἀνδρῶν, ἄκουσον περὶ ὧν αὐτῷ ἀπαγγελοῦσιν οἱ ὡμιληκότες σοι καὶ ὧν ἐκεῖνος αὐτοῖς ἀποκριθήσεται. καὶ εἴ τι ἄρα παρ' αὐτοῦ αὐτοῖς λαληθήσεται, σημείωσον ἐν τῇ διανοίᾳ σου, ὡς ἂν τὰς πρὸς ἐκείνους αὐτοῦ ἀποκρίσεις τοῖς πολεμοῦσί σοι ἀντιπροθέμενος, κατὰ κράτος αὐτῶν τῆς πανουργίας περιγένοιο· καί σοι μέγιστον ἐντεῦθεν προσγενήσεται τὸ κέρδος. ὁ δ'

1 διεξέλθοις *cod.* ἐξέλθῃς P 2 τοσύνολον 5 συνθέσθαι] συμβουλεῦσαι P 9 *in margine* κγ' 10 διόλης 13 καὶ *om.* P 15 ἀπελθὼν P 17 τε] γοῦν P 18 *aduerbio* πλησίον *recentiores scriptores etiam datiuum subiungunt* (166,2) 20 ὁμιληκότες 24 κατακράτος *cod.* μετὰ δυνάμεως P. *num* κατακρατὴς .. γένοιο? *nam* περιγένοιο *scripsi*: γένοιο *cod.* νικήσῃς P 26 προσγενήσεται τὸ *scripsi*: προσγενήσαιτο *cod.* προσγενήσεται P

ἔμπορος ἐποίησεν, ὅσα πρὸς τῆς γραὸς ἐξεδίδακτο. καὶ μετὰ τὸ ἀμεῖψαι τὸ αὐτοῦ σχῆμα στὰς ἔγγιστα τοῦ γηραιοῦ ἐκείνου, πρῶτα μὲν ἑωράκει πρὸς αὐτὸν παραγενόμενον τὸν τὰ αὐτοῦ ξύλα τοῦ ἀρώματος ὠνησάμενον. ὃς καὶ ἀνήγγειλε τῷ καθηγητῇ ἐκείνῳ λέγων 'ἐγὼ συναντήσας ἐμπόρῳ τινὶ ξύλα p. 106 ἀρωματικά τινα διακομίζοντι εἰς διάπρασιν, πάντα τὸν φόρτον αὐτοῦ ἐξωνησάμην, δοὺς αὐτῷ ὃ συμπεφώνηκα, ἤτοι πίνακα πεπληρωμένον ὧν ἂν δόξειεν αὐτῷ ἐπιζητῆσαι παρ' ἐμοῦ πραγμάτων.' ὁ δὲ καθηγητὴς ἀπεκρίνατο αὐτῷ λέγων 'καὶ τίνα γε ἄρα ἐστὶν ἃ συνεφώνησας αὐτῷ δοῦναι; χρυσός; ἄργυρος;' ὁ δὲ μῖμος 'οὐχί' φησί 'κύριέ μου· τούτων οὐδέν, ἀλλ' εἴδη ἀνώνυμα ἅπερ αὐτὸς βουληθείη, πίνακα πεπληρωμένον.' ἔφη δὲ πρὸς αὐτὸν ὁ καθηγητής· 'μεγάλως ἐσφάλης. εἰ γὰρ τετυχήκει τὸν ἔμπορον ἀπὸ σοῦ ζητῆσαι ψύλλους, πίνακα πεπληρωμένον, ὧν τὸ ἥμισυ θηλείας, τὸ δ' ἕτερον ἥμισυ ἄρρενας ἔχειν, ἀλλὰ μὴν καὶ γλαυκοειδεῖς ὑπάρχειν, ἆρά γε δυνάμεις σὺ εἶχες τοιαύτην δόσιν αὐτῷ παρασχεῖν; πῶς εἶχες αὐτὸν διαδρᾶναι'; ὁ δὲ μῖμος λέγει αὐτῷ· 'οὐκ ἐπὶ τοσοῦτον, κύριέ μου, ὁ ἔμπορος οὗτος σεσόφισται, οὐδὲ τοιαῦτα πανουργεύε-

2 ἑαυτοῦ P   4 τοῦ ἀρώματος *cf.* 106, 1. 168, 6   5 ἀπήγγειλε P *cf.* 172, 4   8 δούς] *adcuratius* δώσων. συμφωνήσας δοῦναι αὐτῷ P   9 δόξοιεν   12 *cf.* 174, 3   14 ἂν βουληθείη?   15 πίνακος πεπληρωμένου *cod.: accusatiuus est in* P   16 τῷ ἐμπόρῳ *cod., quod si uerum est, excidisse* δόξαι *statuendum est.* ἔστω γὰρ τυχὸν· ἐὰν δόξῃ P   17 ἀπὸ *cf.* 163, 2   18 ὧν] οὗ? *an* 19 ἔχειν] εἶναι? *sed nescio an possit hoc idem esse atque nostrum* enthalten, bestehen, esse. καὶ μὴ μόνον ξανθοὺς εἶναι τοὺς ψύλλους καὶ ὑπομαύρους, ἀλλὰ καὶ γλαυκοειδεῖς P. *cf. infra* 174, 7   20 δυνάμεις *scripsi:* δυνάμεως *cod. an praetermissum est* οὕτως?

σθαι ἱκανὸς ἦν ὁ νοῦς αὐτοῦ. ἀλλ', ὡς οἶμαι, εἴτε χρυσὸν εἴτε ἄργυρον ἐξ ἐμοῦ μέλλει ζητήσασθαι.' p. 107 προσελθὼν δὲ καὶ ὁ τῇ διαλέξει τὸν ἔμπορον νενικηκώς, ἀπήγγειλε λέγων· 'κἀγὼ περὶ ὁμιλίας καὶ πλοκῆς λόγων τῷ ἐμπόρῳ συναμιλληθεὶς καὶ νικήσας αὐτόν, τέταχα πιεῖν τὰ θαλάττια ὕδατα ἅπαντα. οὕτω γὰρ παρ' ἡμῶν συμπεφώνητο, ὡς ἐπὶ λόγοις τὸν νικηθησόμενον, εἴ τι ἄρα καὶ ἐπιτραπείη πρὸς τοῦ νικήσαντος, δέξασθαι καὶ ποιήσασθαι.' ὁ δὲ καθηγητὴς πρὸς αὐτὸν ἀπεκρίνατο· 'οὐδὲ σύ γε καλῶς πέπραχας. ἔστω γὰρ ἴσως ὅτι ἐκεῖνος ἀντείποι σοι· „ἄπιθι πρότερον καὶ ἀνάστειλον τοὺς τῇ θαλάσσῃ ἐπιρρέοντας ποταμούς· εἶθ' οὕτω πίομαι τὸ τῆς θαλάττης ὕδωρ, ὃ δὴ καὶ μόνον πεπωκέναι συνεθέμην σοι.“ εἰ οὖν οὗτος οὕτω σοι λέξει, ἆρά γε σὺ εὐχερῶς ἕξεις τοὺς ποταμοὺς ἀναχαιτίσαι τῆς ἀπὸ τῆς θαλάττης ἐπιρροῆς;' ὁ δὲ μῖμος 'ἀλλ' ἴσθι', φησίν 'ὡς οὐχ ἱκανοῖ ἡ τοῦ ἐμπόρου φρόνησις τὸν τοιοῦτον [μοι] ἀντιφράσαι μοι ἀπόλογον.' εἶτα καὶ ὁ μονόφθαλμος μῖμος προσελθὼν ἔφη τῷ γηραιῷ· 'κἀγὼ ἐν τῇ ἀγορᾷ ἑώρακα, κύριέ μου, ἔμπορόν τινα ξένον, ὃς ἦν γλαυκοειδὴς τοὺς ὀφθαλμούς. καὶ p. 108 τοῦτον κατασχὼν εἰρήκειν αὐτῷ· „σύ τε κἀγὼ γλαυκοί ἐσμεν ἄμφω, καὶ σύ μου τὸν ἕνα ἐσύλησας ὀφθαλ-

1 ἦν] est, ut tum poteram cognoscere 6 πιεῖν *aliter* 13, *cf.* 107, 7 7 *uu.* ἐπὶ λόγοις, *cum sententia non efferatur, minus recte ante articulum collocata sunt; qua in re minime diligentes sunt scriptores Byzantini. itaque ne deleueris.* εἰς τὴν διάλεξιν τοῦ λόγου Ven. 14 πεπωκέναι *cf.* 103, 19 18 ἱκανοῖ *quamquam facile mutari potuit in* ἱκανή, *reliqui, cum apud Cinnamum eadem sententia adhibitum legatur* ἱκανοῦσα: *quod quidem* Meinekius *deriuabat a u.* ἱκανεῖν. *hodierni Graeci dicunt* ἱκανεύειν 19 μοι *seclusi*

μόν. λοιπὸν οὐδαμῶς σου ἀπόσχωμαι, ἕως ἂν τὸν ἕνα σου ἐξελὼν ὀφθαλμὸν περιάψω μου τῷ μετώπῳ, ἢ διὰ πάσης σου ἀναρρύσῃ τῆς περιουσίας. ὁ δὲ καθηγητὴς ‘οὐδὲ σύ γέ τι κατώρθωσας’ ἔφη ‘εἰ γὰρ δόξει αὐτῷ ἀντιφράσαι σοι ὡς „πρότερον εἰς σύστασιν τῆς τοιαύτης σου προτάσεως ἔξελέ σου τὸν ἕνα τοῦτον ὃν ἔχεις ὀφθαλμόν, κἀγὼ δ᾽ ὡσαύτως θάτερον τῶν ἐμῶν ἐκβαλῶ ὀφθαλμῶν, καὶ ἄμφω σταθμίσωμεν αὐτούς· καὶ εἰ μὲν ἰσόσταθμοι ἀλλήλοις εὑρηθεῖεν, εὔδηλον ὅτι γε σός ἐστιν ὁ ἐμὸς εἷς ὀφθαλμός· εἰ δέ τις τῶν σταθμιζομένων δύο ὀφθαλμῶν βαρύτερος τοῦ ἑτέρου ἐν τῇ τοῦ ζυγοῦ φανείη πλάστιγγι, οὔκουν σός ἐστιν ὁ θάτερός μου ὀφθαλμός, ἀλλὰ μᾶλλον καὶ ὑπὲρ τῆς αὐτοῦ ἐκβολῆς ἀξίως εὐθυνθήσῃ.“ εἰ οὖν ταῦτά σοι ἀντιλέξειεν ὁ ἔμπορος, οὐχὶ πάντῃ σε ἀποπείσει τῆς ἀντιθέσεως; καὶ τὸ δὴ χείριστον, ὅτι γε τούτου ἐπὶ σοὶ γενομένου, σὺ μὲν τέλεον ἀποστερηθήσῃ τῆς ὁράσεως καὶ πάντῃ γενήσῃ ἀόμματος, οὗτος δὲ ἕνα τῶν ἑαυτοῦ ὀφθαλμῶν ὕστερον ἔχων, πάλιν τὸ φῶς καθορῶν ἔσται.’ πρὸς ταῦτα ὁ μονόφθαλμος μῖμος ὑπολαβὼν λέγει p. 109
τῷ καθηγητῇ· ‘ἀλλ᾽ οὐκ ἐπὶ τοσοῦτον πανοῦργος ὁ ἔμπορος οὗτος, ὡς τοιάνδε μοι πιθανὴν ἀντιπροθέσθαι ἀπολογίαν.’ τούτων οὕτω παρά τε τῶν μίμων καὶ τοῦ αὐτῶν καθηγητοῦ λαλουμένων τε καὶ ἀντιφθεγγομένων, ἠκροᾶτο μάλα καλῶς καὶ λαθραίως παρ᾽ ὅλην ἐκείνην τὴν νύκτα ὁ ἔμπορος καὶ τῇ ἰδίᾳ ταῦτα συνετήρει καρδίᾳ. πρωΐας δὲ γενομένης

1 ἀπόσχομαι: *coniunctiuum qui sit futuri loco restitui* 5 δόξοι. *cf.* 22, 22 6 σύστασις] *confirmatio* 11 εἷς? 16 ἀποπείσῃ. deterrebit 20 πάλιν *cf.* 108, 19 23 τοιάνδε *cf.* 3, 1 25 ἀντιφθεγγομένων *deriuandum a u.* ἀντιφθέγγω 28 συνετήρει τῇ καρδίᾳ] Luc. 2, 19. 51. Dan. 7, 28. *infra* 176, 4

παραγίνεται πρὸς τὸν ἔμπορον ὁ τὰ ἀρωματικὰ ὠνησάμενος ξύλα. καί φησιν ὁ ἔμπορος· ‛ἀπόδος μοι, ὦ ἑταῖρε, εἴ τί μοι συνεφώνησας παρασχεῖν ὑπὲρ τοῦ διαπραθέντος σοι φόρτου.’ ὁ δὲ μῖμος ἔφη αὐτῷ· ‛ζήτησον εἴ τι καὶ βούλοιο, κἀγὼ ἑτοίμως παράσχω σοι.’ ὁ δ’ ἔμπορος· ‛θέλω ἵνα μοι δῷς ἐν τῷ πίνακι ψύλλους καθ’ ὅσον χωρήσειεν, ὧν τὸ μὲν ἥμισυ στῖφος ἄρσεν, θῆλυ δὲ τὸ ἕτερον ἥμισυ, καὶ πάντας γλαυκοειδεῖς τὴν ἰδέαν αὐτῶν.’ οὕτως εἰπὼν τῷ μίμῳ ὁ ἔμπορος ἰσχυρῶς αὐτὸν διετέλει ἀπαναγκάζων καὶ πολλῇ τῇ βίᾳ πρὸς αὐτὸν κεχρημένος, ἄχρις ἂν ὁ μῖμος καὶ ἄκων ἐδεδώκει αὐτῷ πλείονα ποσότητα τῆς δικαίας τιμῆς τῶν ἀρωματικῶν αὐτοῦ ξύλων· καὶ οὕτως ἀπηλλάγη τῶν τοῦδε ὀχλήσεων. ἐντυχὼν δὲ καὶ τοῖς ἑτέροις δυσὶ μίμοις, τῷ τε περὶ τοῦ ὀφθαλμοῦ διαμαχομένῳ καὶ τῷ τὴν θάλασσαν καταπιεῖν αὐτῷ ἐπιτρέψαντι, ἀπῄτει κἀκείνους πεποιηκέναι ἃ λάθρα παρὰ τοῦ αὐτῶν καθηγητοῦ ἠκηκόει.
p. 110 *καὶ διετέλει ἄγχων κἀκείνους, ἕως ἂν δι’ ὅσων δομάτων ὁ ἔμπορος ἐξ αὐτῶν (πεισθῆναι) ἠθέλησεν ἀπολαβεῖν· καὶ οὕτως ἀπηλλάγησαν τῶν ὀχλήσεων. καὶ νῦν, ὦ δέσποτα βασιλεῦ, ἐξ ὧν σοι διηγησάμην γίνωσκε ὅτι οἵ τε δύο παῖδες ἐκεῖνοι, ὁ τριετὴς καὶ ὁ πενταετής, περὶ ὧν προειρήκειν σοι, καὶ οὗτος ὁ γηραιὸς καθηγητὴς πολλῇ τῇ γνώσει καὶ τῇ συνέσει κεκόσμηνται· καὶ κατ’ ἐκείνους κἀμὲ ὁ διδάσκαλος ὁ ἐμὸς ἀπετέλεσε διδάσκαλον.’*

7 *στίφος* 9 *in margine κδ′* 10 *ἐπαναγκάζων?* 11. 19 *ἂν] οὗ? δή? ἕως οὗ* P 20 *πεισθῆναι adieci* 21 *ἀπολαβεῖν] uidetur scribendum ἀπέλαβεν* (12). *ἀπολάβῃ ne reponatur prohibet sententia. ἕως οὗ ἔλαβεν . . ὅσα ἠθέλησεν* P 23 *cf.* 161, 16 27 *διδάσκαλος cod., om.* P

Ὁ δὲ βασιλεὺς ὑπολαβὼν ἔφη τῷ υἱῷ· ‘γνώρισόν μοι, τέκνον, πῶς ἐν μὲν τοῖς προλαβοῦσι τρισὶν ἔτεσιν οὐ μεμάθηκας τὴν νῦν προσγενομένην σοι λογιότητα, νυνὶ δὲ ἐν μόνοις τοῖς παρελθοῦσιν ἓξ μησὶν ἐπὶ τοσοῦτον ἐσοφίσθης;’ ὁ δὲ παῖς τῷ βασιλεῖ ἀπεκρίνατο ὡς ‘τῷ τότε, ὦ βασιλεῦ, ἔτι μου νηπιάζοντος, οὐ συνήργουν ἀλλήλαις αἱ προσοῦσαί μοι τοῦ σώματος καὶ τῆς ψυχῆς αἰσθήσεις. τότε γάρ μου τὸ σῶμα ἀφήλικος πάντῃ τυγχάνοντος, οὔτε οἱ ὀφθαλμοὶ οὔτε ἡ γλῶττα οὔτε ἡ καρδία ἀλλήλοις συνεκρότουν πρὸς τὴν τῆς διδασκαλίας μάθησιν. οὐδὲ γὰρ δυνατὸν ἔτι νηπιόφρονα πεφυκότα γνῶσιν εὐχερῶς ἐκδιδάσκεσθαι, καθότι ἅπαν παιδίον ταῖς παιδιαῖς καὶ τῇ ἀργίᾳ ἐνηδόμενον, οὐ προσεκτικῶς τὸν νοῦν περὶ τὴν διδασκαλίαν διατίθεται. κἀγὼ δέ, ὦ βασιλεῦ, τὸν αὐτὸν τρόπον τῷ τότε τῇ τε ἡλικίᾳ καὶ τῇ διανοίᾳ διακείμενος, οὐδὲν ὅλως τῶν p. 111 *διδασκομένων ἠδυνάμην καρπώσασθαι, ἅτε μὴ τούτοις τὸ παράπαν τὸν ἐμαυτοῦ νοῦν προσερείδων, ἀλλ’ ὡς νηπιώδης διεσπαρμένον αὐτὸν ἔχων. ἤδη δὲ ὁ διδάσκαλός μου Συντίπας τὸ νεάζον τῆς ἐμῆς ἡλικίας περισκοπῶν, οὐκ ἐμβριθῶς με ἐξεδίδασκεν οὐδὲ τοῖς δυσχερέσι κατ’ ἀρχὰς λόγοις πρός με ἐχρήσατο, ἵνα μὴ τῷ τῶν δυσχερῶν καὶ δυσλήπτων βάρει ἐξ ἀρχῆς καταπονηθείς πάντα τῆς ἐμῆς διανοίας ἀπορρίψω τὰ διδασκόμενα — καὶ γὰρ ᾔδει μου ὁ διδάσκαλος ὅτιπερ, εἰ ἀμέτρως ἐξ ἀρχῆς με ἐκδιδάξειεν, εὐχερῶς ἂν εἶχον ἀπ’ αὐτοῦ ἀφηνιάσαι καὶ*

5. 16 *τῷ om.* P. *cf.* 152, 7 7 *συνῆργον* 8 *μου* P *τότε scripsi: οὔτε cod.; ἀφῆλιξ recentioribus est ἄνηβος* impuber. Lob. Phr. 84. St. Th. I, 2, 2642 15 *διατέθειται?* 16 *τῷ om.* P 23 *καταρχὰς et* 25. 27 *ἐξαρχῆς* 28 *ἀφηνιᾶσαι. cf.* 153, 23

ἀποστῆναι, ἅτε βασιλέως τυγχάνων υἱός — ἀλλὰ κατὰ μικρὸν τοῖς λόγοις με διαρρυθμίζων οὕτω με δεξιῶς εἰς τὸ τέλειον τῆς φιλοσοφίας ἀνήγαγε. κἀγὼ δὲ τελεωτέρας ἐφαπτόμενος φρονήσεως συνετήρουν ἐν τῇ καρδίᾳ πάντα δὴ τὰ παρ' αὐτοῦ μοι ἐκδιδασκόμενα, καὶ συναγαγὼν τὸν πρῴην μου διασπαρέντα λογισμόν, τῶτε ὥτε συντείνας πρὸς ἀκοὴν καὶ τὴν γλῶτταν πρὸς λόγων μελέτην τε καὶ πλοκήν, καὶ p. 112 τὰς χεῖρας πρὸς διάστιξιν (μεμαθηκὼς) συλλαβεῖν, οὕτως ἐπὶ (τὸν) καιρὸν τῶν ἓξ καὶ μόνων μηνῶν πάντα δὴ τὰ διδαχθέντα μοι ἀκριβέστατα κατέλαβον, καὶ ἐν μεθέξει πάσης φιλοσοφίας καὶ συνέσεως γέγονα, συναραμένης πάντως καὶ τῆς θείας δυνάμεως ἐμοί τε καὶ τῇ παρὰ τοῦ ἐμὲ μυσταγωγοῦντος σπουδῇ.' τούτοις ὁ βασιλεὺς τοῖς τοῦ παιδὸς ῥήμασι σφόδρα τὴν καρδίαν ἡσθείς, εὐχαριστηρίους τῷ θεῷ λόγους ἀνέπεμπε καὶ τὴν τοῦ παιδὸς σύνεσιν καὶ φιλοσοφίαν ἐκθειάζων διετέλει τὰ μέγιστα, καὶ τῷ Συντίπᾳ ὡμολόγει τὰς χάριτας. εἶτα κελεύει παραστῆναι αὐτῷ τὴν πονηρὰν ἐκείνην γυναῖκα, ἥτις τὸν αὐτοῦ υἱὸν ἀπολέσαι ἐμηχανᾶτο καὶ ταύτης παραστάσης, λέγει πρὸς αὐτὴν ὁ βασιλεύς· 'ἀνακάλυψόν μοι, ὦ γύναι, μηδὲν κατὰ φόβον ὑποστειλαμένη, τίνος χάριν τὸν ἐμὸν υἱὸν ἀπολέσαι ἔσπευδες, καὶ τίς ἦν ὁ τρόπος τῆς τοιαύτης σου σκαιωρίας;' ὑπολαβοῦσα δὲ ἡ γυνὴ ἔφη· 'οἶδας, ὦ κράτιστε βασιλεῦ, ὡς οὐδέν τινι τῶν ἀνθρώπων τῆς ἰδίας ζωῆς καθέστηκε προσφιλέστερον.

2 *διαριθμίζων* 5. 11 *μοι om.* P 9 *μεμαθηκὼς et* 10 *τὸν adieci, ut extant in* P. *cf.* 112, 1. 2 14 *περὶ* 19 *ὁμολόγει* 21 *ἀπωλέσαι m. pr., corr. m. sec.* *παραστησάσης* 26 *οἶδας, non οἶσθα ut minus adcurate inspicienti uideatur, est in codice*

κἂν γάρ τις πενίᾳ εἴη συζῶν ἢ καί τινι βιωτικῇ περι- p. 113 *πετείᾳ πλέξοιτο, ἀλλ᾽ ὅμως καὶ οὗτος τῆς ἰδίας ζωῆς περιέχεται. ἐγὼ τοίνυν τὸν παῖδά σου τούτου χάριν τῷ σῷ προστάγματι πρὸς ἐμαυτὴν ἔλαβον, ὡς διὰ τὴν τοῦ κράτους σου θεραπείαν κατὰ μόνας παρ᾽ αὐτοῦ διαγνῶναι ὑπὸ ποίας αἰτίας ἐπεχόμενος οὐ φθέγγεται. καὶ διετέλουν παντοιοτρόποις πεύσεσι καὶ θωπείαις τοῦτον ὑπερχομένη καὶ τὸ τῆς σιγῆς αὐτοῦ σκληρὸν μειλιχίοις τοῖς λόγοις διαλεαίνουσα, ἄχρις ὅτου παρεσκεύασα τοῦτον ἕνα λόγον μοι ἀποκρίνασθαι. ὃν δὴ καὶ ὀργίλως καὶ ἀποτόμως φθεγξάμενος εἰρήκει πρός με ὡς ‘οὐδέν σοι, γύναι, τό γε νῦν ἔχον ἀποκριθήσομαι, ἄχρις ὅτου ἑπτὰ ἡμέραι τὸ ἀπὸ τοῦδε παρέλθοιεν. εἶθ᾽ οὕτως κατ᾽ ἀξίαν σοι ἀπολογήσομαι.’ ἐγὼ δὲ τούτῳ τῷ λόγῳ σφόδρα ἐκθροηθεῖσα καὶ περιδεὴς λίαν καταστᾶσα καὶ κινδύνῳ παρὰ τοῦ παιδὸς ὑποβληθῆναι ὑφορωμένη, συνεῖδον μηχανικῶς τὸν ἐξ αὐτοῦ διαφυγεῖν ὄλεθρον. κἀντεῦθεν ὑπὸ σατανικῆς ἐνεργείας παρορμηθεῖσα κατεψευσάμην τοῦ παιδός σου, καὶ δολερῶς αὐτοῦ ἐπὶ τοῦ κράτους σου κατηγόρησα. καὶ τὸ* p. 114 *ἁμαρτηθέν μοι ἐπίσταμαι καὶ φανερῶς τοῦτο καθομολογῶ μὴ κατά τι ἀπαρνουμένη. σὺ δ᾽ ὦ μέγιστε βασιλεῦ, ἐπ᾽ ἐμοὶ τὰ δοκοῦντά σοι πρᾶξον, καθὼς ἂν εὐδοκήσειε τὸ θεοκυβέρνητον κράτος σου.’ ὁ δὲ*

2 *ἰδίας*] *in margine γρ. οἰκείας* 6 *διαγνῶναι cod.: διαγνοίην?* *αἰτίας cf.* 8, 9 9 *non oportet scribi μειλιχιωτάτοις* *διαλεαίνουσα*] permulcens 14 *τοαποτοῦδε* 16 *ἐκθροηθεῖσα i. e. διαταραχθεῖσα* P 17 *ὑφορωμένη mutata l. ο in ω m. sec.* *παιδός σου? ὑποβληθῆναι est i. q. antiquis ὑποβληθήσεσθαι* 18 *συνεῖδον .. διαφυγεῖν ut ἔδοξέ μοι, ἔγνων δ.* decreui; *cf.* Hase *ad Leon. Diac.* p. 468 *sq.* 23 *in margine κε´*

βασιλεὺς ἐμβλέψας τοῖς παρισταμένοις μεγιστᾶσιν αὐτοῦ, λέγει πρὸς αὐτούς· ‘ὁποίαν ὑμεῖς παρέχετε βουλὴν τῇ βασιλείᾳ μου περὶ τοῦ τοιούτου πράγματος, καὶ ὁποίας ἡ γυνὴ αὕτη τῆς τιμωρίας (ἂν) εἴη ἀξία’; εἷς δὲ τῶν μεγιστάνων ὑπολαβὼν λέγει τῷ βασιλεῖ· ‘δίκαιόν ἐστιν, ὦ βασιλεῦ, χεῖρας καὶ πόδας ἀποτμηθῆναι αὐτῆς.’ ἕτερος δὲ ‘οὐχ οὕτως εὖ ἔχει’ φησί ‘μοι τὸ δίκαιον· ἀλλὰ προσήκει ζώσης αὐτῆς ἐξορυχθῆναι τὴν καρδίαν.’ ἄλλος δὲ πάλιν αὐτῶν ἀντέφη τὴν γλῶτταν αὐτῆς ἐκκοπῆναι. ἡ δὲ γυνὴ τῶν τοιούτων ἀκροωμένη ἀποφάσεων καὶ οἵας περὶ αὐτῆς τῷ βασιλεῖ τὰς τιμωρίας ὑποτιθέασι, τοιόνδε μῦθόν τινα πρὸς ἐκείνους ἐφθέγξατο, ‘ἔοικεν, ὦ μεγιστᾶνες’, λέγουσα ‘τά τε παρ’ ὑμῶν ἀποφαινόμενα κατ’ ἐμοῦ παραδείγματι ἀλώπεκός τινος, ἥτις νυκτὸς εἴς τινα πόλιν εἰσήρχετο. ἦν δὲ ἡ αὐτῆς εἰσέλευσις διὰ θυρίδος οἰκίσκου γινομένη ἀνδρός τινος σκυτέως. ὁσάκις δὲ δι’ αὐτῆς τὴν ἐκείνου οἰκίαν εἰσήρχετο, τὰ τοῦδε κατήσθιε δέρματα. εἶτα ὁ σκυτεὺς ἐκεῖνος ἑωρακὼς τὰ γεγονότα ἐν τοῖς αὐτοῦ δέρμασι σπαράγματα, εὐθὺς αὐτῇ παγίδα ἰσχυροτάτην
p. 115 ἵστησιν. ἡ δὲ ἀλώπηξ μετὰ ταῦτα κατὰ τὸ αὐτῇ σύνηθες εἰσερχομένη δι’ ἐκείνης πάλιν τῆς θυρίδος, παραχρῆμα τῇ παγίδι συλλαμβάνεται. πονηρὰ δὲ ἡ κερδὼ καὶ ποικιλότροπος οὖσα, διά τινος εὐμεθόδου μηχανῆς τὴν περιέχουσαν αὐτὴν παγίδα διέφυγε. καὶ περιήρχετο ἀνὰ πᾶσαν τὴν πόλιν τοῦ ἐντυχεῖν τινι ἑτέρᾳ θυρίδι, δι’ ἧς δυνηθείη ἐξιέναι τῆς πόλεως· ἡ δὲ πανταχόθεν τετείχιστο. καὶ παρ’ ὅλην

2. 4 *cf.* 188, 12 4 ἂν *adieci* 8 μοι *om.* P. μοι δοκεῖ?
10 ἐκκοπῆναι πρέπον ἐστί P. *exciditne* πρέπει *uel* δεῖ?

τὴν νύκτα κοπιάσασα, οὐδ᾽ ὅλως ἔξοδόν τινα εὑρηκέναι ἴσχυσε· τῆς δέ γε ἡμέρας διαυγαζούσης, διελογίσατο καθ᾽ ἑαυτὴν καὶ εἶπεν ὡς ‘εἴπερ ἡ ἡμέρα ἐπισταίη, ὑπὸ τῶν κυνῶν θεαθήσομαι, καὶ οὐ πρότερόν μου ἀπόσχωνται, ἄχρις ἂν μου τὰς σάρκας διαμερίσωνται. ἀλλ᾽ ἔγωγε οἶδα, τί με δεῖ πεποιηκέναι.’ καὶ ταῦτα εἰποῦσα ἐπὶ τὴν πύλην πορεύεται τῆς πόλεως, καὶ ἑαυτὴν ἐγγὺς τῆς φλιᾶς ἔσωθεν ἐκτανύσασα, προσεποιεῖτο εἶναι νεκρά τε καὶ ἄπνους. τούτῳ δὲ τῷ τρόπῳ ἐχρήσατο προσμένουσα διανοιγῆναι τὴν τῆς πόλεως πύλην, ὡς εὐθὺς ἑαυτὴν ἀθρόον δι᾽ αὐτῆς φυγάδα ποιῆσαι καὶ τοῦ ὑφορωμένου ἀπαλλαγῆναι κινδύνου. οὕτω δὲ αὐτῆς ὡς νεκρᾶς ἐκταθείσης καὶ τῆς πύλης ὑπὸ τὴν ἕω διανοιχθείσης, ἑωράκει τις ταύτην καὶ πρὸς ἑαυτὸν εἰρήκει· ‘ὄντως p. 116 ἡ κέρκος τῆς ἀλώπεκος τῆσδε λίαν ἐστὶ χρησιμεύουσα εἰς ἕτοιμον σπόγγον μυλικοῦ ἐργαστηρίου.’ ὃς τοῦτ᾽ εἰπὼν τὴν ἑαυτοῦ σπασάμενος εὐθέως μάχαιραν, ἀπέτεμεν αὐτήν. ἡ δὲ ἀλώπηξ τῆς οὐρᾶς αὐτῆς ἐκκοπείσης σιωπῶσα γενναίως ὑπήνεγκεν. εἶτά τις ἕτερος παριὼν καὶ ταύτην ἑωρακὼς ἔλεγεν οὕτως· ‘ἀκήκοα ὡς εἴ τις τῶν νηπιαζόντων ἐπὶ πολὺ διατελοίη κλαυθμηρίζων, οὐδὲν ἄτερον αὐτῷ εἰς θεραπείαν καὶ ἀπόπαυσιν τοῦ κλαυθμοῦ αὐτοῦ ὡς ὦτα ἀλώπεκος. ἅτινα εἰ παρὰ τοῦ παιδίου τοῦδε φέροιτο,

1 *εὑρηκέναι ἴσχυσε i. e. εὑρεῖν ἠδύνατο* 4 *θεαθήσομαι*] *θηραθήσομαι? κρατηθήσομαι* M 5 *ἀπόσχονται* 10 *cf.* 177, 17 11 *ὡς scripsi: καὶ delendumne εὐθύς?* 186, 12—13. 12 *ὑφορωμένου cod., l. ο in ω mutata m. sec.* 15 *ἑωράκει cf.* 138, 23 17 *ἕτοιμον*] iam perfectum, cui nihil deest *σπόγγον*] *εἰς τὸ σπογγίζειν τὸν μυλῶνα* P 23 *ἄτερον*] *ἕτερον?* *εἰς θεραπείαν καλὸν* P 25 *παρά*] *ὑπὲρ in archetypo legit qui* P *recensuit: κρατεῖν αὐτὰ πάντοτε ἐπάνω τοῦ παιδός*

οὐκ ἐπὶ πολὺ ὁ κλαυθμὸς αὐτῷ παρατείνει.' καὶ ταῦτα εἰπὼν τὰ τῆς ἀλώπεκος ἐκείνης ὦτα μαχαίρᾳ ἀπέτεμεν. ἤνεγκε δὲ γενναίως καὶ τοῦτο ἡ ἀλώπηξ, (ἵνα) διὰ τὴν τῆς νεκρότητος (ἔμφασιν) ὑποφύγῃ θάνατον. ἕτερος δέ τις ἐκεῖσε τὴν διέλευσιν ποιούμενος, ἔφη πρὸς τοὺς ἑτέρους· 'κἀγώ', φησίν 'ὦ ἄνδρες, ἠνώτισμαι ὡς εἴπερ τις τοὺς ὀδόντας ἀλγῶν ἔσται καὶ ὀδυνώμενος, ὀφείλει ἀλώπεκος ἐκβαλεῖν ὀδόντ(α) καὶ τῷ πάσχοντι ἐπιτιθέναι ὀδόντι, καὶ εὐθὺς τῆς τοῦ πάθους θεραπείας τεύξεται.' οὕτως οὖν κἀκεῖνος ὁ ἀνὴρ εἰρηκώς, αὐτίκα λίθον ἀράμενος, πάντας τοὺς τῆς ἀλώπεκος ὀδόντας συνέτριψεν· κἀκείνη δὲ καὶ ταύτην γενναίως ὑπέμεινεν τὴν τιμωρίαν. καὶ οὕτω διετέλει τὰ ἀλγεινὰ ὑπομένουσα, ἄχρις ὅτου ἕτερός τις ἀνὴρ παρερχόμενος ἔφη ὡς 'κἀγὼ ἀκήκοα, ὅτιπερ οὖν ἀκεσώδυνον φάρμακον ἡ τῆς ἀλώπεκος χρησιμεύει καρδία, καὶ ὅτι πάσαις ταῖς νόσοις θεραπευτικόν ἐστιν.' οὕτως οὖν κἀκεῖνος εἰπών, εὐθὺς μάχαιραν σπασάμενος ἐξορύξαι τὴν αὐτῆς ἐπειρᾶτο καρδίαν. κατ' ἐκείνην δὲ τὴν ὥραν ἔτυχεν καὶ τὴν πύλην τῆς πόλεως διανοιγῆναι·

4 ἵνα et ἔμφασιν adieci 5 τὸν θάνατον? inde a pr. διά in uersu extremo posita (cod. f. 62ᵛ m.) usque ad u. εἰσέρχεται p. 186, 8 (cod. 63ᵇ in margine superiore) ab alio homine postea exarata sunt, ut lacuna quam prior librarius reliquerat expleretur. hic autem pergit p. 186, 9 (f. 63ᵛ) uu. πρὸς τὸ usque ad f. 64 versum 5 ab imo margine; inde usque ad libri finem omnia exarata sunt a librario altero. post ἐφιεμένοις 196, 21 $3^3/_4$ uel $4^3/_4$ versuum spatium est uacuum διέλευσιν: sic saepissime 6 καγῶ 7 ἠνώτις με ὑπέρτης ἀλγὼν: innumeris locis sic peccauit librarius 8 ὀδυνόμενος ἐκβάλλεῖν 9 cf. 116, 14 ἐπὶ τηθῆναι 10 οὗτος 11 εἰρηκώς] ὁ corr. m. sec. in ὠ 13 κἀκήνη γεναίως 14 ἀλγηνὰ 16 ἔφη· ὡς 17 χρησιμέβη 18 νόσαις οὗτος 19 ἐξωρύξαι 20 κατεκείνην 21 διανοιγῆναι] ι m. sec. corr. in οι

καὶ αὐτίκα ἡ ἀλώπηξ ἐκπηδήσασα πολλῷ τῷ τάχει p. 117 διὰ τῆς πύλης ἀπέδρασε καὶ τὸν ἐπηρτημένον διέφυγεν κίνδυνον. Κἀγὼ δὲ τὰ νῦν ἡ ἀθλία, ὦ βασιλεῦ, πάντα μὲν τἄλλα ἅπερ οἱ τοῦ κράτους σου μεγιστᾶνες συνεβουλεύσαντο τῇ βασιλείᾳ σου, ἑτοίμως ἔχω ὑπομένειν, τὸ δὲ τὴν καρδίαν μου ἐξορυχθῆναι ὑπενεγκεῖν οὐ δεδύνημαι. θανάτου γὰρ βιαίου παραίτιον πέφυκεν.'

'Επὶ τούτοις οὖν ἀποκριθεὶς ὁ τοῦ βασιλέως υἱὸς λέγει τῷ πατρὶ καὶ τοῖς παρεστηκόσι μεγιστάνοις· 'ἀληθῶς ἡ γυνὴ καὶ πρεπόντως φησίν· οὐ χρὴ γὰρ τοὺς τῶν ἀνδρῶν συνετοὺς καὶ φρενήρεις τὰ παρὰ τῶν γυναικῶν σφαλλόμενα ὑπὸ μέμψιν καὶ αἰτίασιν τιθέναι. λοιπὸν οὖν οὐδὲ ταύτῃ τῇ γυνῇ τιμωρίας καὶ ποίνης προσήκει ἀπόφασις, ἀλλὰ τοῦτο μόνον δέον ἐπ' αὐτῇ γενέσθαι, ἵνα ἡ αὐτῆς κεφαλὴ ἀποξυρισθῇ καὶ ἡ ὄψις αὐτῆς ἀσβόλῃ περιχρισθῇ, κώδωνά τε τοῦ αὐτῆς τραχήλου ἐξαρτήσωσιν, εἶτα καὶ ὄνῳ αὐτὴν ἀντιστρόφως ἐποχεῖσθαι παρασκευάσαντες ἀνὰ πᾶσαν θριαμβεύσωσιν τὴν πόλιν, ἔμπροσθεν δὲ p. 118

1 τάχος *m. pr.*, ει *supra scripsit m. sec.* 2 ἀπέδρα (σ *supra*): *sic recentiores* 3 ταν῀ν 4 κράτου῀ 5 ἕτοιμος 6 ὑπὸ μένειν *m. pr.*, ει *m. sec. mutauit in* αι 7 ὑπενεκεῖν 8 παρ' αἴτιον πέφυ (κ *supra*), 9 ἀποκρι (θ' *supra*), 11 ἀλη (θ` *supra*), πρεπόν (τ *supra*) *et sic feer ubique syllaba extrema supplenda: suppleui autem, tum demum monito lectore ubi aliquid eius interesse uel dubitari posse uidebatur* 10 παρεστικῶσι 12 τοὺς τῶν ἀνδρῶν συνετοὺς *hoc ordine scriptor ipse protulerit* φραινήροις, *supra scriptum est* φρονίμους 13 σφαλόμενα ὑπομέμψιν ἐτίάσιν 14 *in hoc scriptore non sum ausus reponere* γυναικί *sed intactum reliqui quod est in codice* γυνῇ 15 προσεί^κ *in margine m. al.* ἀποφάναι 16 ἀποξηρισθ` *in margine* κς' 18 τοῦ] τὸ *m. pr.*, τῆς *m. sec.* ἐξαρτήσουσιν 19 ἐποχίσθαι παρασκεβάσαν (τ *supra*)

αὐτῆς δύο συμπεριτρεχόντων κήρυκες, ὁ μὲν εἷς αὐτῆς προπορευόμενος, ὁ δὲ ἕτερος ὄπισθεν ἐπακολουθῶν· οἳ καὶ ὀφείλουσιν βοᾶν εἰς ἐπήκοον πάντων ὅπερ ἐξειργάσατο ἀτόπημα ἡ γυνή.' οὕτως εἰπόντος τοῦ παιδὸς ἥσθη ὁ βασιλεὺς ἐπὶ τοῖς λαληθεῖσι, συνεμαρτύρουν δὲ καὶ οἱ μεγιστᾶνες ἀποδεχόμενοι. καί φησι πρὸς τὸν παῖδα ὁ βασιλεύς· 'ἄριστα, ὦ τέκνον, λελάληκας καὶ συνετῶς τῷ ὄντι ἡμῖν συμβεβούλευκας. γενέσθω λοιπὸν ἐπὶ τῇ γυναικί, ὅπερ ὁ ἐμὸς υἱὸς ἡμῖν συνεβούλευσεν.' καὶ διεπράχθη ἐπὶ τῇ πονηρᾷ γυναικὶ καὶ σκολιᾷ ὅπερ ὁ τοῦ βασιλέως υἱὸς τῷ πατρὶ περὶ αὐτῆς συνήνεσεν.

Εἶτά φησιν ὁ βασιλεὺς τῷ φιλοσόφῳ Συντίπᾳ· 'ἀνακάλυψόν μοι, ὦ φιλόσοφε, καὶ ἀριδήλως παράστησον, πόθεν ἡ τοσαύτη σύνεσις καὶ φιλοσοφία τῷ υἱῷ μου προσεγένετο· μήτοι ἐξ αὐτῆς τῆς γεννήσεως φυσικὴν ἔσχε τὴν λογιότητα ἢ μᾶλλον διὰ τῆς σῆς ἐπιμελείας σεσόφισται'; ὑπολαβὼν δὲ ὁ Συντίπας λέγει τῷ βασιλεῖ· 'ἡ τοῦ υἱοῦ σου σύνεσις ἅμα καὶ γνῶσις, ὦ βασιλεῦ, ἄνωθεν αὐτῷ ἐν πρώτοις κεχορήγηται· ἀλλὰ καὶ αὐτὴ ἡ τῆς γεννήσεως αὐτοῦ τύχη τὸ τῆς γνώσεως προτέρημα, ὡς σὺ μὲν ἔφης, πεπλούτηκεν· ἔπειτα δὲ καὶ ὑπὸ τῆς ἐμῆς

1 συμπεριτρεχόντων κήρυκες *ego*: σὺν περιτρέχον (τ supra) κύρηκες *cod. uolebat librarius* συμπεριτρέχοντες *nominatiuo absoluto; melius quidem dixisset* συμπεριτρέχωσι 3 οἳ] εἶ *cod.* βοὰν 4 ἐξήργάσατο οὗτος 5 ἥσθη] ἴσθη *cod.* τῆς λαληθῆσι *m. pr., corr. m. sec.* 9 συν βεβούλευ (κ supra) γινέσθω 8. 12 τὸ 14 μοι] μ *cod.* 16 προσσεγέννετο (τ supra) μη *cf. ad* 119, 14. *per compendium aliquotiens scriptum est quod et* γένεσις *et* γέννησις *legi potest, aliquotiens diserte* γέννησις 21 πρώτ κεχωρήγηται αὗτη 22 σὺ] σοὶ *cod.* μὲν] ἀκμήν *i. e.* ἄρτι? γε?

πάντως ἐπιμελείας καὶ σπουδῆς τὸ ἐν γνώσει ἀπαράμιλλον ἔσχηκε. πλὴν περὶ τούτου καί τινός μου p. 119 *διηγήσεως, ὦ βασιλεῦ, ἄκουσον.' ὁ δὲ βασιλεὺς 'φράσον', φησίν 'ὦ βουλὴν σοφώτατε Συντίπα.' ὃ δὲ τοιαύτης πρὸς αὐτὸν ἐξηγήσεως ἀπήρξατο·*

'Βασιλεύς τις ἦν ἐν τοῖς ἔκπαλαι χρόνοις· ὃς δὴ καὶ πλείστους ἐφ' ἑαυτὸν φιλοσόφους ἐπλούτει. ὧν ὁ εἷς ἐτύγχανεν τῶν ἄλλων μᾶλλον διαφορώτατος. ἦν δὲ ἐκείνῳ τῷ βασιλεῖ καί τις ἕτερος ἀνὴρ τὴν ἀστροθεάμονα τέχνην ἄκρως ἐξησκημένος. τῷ γοῦν πρωτεύοντι ἐκείνῳ τοῦ βασιλέως φιλοσόφῳ υἱὸς γεννᾶται· περὶ οὗ καὶ τῷ βασιλεῖ ἀνηγγέλθη. ὁ δὲ βασιλεὺς εὐθὺς τὸν ἀστρολόγον προσεκαλέσατο· καὶ οὗτος περὶ τοῦ τεχθέντος τῷ φιλοσόφῳ παιδὸς πρότερον μεμαθηκώς, ἐξήτασεν περὶ τῆς αὐτοῦ τύχης, καὶ τῷ βασιλεῖ δεδήλωκεν ὡς 'ὁ παῖς οὗτος, ὦ δέσποτα, ἐξ ὧν με οἱ τῶν ἀστέρων δρόμοι διδάσκουσι, τὴν τῶν λῃστῶν καὶ κακούργων πονηρίαν κέκτηται· καὶ ἐπὶ μακροὺς βιοτεύσει τοὺς χρόνους· ἀλλὰ καὶ κατ' αὐτὴν τὴν τρισκαιδεκαετίαν τῆς αὐτοῦ ζωῆς p. 120

1 *ἀπαράμειλον* 4 *βου*[λ] *σοφότατε* 5 *τιαῦτης* 6 *δὴ*] *δὲ cod.* 7 *πλήστους ἐφ' ἑαυτὸν i. e. παρ' ἑαυτῷ ἐπλούτει cf. p.* 182, 23 8 *μάλον cod. cf.* 12, 11. 186, 20 *διαφορότατος cod. διαφορώτερος? μειζότερος λίαν* P 10 *ἄκρος ἐξ ἰσκημένος* 14 *οὗτος*] *του*[τ] *cod.; nolui tamen scribere τοῦτον .. μεμαθηκότα* (15) *cum propter subiectum l.* 15. 16. *importune mutatum, tum quod uu. περὶ τ. τ. τ. φ. π. πρότερον μεμαθηκότα non solum abundarent, sed inepte addita essent. poterat quidem post παιδὸς intercidisse ἠρώτησεν. ὃ δὲ* 12. 16 *τῷ*] *τὸ cod.* 15 *μεμαθη*[κ] *ἐξέτασεν* P 18 *κέκτηται* iam nunc in se habet latentem, *ut non oporteat scribi κεκτήσεται* 19 *βιωτεύ*[σ] 20 *κταυτὴν τρεῖς καὶ δεκατιαίαν. debebant quidem omnia illa uocabula composita quorum posterior pars est ἔτος exire in έτεια, sed exeunt in ετία. alia est ratio u. ἀτυχία et similium*

μεγίστην κακουργίαν καὶ κλοπὴν διαπράξεται.' τούτων δὲ οὕτως παρὰ τοῦ ἀστρολόγου ῥηθέντων, λέγει πρὸς αὐτὸν ὁ τοῦ τεχθέντος πατήρ· 'πάντα ἤδη φιλαλήθως τῷ βασιλεῖ τὰ τῆς τύχης τοῦ τεχθέντος παιδὸς ἐγνώρισας;' ὃ δὲ 'ναί', φησίν 'ὦ φιλόσοφε, ἀκριβῶς τὰ περὶ τοῦ παιδὸς ἐξετάσας καὶ συζητήσας εὗρον ὅτιπερ ληστὴς γενήσεται καὶ ληστῶν ὁ χαλεπώτατος καὶ ὀλεθριώτατος.' ὑπολαβὼν δὲ ὁ φιλόσοφος λέγει τῷ βασιλεῖ· 'ἔγωγε λοιπὸν τὸν ἐμὸν παῖδα ῥυθμίσω καὶ ἐκπαιδεύσω τοῦ μή τινα αὐτὸν τοιαύτην πρᾶξιν νενοηκέναι, ἀλλὰ μᾶλλον τῶν ἀπηγορευμένων αὐτὸν πρακτέων ἀπέχεσθαι, τῶν δὲ ἀγαθῶν καὶ ἀξιεπαίνων ἀντέχεσθαι.' ὁ μέντοι γεννηθεὶς παῖς ὀκτὼ μῆνας τῆς ἡλικίας ἀμείψας, τοῦ μητρῴου μαζοῦ εὐθὺς ἀποτέμνεται. τοῦτον δὲ μετὰ ταῦτα ὁ πατὴρ ἐντὸς οἰκίσκου τινὸς ἐγκατακλείει, καὶ ἤρξατο αὐτὸν διά τινων ἁπαλῶν καὶ λυσιτελῶν ἐδεσμάτων ἐκτρέφειν τε καὶ ἀνατρέφειν, οὐ μὴν ἀλλὰ καὶ πᾶσαν αὐτὸν ἀρετὴν ἐκδιδάσκειν καὶ σεμνότητα. καὶ οὕτω σὺν ἀκριβείᾳ τὸν υἱὸν ἀνέτρεφεν· οὐκ εἴα τινὰ τὸ παράπαν πρὸς αὐτὸν εἰσέρχεσθαι, οὐδὲ ἔξωθεν τοῦ οἴκου τὸν παῖδα

1 *κλωπὴν διαπράξηται cod., quod quidem ferri poterat* 2 *οὕτως] οὗτος cod.* 8 *ὁ λεθριότατος* 9 *ἐγωσε* 10 *ῥιθμύ* (σ supra) 11 *τι αὕτὴν νενοηκέναι scripsi: νενοσηκέναι cod. quamquam u. νοσεῖν scriptoribus recentissimis si quod aliud est in deliciis. uide* St. Th. 5, 1567 D. *ἐπιθυμίαν νοσεῖν praeter* Choricium Malalas *quoque dixit τὸν ἀπηγορευμένον* 12 *πρακταίων cod.; πρακτέων i. e. q. πράξεων* 13 *μέντι* 14 *ὁ κτῶμη* (ν' supra) 15 *του* (τ' supra) 16 *νὸς euanuit ἐν κατακλίει* 17 *ἀπαλλῶν* 18 *ἐκτρέφην* (τ supra) *καὶ ἀνατρέφην* 20 *οὗτο συνακριβία* 21 *οὐ κεῖα cod.: οὐδ' εἴα?* 22 *τοῦ] τὶς cod.; an τῆς οἰκίας?*

προέρχεσθαι, ἀλλ' οὐδὲ τῶν πονηρῶν τοῦ ἀνθρωπίνου βίου πράξεων γνώριμόν τι τούτῳ καθίστατο συνόλως. καὶ οὕτως ὁ παῖς ἀνατρεφόμενος τῆς p. 121 πεντεκαιδεκαέτους ἡλικίας ἥψατο. εἶτά φησι πρὸς αὐτὸν ὁ τούτου πατήρ· 'αὔριον, ὦ τέκνον, πρὸς τὸν βασιλέα πορεύσομαι καὶ σὲ μεθ' ἑαυτοῦ ἀπαγαγεῖν πρὸς αὐτὸν βούλομαι, ὡς ἂν χαίρειν αὐτῷ προςφθέγξῃ καὶ ὡς δέον τούτῳ προσομιλήσῃς μετά γε τὴν συνήθη καὶ δουλοπρεπῆ προσκύνησιν. οὕτω μὲν (οὖν) ὁ φιλόσοφος τῷ ἑαυτοῦ υἱῷ ἔλεγε. καὶ ἦν τοῦτον ἄκρως τῆς διδασκαλίας ἐκπαιδεύσας, ἅτε σπεύδων ψευδῆ (ἐνδείξασθαι τὴν τοῦ ἀστρολόγου μαντείαν. ὁ δὲ παῖς ἀκούσας ὅτι αὐτὸν ὁ) πατὴρ εἰς τὸν βασιλέα εἰσαγαγεῖν βούλεται, ἠγωνία μᾶλλον ἐπὶ τῇ ἀκούσει, καὶ λογισμῷ συνεστρέφετο λέγων

3 οὗτος τὴν πεντεκαίδεκα τοῦ ἔτους ἡλικίας *cod.*: *malui scribere* τῆς πεντεκαιδεκαέτους ἡλικίας *quam* τῆς τοῦ πεντεκαιδεκάτου ἔτους ἡλικίας 4 εἶτα *semper* 7 αὐτὸ 8 δέον (τ supra). *uidetur librarius uoluisse* δέοντα τοῦτο προσομηλή (σ supra) 9 *bibliopegae culpa folii* 63[r] *uersus ultimus paucis apicibus exceptis totus, paenultimi pars inferior, folii* 63[v] *uersus primi pars superior interciderunt. quae e uestigiis cognosci possunt litterae, eas adscripsi integras, quae perierunt, uncis inclusi. notandum tamen in priore uersu praeterea accentuum partem esse seruatam. haec igitur in codice leguntur:* (οὖ)τ(ο) (μ)ὲν(ὁ) φιλόσοφος τ(ῷ ἑαυτοῦ υἱῷ) ἔλεγε | καὶ ἦν τοῦ(τον) ἄκρος τῆς διδασκαλείας ἐκπαιδεύσ(ας) ἅτε σπεύδων ψευδ(ῆ) | . . . . . | δὲ (δὲ *incertum est*) πατὴρ εἰς τὸν βασιλ(έα) εἰσαγαγεῖν βουλέ [*i. e.* βούλε(τ)] ἠγον(ία) μαλλ(ον) ἐπιτιακουσ̄ καὶ λογισ συνεστρεφέ [*i. e.* συνεστρέφε(τ)] λέγων 10 οὖν *adieci ex* P *quae inde a uu.* καὶ ἦν *usque ad* μαντείαν *leguntur non uidentur a libri auctore profecta; absunt etiam a* P 11 ἄκρως, ἄκρον *i. e.* εἰς ἄκρον τὴν διδασκαλίαν *ut* 183, 10? 12 ἐνδείξασθαι . . ὁ (13) *supplevi* 14 *cf.* 186, 20

ὡς ‘οὐδὲ ἄλλοτε τὸν βασιλέα τεθέαμαι, καὶ νῦν ὁ ἐμὸς πατὴρ εἰς αὐτὸν εἰσαγαγεῖν με βούλεται. χρὴ (δὴ) κἀμὲ μυρεψικὰ καὶ ἀρωματικὰ εἴδη αὐτῷ προσενεγκεῖν καί τι ἕτερον, καὶ τὸ κράτος αὐτοῦ ὡς τὸ εἰκὸς ἐγκωμιάσαι. πλὴν ἀλλ’ ἐρυθριῶ τοιαῦτά τινα εἴδη ἀπὸ τοῦ ἐμοῦ πατρὸς ἐπιζητῆσαι. ἐπίσταμαι οὖν ὅμως τί με δεῖ πεποιηκέναι.’ τῇ ἐπιούσῃ νυκτὶ ἐξέρχεται λάθρα τῆς πατρῴας οἰκίας καὶ εἰσέρχεται πρὸς τὸ τοῦ βασιλέως παλάτιον. εἶτα διορυγήν τινα κατὰ κλέπτας ἐν τῷ τούτου τοίχῳ ποιησάμενος, εἰσέδυ τὰ βασίλεια ἕως αὐτοῦ τοῦ βασιλικοῦ κοιτῶνος. καὶ αὐτίκα ὁ βασιλεὺς ἔξυπνος γενόμενος ἀθρόον αὐτὸν ἑωράκει, καὶ τῇ αὐτοῦ θέᾳ δειλίᾳ συνεσχέθη. καὶ θροούμενος τὰ μέγιστα ἔλεγε καθ’ ἑαυτὸν οὕτως, ὡς ‘εἰ μὴ ἐπὶ πλεῖστον οὗτος ἐφ’
p. 122 ἑαυτῷ τὸ θάρσος ἐκέκτητο, οὐκ ἂν οὕτως ἀωρὶ τῶν νυκτῶν τῆς ἐνθάδε κατετόλμησεν εἰσελεύσεως· καὶ εἴπερ αὐτῷ ἀντικαταστῆναι πειράσομαι, ἴσως ἀνελεῖν ἐπιχειρήσει με.’ ταῦτ’ οὖν ὁ βασιλεὺς ἐκεῖνος συλλογισάμενος καὶ μᾶλλον ἡσυχάσας, παραχωρεῖ τῷ νέῳ [τῆς ἐκεῖθεν ἀπολήψεως] τοῦ εἰληφέναι τῶν εἰδῶν εἴ τι καὶ βούλοιτο. ὃς καὶ ἐκτείνας τὰς χεῖρας, τῶν ταύτῃ κειμένων βασιλικῶν ἥψατο ὑφασμάτων,

1 οὐδὲν ἄλλο τὸν *cod.*; οὐδένα ἄλλον *propter u.* αὐτόν (2) *scribi non potuit.* οὐδέποτε P 2 *post* χρή *addendum* δή *uel* οὖν *uel* τοίνυν 3 κἀμαὶ αὐτὸν προσσενεγκ 4 ὡς] ὃς *cod.* 5 ἐγκομιάσαι ἀλλεριθριῶ τοὶ αὐτά 6 εἶδη *ut saepe* 7 ὅμος δῆ καὶ τῇ? ἐπὶ οὔσῃ 8 οἰκείας 9 *a uerbo* πρός *manus prima loco consueto paginam incipit: quae leguntur inde a uu.* (δὲ) πατήρ εἰς τὸν (185, 13) *ab manu altera in superiore margine litteris minutis postea adscripta sunt* διορυγήν] Lob. Phr. 231 11 εἰσέδυ τὰ *noli corrigere*, 187, 25 14 θροούμενος] *cf.* 177, 16 18 ἀντιπαραστῆναι P 20 μάλλον *cf.* 129, 10; 12, 11 *ipsum caue mutes* 21 τῆς ἐκεῖθεν ἀπολήψεως *deleui*

καί τινα τούτων σινδόνα ἐξείλκυσε πολλοῦ γε τιμίαν. ἣν δὴ καὶ μόνην ἀναλαβὼν τῶν ἀνακτόρων τε ἐξελθὼν ἀπῄει πόρρωθεν. τὴν μέντοι σινδόνα εὐθὺς ἀπεμπόλησε κἀκ τῆς τιμῆς μυρρίνης ἀρώματα καὶ ἕτερα μυρεψικὰ δαψιλῶς εἴδη ὠνήσατο. ὁ μέντοι βασιλεὺς οὐδενὶ τὴν τοῦ νέου νυκτερινὴν τὸ παράπαν ἐπιστασίαν ἐγνώρισεν. ἕωθεν οὖν ὁ φιλόσοφος τὸν ἑαυτοῦ παῖδα παραλαβών, πρὸς τὸν βασιλέα πορεύεται. καὶ εἰσελθόντες, ἐπὶ τὴν γῆν αὐτὸν προσεκύνησαν. καὶ εὐθὺς ὁ παῖς τὰ ἐωνημένα εὐώδη ἐκεῖνα καὶ τερπνότατα εἴδη τῷ ἄνακτι προσήνεγκε καὶ δι' αὐτῶν τῆς προσαγωγῆς τοῦτον ἐγκωμιάζειν ἀπήρξατο. ἔφη δὲ καὶ ὁ φιλόσοφος πρὸς αὐτόν· 'βασιλεῦ, ζῆθι εἰς τὸν αἰῶνα. ἰδού, ὡς ὁρᾷς, τῷ κράτει σου τουτονί μου τὸν παῖδα παρέστησα. ὃν ὁ σὸς ἀστρολόγος περὶ αὐτὴν τὴν τρισκαιδεκαετίαν τῆς αὐτοῦ ζωῆς ληστρικῆς ἐργασίας μέλλειν κατάρξασθαι προηγόρευσε. καὶ ἰδοὺ νῦν πεντεκαιδεκαέτης γέγονε καὶ οὐδαμῶς κλοπὴν ἐξειργάσατο. τοίνυν ψευδὴς ὁ ἀστρολόγος ἤδη πεφώραται, καὶ αἱ τούτου προρρήσεις ληρώδεις ἀπεφάνθησαν.' p. 123 ὁ δὲ βασιλεὺς περιέργως τῇ ὄψει τοῦ νεανίσκου ἐνατενίσας, ἐπεγνώκει αὐτόν, ὡς οὗτός ἐστιν ὁ τὴν διορυγὴν τῇ νυκτὶ ἐργασάμενος κλέπτης καὶ τολμηρῶς εἰσδὺς τὰ βασίλεια καὶ τὴν ἐν τῷ κοιτῶνι αὐτοῦ κλοπὴν ποιησάμενος. καὶ ὑπολαβών, 'οὗτός ἐστιν' ἔφη 'ὁ κατὰ τῆς βασιλείας μου εἰσεληλυθὼς κλέπτης.' καὶ ἐπιστώθη μᾶλλον ἐπ' αὐτῷ ἡ τοῦ ἀστρολόγου προαγόρευσις. Ἐκ ταύτης μου τῆς διη-

5. 6 *de conlocatione u.* 149, 26   6 *οὐδὲν*   9 *ἐπὶ i. e. ἕως εἰς*   18 *μέλλειν cf.* 140, 1   20 *τοίνυν*] *cf.* 138, 27   23 *αὐτὸς* P   24 *ἐν τῇ?*   27 *μου non est in* P   *cf.* 123, 11

γήσεως γνῶθι, ὦ κράτιστε βασιλεῦ, ὡς ἑκάστου τῇ γεννήσει ἰδία τις ἀπόκειται παρὰ θεοῦ ἔκβασις εὐ- p. 124 τυχίας (ἢ ἀτυχίας). ὥσπερ ἐν μὲν τῇ τοῦ σοῦ υἱοῦ γεννήσει ἐσύστερον ἀπέβη αὐτῷ τὰ εὔχρηστα καὶ ἐπαινετὰ καὶ εὐτυχίας ἀνάμεστα, ἐν δὲ τῇ γεννήσει τοῦ τεχθέντος παιδὸς τῷ φιλοσόφῳ τοῦ βασιλέως ἐκείνου, περὶ οὗ προδιελαβόμην σοι, ἀπέβη τὰ ἄχρηστα καὶ φευκτέα καὶ ἀπόβλητα καὶ ἀτυχίας πεπληρωμένα.' ταῦτα τῷ βασιλεῖ Κύρῳ τοῦ Συντίπα διηγησαμένου, φησὶν ὁ βασιλεὺς πρὸς τὸν ἑαυτοῦ παῖδα· 'φράσον μοι, περιπόθητον τέκνον, πῶς ἄρα καὶ ὁποίῳ τρόπῳ ὁ σὸς μυσταγωγὸς Συντίπας τὴν τοσαύτην σε φιλοσοφίαν ἐξεδίδαξεν;' ὁ δὲ παῖς τῷ πατρὶ ἀπεκρίνατο· 'ἐπειδήπερ εἰσέτι, ὦ δέσποτα, περὶ τούτου μαθεῖν σὺ ζητεῖς, γνωρίζω αὖθις τῷ κράτει σου, ὡς παραλαβών με ἀπὸ σοῦ ὁ ἐμὸς διδάσκαλος καὶ εἰς τὸν αὐτοῦ οἶκον ἀπαγαγών, p. 125 εὐθὺς οἰκίσκον νεωστί μοι ἐδείματο, καὶ τοῦτον ἔσωθεν κοσμίως περιχρίσας καὶ λευκότητι καταγλαΐσας, πάντα ὅσα ἐκδιδάξαι με ἔδει ἐν τοῖς τοῦ οἴκου τοίχοις ἀνιστόρησε καὶ γράμμασι διεστίξατό τε καὶ ἀκριβῶς ἀνετάξατο. οὐ μὴν ἀλλὰ καὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας ἐν τοῖςδε ἀνεζωγράφησεν. ἐνεχάραξε δὲ τοῖς αὐτοῖς τοίχοις ἐν καλλωπίσμασι καὶ τὰ δέκα κεφάλαια τῆς τε σοφίας (καὶ) τῆς γνώσεως καὶ τῆς διδασκαλίας. ὧν τὸ πρῶτον κεφάλαιον περὶ σκαιοῦ τε καὶ λοιδόρου

2, 3, 4, 5 *cf.* 182, 21 3 ἢ ἀτυχίας *adieci*, *cf.* 123, 16 12 ποίῳ P. *non raro sermo uolgaris in locum pron. interr. directi substituit indirectum idque praesertim in altero membro* 14 εἴ σέ τι 16 ἀπὸ *etiam* P 22 συνετάξατο P. *u.* ἀνατάττεσθαι *sic adhibuerunt* Lucas (*initio euang.*) *aliique scriptores recentiores* 24 αὐτοῦ? 26 καὶ *adieci*

παρεισάγει ἀνδρός, ὃς μεταξὺ δύο τινῶν εἴτε ὁμαιμόνων εἴτε προσφιλῶν διενέξεις τε καὶ διαμάχας ἀναρριπίζει. τὸ δεύτερον περὶ φιλοσόφου ἀνδρὸς παρίστησιν, ὃς πολλὴν τῷ ἑαυτοῦ προσφιλεῖ ἐμποιεῖ τὴν ὠφέλειαν. τὸ τρίτον περὶ δολιόφρονος ἀνδρὸς εἰσηγεῖται, ὃς οὐκ ἐπινυστάζειν οἶδε πώποτε τοῖς κακοῖς, δόλους καὶ σκαιωρίας κατὰ τοῦ ἑτέρου συρράπτων, ἐκείνου μὴ εἰδότος. τὸ τέταρτον περὶ ἀνδρός ἐστιν ἀπρεπῶς ἑτέρῳ προσονειδίζοντος τὴν ἐκείνου τῷ σώματι ἐνυπάρχουσαν ἐκ λέπρας ἴσως ἀσχημοσύνην τινὰ ἢ ἕτερόν τι τοιόνδε. τὸ πέμπτον, περὶ τοῦ μὴ δεῖν ἀποφαίνεσθαί τινα περί τινος πράγματος ἢ κατηγορίας, πρὶν ἢ τὴν ταύτης βεβαιωθείη ἀλήθειαν. τὸ ἕκτον κεφάλαιον περὶ τοῦ μὴ δεῖν τινα p. 126 *ἐπὶ ἄφρονι ἀνδρὶ καὶ ἰδιωτικῶς ἔχοντι πεποιθέναι. τὸ ἕβδομον κεφάλαιον περὶ φθονεροῦ ἀνδρὸς ἐκδιδάσκει, ζηλοτύπως πρὸς ἑτέρους ἄνδρας ἔχοντα διὰ τὸ ἐκείνους χρηστοῦ τινος ἐπαπολαύειν ἢ ἀξιεπαίνου τινὸς προτερήματος ἐν μετουσίᾳ τυγχάνειν· ὃς δὴ καὶ βασκαίνων ἐκείνοις ἀνιᾶται μὲν καθ' ἑαυτὸν καὶ φθόνῳ τήκεται, τοὺς δέ γε φθονουμένους κατ' οὐδένα τρόπον ἐντεῦθεν λυμαίνεται. τὸ ὄγδοον κεφάλαιον πέφυκε περὶ τοῦ δεῖν τινα πάντας ἀγαπᾶν καὶ μηδαμῶς τῷ ποιήσαντι κακὸν ἀποδιδόναι τὰ*

1 *παρεισάγει uocabulum recentioribus satis usitatum, iam nihil est nisi* exponit, *cum proprie fuerit* inducit *siue* homines docentes *siue* exempla docentia 2 *διένεξις i. e. διαφορά* discordia 6 *οἶδε*] *u.* 15, 6 12 *in u. πράγματος desinit m. pr. in uersu extremo; a uu. ἢ κατηγορίας uersum incipit m. alt.*

δ' κ'
13 *βεβαιωθίει* 14 *μη τινὰ* 15 *ἰδιοτι* 16 *ἑύδομον*
17 *ζυλοτύπως* 18 *χριστοῦ τινὰ ἐπάπ. ἢ ἀξιέπ.* 19 *ὡς*
αι τ' τ' π'
21 *τίκεται* 22 *λυμενε m. pr.* 23 *τινὰς παν* *ἀγα*
24 *τὸ* (*add. m. alt. l. ν*) *τὸν ποιήσαντα cod.*; *scripsi τῷ*

ὅμοια. τὸ ἔννατον κεφάλαιον παρίστησιν ὅτι χρὴ καθώς τις θέλει ἵνα ποιῇ αὐτῷ ἕτερος, καὶ αὐτὸν ἐκείνῳ ποιεῖν ὁμοίως. τὸ δὲ δέκατον κεφάλαιον δη- p. 127 λοῖ περὶ τοῦ μὴ δεῖν τινα φιλιοῦσθαι καὶ ἀδελφοποιεῖν τοῖς ἀσεβῶς τῶν πράξεων καὶ τυραννικῶς ἔχουσι καὶ ἀδικίαις καὶ πλεονεξίαις χρωμένοις.'

Ταῦτα οὕτως ὁ βασιλεὺς παρὰ τοῦ υἱοῦ ἐνηχηθείς, εὐχαριστηρίους τῷ θεῷ λόγους ἀναπέμπει, καὶ τῷ Συντίπᾳ διετέλει ἐγκωμιάζων· οὐ μὴν ἀλλὰ καὶ δώροις τὸν ἄνδρα φιλοτίμοις ἐδεξιοῦτο. εἶτα λέγει πρὸς τὸν παῖδα οὑτωσί· τέκνον ποθεινότατον, ἆρά γε τὰ συμβαίνοντά τινι ἐξ εἱμαρμένης τύχης συμβαίνειν εἰώθασιν;' ὁ δὲ παῖς ἔφη τῷ βασιλεῖ· 'τοῦτο μὲν οὕτως ἔχειν, ὦ δέσποτα, πολλοὶ τῶν ἀνθρώπων οἴονται· πλὴν τὸ αἴτιον τῶν συμβαινόντων λυπηρῶν ἐκ τῆς τῶν ἀνθρώπων γίνεται μοχθηρίας. οὐ γὰρ δικαίως χρῶνται ταῖς πράξεσιν, ἀλλὰ σκολιῶς καὶ ἀδίκως. ἔθος γάρ ἐστιν αὐτοῖς, ὅταν τινὶ τῶν φιλοσόφων ἀνδρῶν ἐντυγχάνωσι, τῷ τὰ χρηστὰ καὶ δέοντα καὶ λυσιτελῆ συμβουλεύοντι, εἰ μὴ καὶ πλουτοκομῶν καὶ τιμῆς διαπρέπων ὁ τοι-

ποιήσαντι, *ut est in* P τῷ κακῶς ποιήσαντι   1 χρεὶ καθῶς   3 ποιὴν   δειλ' (δ)   4 τοῦ μη τινὰ   5 τυρανι (κ)   7 14. οὔτως   7 ἐνήχη (θ) εὐχαριστιριίους τὸ   9 τὸ σιντίπα ἐγκωμιάζον   10 *ne corrigas* φιλοτίμως: 127, 6   11 *distinxi ut est in* P. *codex*: παῖδα. οὑτωσὶ, τ. π., ἆρα γε   12 σὺν βένοντα   ἡμαρμένης   13 συμβένειν εἰ ὤθασιν   τὸ (*mutatum a m. alt. in* τῷ) βασιλ: *hoc autem modo fere omnes u.* βασιλεύς *casus exprimuntur*   15 οἶονται   20 ταχρηστᾶ   λυσιτελεῖ   21 εἰμὶ   πλοῦτοκομῶν *cod.*; *significatur* diuitias colens   τιμῆς *est genetiuus qui dicitur relationis* (*u. Krügeri Gr.* 47, 26, 9); *sed nescio an mutandus sit in datiuum* τιμαῖς   διᾶπρέπων ὁτί οὔτος

οὗτος ὑπάρχει, περιφρονεῖν μᾶλλον αὐτὸν καὶ ὡς ἰδιωτικὸν παρορᾶν καὶ μὴ ἕνα τοῦτον ἡγεῖσθαι τῶν p. 128 *φιλοσόφων· διὸ οὐδὲ τὸ οὖς τοῖς ἐκείνου λόγοις τὸ παράπαν ὑποκλίνουσιν. εἰ δέ τις κατὰ τὸν βίον εὐπραγῶν εἴη καὶ εὐθηνούμενος καὶ τιμῆς παρὰ πάντων ἀξιούμενος, σοφίας δὲ καὶ συνέσεως παντελῶς ἀπεστέρηται, ἐκείνῳ μᾶλλον οἱ ἄνθρωποι προσανέχουσι, κἂν ἰδιωτικῶς τοῦ νοὸς ἔχει. οὐ καλῶς τοῦτο δρῶσιν οἱ ἄνθρωποι, ἀλλὰ καὶ μᾶλλον κακοτρόπως.' Αὖθις οὖν ὁ βασιλεὺς τὸν υἱὸν ἐπερωτᾷ· 'τίνι ἄρα τὸ βασιλεύειν προσήκει;' ὁ δὲ παῖς 'τῷ συνετῷ' φησί 'καὶ ἐχέφρονι, ὡς ἂν ἐντεῦθεν καὶ τὸ ὑπήκοον καλῶς διακυβερνᾶται, καὶ μηδέν τι ἄδικον* p. 129 *ὑπό τινος συγχωρῆται γίνεσθαι, μηδ' αὖ ὁ βασιλεύων πρὸ τοῦ τὴν ἀλήθειαν εὐνόμως βεβαιοῦσθαι καταδίκῃ τινὰ καθυποβάλλῃ, καὶ ὅπως τοῖς μὲν εὐθέσι καὶ ἀγαθοῖς ἀγαθὰ ἀποδιδῷ, τοῖς δὲ σκαιοῖς καὶ κακοτρόποις τὰ ἀναλογοῦντα λυπηρά, τόν τε τοῦ θεοῦ φόβον πρὸ ὀφθαλμῶν ἔχῃ καὶ μηδὲν τοῦ δικαίου λογίζηται προτιμώτερον.' Ἔφη δὲ πάλιν ὁ βασιλεὺς τῷ υἱῷ· 'ποία βασιλεία, ὦ τέκνον, ἀσφαλεστέρα καθέστηκε'; καί φησιν ὁ παῖς· 'ἡ τὸν θεὸν*

1 ὄντος ἀχρ. V: ὄντος *post* σαπροῦ *conlocant ceteri* 2 ὤνησέ με V D ὤνησαί μαι P 3 πολλάσαι P οἷός τὲ U 4 σοῦ *om.* Z v; σου M V Q Φ R E H U J a, ed. Neuel. ὠναίμην V στηγήματος P U συστήματος E 5 αὐτόρχημα A ρ *add.* A 2: *qualia plerumque praetermitto* 6 κλέοντα U 7 πάντας U αὐτεῖς P ἀντιμορμοῦς F H 8 τούτοις] τούτῳ F J K b τοῦτω U (Z?) 9 τόδε] τὸ δὲ R τοῦτο E H J F U Z v πολεῖς Z 10 δὲ E H U Z b 11 κατεβάλλετο E H J F Z U v 14 ἔτι *conlocant ante* ὑπὸ μ. F J K U Z v ἔσωπον E 15 ἀνέκραξε R ἔσωπος E 16 φησὶ Φ E H μοι P τῆς *in* A *add.* A 2 ἐπαγγελλίας A ἐμπαγγ. P τὴν ἀπόδειξιν? .] ; Q 17 γελάσας *in lacuna fere totum periit in* M ἐνδοτέρω *om.* E H F J K Z U v 18 σου *om.* D ἐιελθόντα A σε A 2 19 ἆρα H ἄρα E *sed* ἅ *mut. in* ἆ ἡμῶν] ἐμῶ R 20 δεσπότην P φασὶν Q φησὶ E H συνέβη Φ

p. 16 b. οὕτως ἐπρίατο; ἀλλ' ὡς ἔοικεν, ἀντὶ βασκανίου τοῦτο τῆς οἰκίας ὠνήσατο".

V Μετὰ δ' οὐ πολὺ καὶ ὁ ἔμπορος εἰσελθών, τὰ πρὸς ὁδὸν εὐτρεπισθῆναι τοῖς δούλοις ἐπέσκηψε· μέλλειν γὰρ τὴν ἐπιοῦσαν εἰς Ἀσίαν πορεύεσθαι. οἱ μὲν οὖν αὐτίκα τὰ σκεύη διεμερίζοντο. ὁ δ' Αἴσωπος ἐδεῖτο τοῦ κουφοτάτου τῶν φορτίων αὐτῷ παραχωρεῖν, ἅτε δὴ νεωνήτῳ καὶ μήπω πρὸς τὰς τοιαύτας ὑπουργίας γεγυμνασμένῳ. τῶν δέ, καὶ εἰ μηδὲν ἆραι βούλεται, συγγνώμην παρεχομένων, ἐκεῖνος οὐ δεῖν ἔλεγε πάντων κοπιώντων αὐτὸν μόνον ἀσυντελῆ τυγχάνειν. τῶν δὲ ὅπερ ἂν ἆραι βούληται ἐπιτρεπόντων, δεῦρο κἀκεῖσε περιβλεψάμενος, καὶ σκεύη ἀθρήσας διάφορα, σάκκους καὶ στρώματα καὶ γυργάθους, ἕνα γύργαθον ἄρτων πεπληρωμένον, ὃν καὶ δύο βαστάζειν ἔμελλον, αὐτῷ ἐπιτεθῆναι κελεύει.

1 ἀντιβασκανίου H 2 in ὠνήσατο desinit U 3 εἰσελθὼν] abscissum periit in M. εἰ A 2 in rasura; etiam a m. pr. scriptum uidetur fuisse εἰ 4 ὁδῶν P ἐντεπ. A ρ A 2 5 μέλλει A; μέλλων eraso quod in sequebatur u. γὰρ Q ἐπίουσαν A 6 δισμερίζοντο Z διάμερίζοντο P αἴδεῖτο H 7 τοῦ] τὸ erasa l. ῦ Q κοφοτάτου R κουφοτέρ A κοφοτέρου P κοφοτερου (τάτου) E κουφουτάτου H κουφότατον Q παρασχεῖν Q 9 ὑπηρεσίας Q καὶ supra uersum Z μὴδὲν H, eraso accentu η E 10 ἆραι V ἄρα P ἆρα JFZK βούλαιτε P βούληται E H J F K Z b ἐκεῖνος] αὐτὸς V. post ἐκεῖνος erasa p. δὲ, A 11 οὐ δεῖν] οὐδὲν Q Φ ἔλεγεν Q κοπιόντων V Q R E H; ο corr. in ω K Z κωπιώντων J 12 ὅπερ ἂν ἄρα βούλοιται Q ὅπερ ἂν ἄραι βούλοιτο A ὅπερ ἂν ἄρα (αι m. pr.) βούλοι, τὸ P ὅπερ ἄρα βούλεται V ἐπιτροπόντων A 13 κακεῖσε H ut saepe καὶ σκεύη in D add. manus rec. 14 ἀθρήσας ut conieceram M Q: ἀθροίσας libri ceteri. περιβλεψάμενος W στρώμματα R 15 ἄρτον P ὃν καὶ scripsi: ἕν' ᾗ V ὃν ceteri 16 αὐτῶ M V Q D R Φ b ἐπιτεθεῖναι H E J F K Z v ἐπιθεῖναι R

οἳ δὲ γελάσαντες καὶ μηδὲν εἶναι μωρότερον τοῦ χυδαίου τούτου καθάρματος φάμενοι, ὃς μικρῷ μὲν ἔμπροσθεν τὸ κουφότατον ἆραι τῶν φορτίων ἐδεῖτο, νῦν δὲ τὸ πάντων βαρύτατον εἵλετο· χρῆναι μέντοι τὴν ἐπιθυμίαν αὐτοῦ πληρῶσαι· ὑπολαβόντες τὸν γύργαθον ἐπιτιθέασι τῷ Αἰσώπῳ. ὃ δὲ κατὰ τῶν ὤμων τὸ φορτίον ἐπηχθισμένος, δεῦρο κἀκεῖσε διεκλονεῖτο. τὸν δὲ ἰδὼν ὁ ἔμπορος ἀπεθαύμασε καί φησιν· „Αἴσωπος εἰς τὸ πονεῖν πρόθυμος ὢν ἤδη τὴν ἑαυτοῦ τιμὴν ἐξέτισε· κτήνους γὰρ φόρτον ἤρατο“. ἐπεὶ δὲ ὥρας οὔσης ἀρίστου κατέλυσαν, Αἴσωπος κελευσθεὶς ἀρτοδοτῆσαι, ἡμιδεᾶ τὸν γύργαθον πολλῶν φαγόντων ἐποίησεν. ὅθεν καὶ μετὰ τὸ ἄριστον κουφοτέρου τοῦ φορτίου γεγονότος, προθυμότερον ὥδευε. καὶ δὴ καὶ ἑσπέρας οὗ κατήχθησαν πάλιν ἀρτοδοτήσας, τῇ ἐφεξῆς ἡμέρᾳ κενὸν παντάπασιν ἐπὶ τῶν ὤμων ἀνέχων τὸν γύργαθον, πρῶτος ἁπάντων ᾔει, ὡς καὶ τοῖς συνδούλοις, προ- p. 18 b.
τρέχοντα τοῦτον ὁρῶσιν, ἀμφίβολα γίνεσθαι, πότερον ὁ σαπρός ἐστιν Αἴσωπος ἤ τις ἕτερος· καὶ κατα-

1 μὴδὲν H, *in* E η *eraso accentu* 2 μικρὸν V 3 κουφότερον Q ἆραι V E H ἐδεῖτο *ante* ἆραι *conlocant* J F Z K v αἰδεῖτο V 4 νῦνδε H τὸ π.] τῶν π. A βαρύτερον Q 5 πληροῦσθαι? ἐπιλαβόντες Φ 6 γύγανθον D: *supra quoque aliquotiens erasa l.* ν ἐπὶ τῆ θέασι P ὁδαὶ P 7 ἐπιχθησμένος P ἀπηχθισμένος *fecit ex* ἐπ. D m. pr. ἀπηχθισμένος F J K Z v 7 ἀπεθαύμασεν F J Z K v 9 φησὶ E 10 ἐξέτησε Z *l.* η *facta ex* ι φορτίον Q 11 δὲ *corr. ex* δὴ D m. pr. ἀρίστου *om.* R κατέλυσαν *om.* Φ 12 ἡμὶ δὲ ἀ τογ. P 14 κουφ. γεγ. τοῦ φορτίου Q τοῦ *om.* A, *bis exhibet* H προθυμώτερον R, b 1547 προθυμότερος (ν *superscr.*) D, ν *add.* D 2; A ο *ex corr.* 15 ὤδευε R H E *ut saepe* καὶ δὴ καὶ] καὶ δὴ (δὶ P) Φ ἑσπ. P οὗ] οὗς P 18 ᾔει] εἴη M V; εἴη *mutauit in* ᾔει D m. pr. 19 τοῦτον *om.* A ἀμφίβολον Φ πρότερον P 20 ὁ σαπρὸς] πρὸς K, *in marg.* ὁ σα ἐστιν] οὗτος

μαθοῦσιν ἐκεῖνον εἶναι, θαυμάζειν ὅπως τὸ μεμελανωμένον ἀνθρώπιον νουνεχέστερα πάντων ἔπραξε, τοὺς ῥᾳδίως δαπανωμένους ἄρτους ἀράμενον, ἐκείνων τὰ στρώματα καὶ τὰ λοιπὰ τῶν σκευῶν ἐπιφορτισαμένων, ἃ μὴ φύσιν ἔλαχεν οὕτωσὶ δαπανᾶσθαι. ὁ μὲν οὖν ἔμπορος ἐπὶ τῇ Ἐφέσῳ γενόμενος, τὰ μὲν ἄλλα τῶν ἀνδραπόδων σὺν κέρδει ἀπέδοτο, ὑπελείφθη δ' αὐτῷ τρία, γραμματικός, ψάλτης καὶ ὁ Αἴσωπος. τῶν δέ τις αὐτῷ συνήθων συμβουλεύσας εἰς Σάμον ἀπᾶραι, ὡς ἐκεῖ δὴ σὺν μείζονι κέρδει ἀπεμ-
VI πολήσοντι τὰ σωμάτια, πείθει. καὶ ὁ ἔμπορος ἐπιβὰς τῆς Σάμου, τὸν μὲν γραμματικὸν σὺν τῷ ψάλτῃ καινὰς στολὰς ἀμφιέσας, ἵστησιν ἄμφω ἐπὶ τοῦ πρατηρίου. τὸν δ' Αἴσωπον ἐπεὶ μηδαμόθεν εἶχε κοσμῆσαι, ὅλος γὰρ ἦν ἁμάρτημα, ἐσθῆτα σάκκου τούτῳ περικαθάψας, μέσον ἀμφοῖν ἔστησεν, ὡς καὶ τοὺς ὁρῶντας ἐξίστασθαι λέγοντας „πόθεν τοῦτο τὸ βδέλυγμα, τὸ καὶ τοὺς ἄλλους ἀφανίζον;" Αἴσωπος δὲ καίπερ ὑπὸ πολλῶν σκωπτόμενος, ἵστατο μέντοι τολμηρὰ πρὸς αὐτοὺς ἀτενίζων. Ξάνθος δὲ ὁ φιλό-

ἐστιν E ἤ τις] ἢ τίς Q εἴ τις Φ ἥτις H. τις *om.* b 1547
1 ἐκεῖνον *om.* R τὸ *om.* A μεμελανομένον P Z, *in* Q ω *ex corr. pro* o; μελανωμένον, *in marg.* με K 2 ἀνθρώπιον] ον *in* P *add. m. alia in rasura: primo uidetur scripta fuisse forma barbara* ἀνθρῶπιν νουνεχέστερον R 3 δαπανομένους P Z ἄρτους *om.* R 4 τὰ στρ.] τὰ *in* A *add.* A 2 στρώματα Q *sed* ω *ex corr.*, στρώμματα *altera l.* μ *deleta* R πεφορτισαμένων a 6 μεν *omisso accentu* Z *saepe*
7 ὑπελήφθη P, Q (*sed supra scr.* ει Q 2) 8 ὁ *supra uersum* A 1 9 αὐτῷ] αὐτῶν V P 10 ἀπάραι A E H δὴ *corr. ex* δὲ D m. pr. ἀπεμπωλήσοντι V R Z b ἀπεμπολήσαντι Φ 11 σώματα V σώματια E 12 ψ *in* A *exarauit* A 2 13 ἀμφιάσας E ἵστησαν Z 14 *post* εἶχε *erasa l.* ν 15 ὅλως Φ, ὅλος *corr. ex* ὅλως V Q m. pr. 16 περικαλύψας D ἔστησεν H 19 ὑπὸ *ex* ἐπὶ *in* D *m. alia fecit* ἵσταντο P ἴστατο E μέντοι *bis* R 20 τολμηρῶς A Q D R τολμηρὸς P

σοφος, εἷς τῶν ἐνοικούντων ὢν τηνικαῦτα τῇ Σάμῳ, προελθὼν ἐπὶ τὴν ἀγορὰν καὶ θεασάμενος τοὺς μὲν δύο παῖδας σὺν εὐπρεπείᾳ παρισταμένους, μέσον δὲ τούτων τὸν Αἴσωπον, ἠγάσατο τὴν τοῦ ἐμπόρου ἐπίνοιαν, ὅπως τὸν αἰσχρὸν ἐν τῷ μεταξὺ τέταχεν, ὡς τῇ παραθέσει τοῦ δυσειδοῦς καλλίους ἑαυτῶν τοὺς νεανίσκους φανῆναι. ἐγγυτέρω δ' ἐπιστάς, ἐπύθετο τὸν ψάλτην, πόθεν ἂν εἴη. καὶ ὅς· „Καππαδόκης". καὶ ὁ Ξάνθος· „τί οὖν οἶδας ποιεῖν"; ὃ δέ· „πάντα". καὶ ἐπὶ τούτοις Αἴσωπος ἐξεγέλασε. τῶν δὲ σχολαστικῶν, οἳ τῷ Ξάνθῳ συνῆσαν, ὡς εἶδον p. 20 b. αὐτὸν γελάσαντα καὶ παραφήναντα τοὺς ὀδόντας ἐξαίφνης, καί τι τέρας ὁρᾶν δοξάντων, καὶ τοῦ μέν „ἦ που κήλη ἐστὶν ὀδόντας ἔχουσα" λέγοντος, τοῦ δέ „τί ποτε ἄρα ἰδὼν ἐγέλασε;" τοῦ δὲ ὡς „οὐκ ἐγέλασεν, ἀλλ' ἐρρίγωσεν", πάντων δὲ βουλομένων γνῶναι τίς ποτε ἦν ὁ γέλως, εἷς τις αὐτῶν προσελθὼν τῷ Αἰσώπῳ φησίν· „ὅτου χάριν ἐγέλασας"; καὶ ὅς· „ἀποχώρει, θαλάττιον πρόβατον". τοῦ δὲ ἀμηχανήσαντος τοῖς ὅλοις ἐπὶ τῷ λόγῳ, κἀκ τοῦ εὐθέος

1 ἐνοικούτων V τηνικαύτους P 2 προσελθὼν A K προέξελθῶν P 3 εὐτρεπεία V 4 ἡγήσατο V ἠγάσατο P ἠγάσατο A *quod in* ἡγήσατο *mutauit* A 2 5 τέταχεν *corr. ex* τέταγεν Q m. pr. 7 νεανίσκους V: νεανίας *ceteri* 7 ἐγγυτέρῳ v ἐγγιτέρῳ Z ἐγγιτέρω K δὲ Z 8 τὸν ψάλτην (οῦ *et* ου m. rec.) D τοῦ ψάλτου F K Z v καπαδόκης Q; ο *in* A *add.* m. rec. 9 εἶδας ποιῆν P 10 ἐξεγέλασεν Φ 11 Ξάνθει V 12 αὐτὸν *in* A *add.* A 2 ὀδόντας R P H *ut saepe; in* Q ὁ. *mutatum in* ὀ. 13 καὶ τοῦ μὲν *in* A *bis scriptum semel erasum est* 15 ποτ' Q ἆρα H, E (*ex corr.*) ἐγέλασεν M δὲ ὡς V R: δ' ὡς *ceteri* 16 ἐρίγωσεν V ἐρίγωσεν D ρ *add.* D 2 ἐρρίγωσε Q (*sed deleta l. ν*), R Q Z v ἐρίγωσε A P (*deleta l. ν*), E H 17 προελθὼν V 18 *cf. Syntipam p.* 188, 12 19 θάλ. πρόβ. *in margine suppleuit* Z mpr. 20 κἀκτοῦ a κακτρῦ b κἀκ τούτου E 20 εὐθέος M: εὐθέως D *supra scr.* o, εὐθέως *ceteri*

ἀναχωρήσαντος, ὁ Ξάνθος τῷ ἐμπόρῳ φησί· „πόσου τιμήματος ὁ ψάλτης“; τοῦ δέ „χιλίων ὀβολῶν“ ἀποκριναμένου, πρὸς τὸν ἕτερον ἦλθεν, ὑπερβάλλον ἀκούσας τὸ τίμημα. καὶ μέντοι καὶ τοῦτον ἐρομένου τοῦ φιλοσόφου, πόθεν ἂν εἴη, καὶ ἀκούσαντος ὅτι Λυδός, καὶ ἐπανερομένου „τί οὖν οἶδας ποιεῖν;“ κἀκείνου φαμένου „πάντα“, πάλιν ἐγέλασεν Αἴσωπος. τῶν σχολαστικῶν δέ τινος διαπορουμένου „τί δή ποτε οὗτος πρὸς πάντα γελᾷ“; ἕτερος πρὸς αὐτὸν εἶπεν· „εἰ βούλει καὶ σὺ θαλάσσιος τράγος ἀκοῦσαι, ἐρώτησον“. ὁ δὲ Ξάνθος καὶ αὖθις ἤρετο τὸν ἔμπορον· „πόσου τιμήματος ὁ γραμματικός;“ κἀκείνου „τρισχιλίων ὀβολῶν“ ἀποκριναμένου, δυσφόρως ὁ φιλόσοφος ἤνεγκε τὴν ὑπερβολὴν τοῦ τιμήματος καὶ στραφεὶς ἀπῄει. τῶν δὲ σχολαστικῶν ἐρομένων, εἰ μὴ ἤρεσεν αὐτῷ τὰ σωμάτια, „ναί“, φησίν „ἀλλὰ δόγμα κεῖται, μὴ ἀνδράποδον ὠνεῖσθαι τῶν πολυτίμων“. ἑνὸς δὲ τούτων φαμένου „ἀλλ' εἰ τοῦθ' οὕτως ἔχει, τὸν γοῦν αἰσχρὸν τοῦτον οὐδεὶς νόμος ἐμποδὼν ἵσταται μὴ ὠνήσασθαι· τὴν αὐτὴν γὰρ καὶ

1 *πόσου corr. ex πόσον* P 3 *ἀποκρινομένου* A 4 *ἀκούσας] ἀκηδιάσας? cf.* W *τούτων* P *ἐρωμένου* E H 5 *ἀκούσαντος] ἀκούσας* Φ 6 *λιδὸς* Z *ἐπανερωμένου* H *εἶδας* E b 7 *ἐγέλασε* A, *ν add.* A 2; *αἴσωπος ἐγέλασε* R 8 *διαπορουμένον (l. ν finalem substituit m. pr. in locum erasi ων)* Q, *ἀπορουμένου* E H K Z v, *ἐπανερομένου* Φ 9 *πρὸς πάντα scripsi et sic* Q: *πρὸς πάντας* V M D Φ E H K Z v *πάντας (om. praepositione)* R 10 *θαλάττιος* Q D E H K Z v 11 *ἔμπορον] αἴσωπον* V 12 *ὁ ante γρ. om.* P *γραματικὸς* A. *καὶ ἐκείνου* Z 13 *ὀβ. corr. ex ὀκ.* P *ἀποκριναμένον* P *δυσφόρος* P *δισφόρως* Z *ἐδυσφόρει ὁ φ.· καὶ τὴν ὑ. οὐκ ἤνεγκε τοῦ τιμ.* Q 15 *ἀπείη* E *ἐρωμένων* H *ἐρωμένον* P 16 *ἤρεσε* A *ν add.* A 2 17 *ἀνδράποδον corr. ex ἀνδραπόδων* R m. pr. *τῶν in* D *add.* D2 *πολιτῶν in* R *ante πολιτίμων statim deletum* 18 *εἰθ' οὕτως* Φ, D (*ταῦ add.* D 2), *εἰ ταῦθ' οὕτως* D 2, K Z v 19 *ἔχει, erasa l. ν* Q 20 *καὶ οὗτος] καὶ om.* V

οὗτος λειτουργίαν εἰσοίσει· καὶ ἡμεῖς τὸ τίμημα τούτου καταθησόμεθα“, Ξάνθος ἔφη· „ἀλλὰ γελοῖον p.22 b. ἂν εἴη ὑμᾶς μὲν ἐκτῖσαι τὸ τίμημα, ἐμὲ δὲ τὸν δοῦλον ὠνήσασθαι· ἄλλως τε καὶ τὸ γύναιόν μου καθάρειον ὄν, οὐκ ἂν ἀνάσχοιτο ὑπ᾿ αἰσχροῦ σωματίου ὑπηρετεῖσθαι“. τῶν δὲ σχολαστικῶν αὖθις εἰπόντων „ἀλλ᾿ ἐγγὺς ἡ γνώμη, καθηγητά, τοῦ μὴ πείθεσθαι γυναικί“, ὁ φιλόσοφος εἶπε· „λάβωμεν πρότερον πεῖραν εἰ οἶδέ τι, μή ποτε καὶ τὸ τίμημα μάτην ἀπόληται“. προσελθὼν γοῦν τῷ Αἰσώπῳ „χαῖρε“ φησί. καὶ ὅς· „μὴ γὰρ ἐλυπούμην“; καὶ ὁ Ξάνθος· „ἀσπάζομαί σε“. κἀκεῖνος· „κἀγὼ σέ“. καὶ ὁ Ξάνθος ἅμα τοῖς ἄλλοις ἐπὶ τῷ παραλόγῳ καὶ ἑτοίμῳ τῆς ἀποκρίσεως ἐκπλαγείς, ἤρετο· „ποταπὸς εἶ“; ὁ δέ „μέλας“ φησί. καὶ ὁ Ξάνθος· „οὐ τοῦτό φημι, ἀλλὰ πόθεν γεγέννησαι“; καὶ ὅς· „ἐκ τῆς γαστρὸς τῆς μητρός μου“. καὶ ὁ Ξάνθος· „οὐ τοῦτο λέγω, ἀλλ᾿ ἐν ποίῳ τόπῳ γεγέννησαι;“ κἀκεῖνος· „οὐκ ἀνήγγειλέ μοι ἡ μήτηρ μου, πότερον ἐν ἀνώγεῳ ἢ κατώγεῳ“.

2 τοῦτο A τούτο P ὁ ξάνθος v 3 ἂν εἴη] μὲν ἂν εἴη Q μὲν *om.* E H F K Z v ἐκτίσαι M V Q D Φ R E H v 4 μου] μὲν Q καθάριον D F K Z v, *in* Q ει m. pr. *sed ut uidetur corr. ex* ι 5 ἂν *om.* Z σώματος Φ 7 καθηγητά, τοῦ *scripsi:* καθηγητὰ τὸ Q D R, *cf.* W. κα... τὰ τὸ *cum spatio trium litterarum* M κατὰ τὸ V E H F K Z v τοῦ *solum* Φ πίθεσθαι Z 8 γυναικὸς R εἶπε V *sed* ε *uidetur corr. ex* εν, εἶπεν M λάβομεν P E H πρῶτον M 9 πεῖραν *om.* Q ἀπόλληται Φ ἀπόλυται V D ἀπόλειται E 10 οὖν K φησίν E 11 ἀσπάσομαί Z 12 κακ. καγὼ σε D, κ. κἀγώ σε Q 13 τῆς ἀποκρίσεως *om. R* 15 φησὶν E ὁ ξ., φησὶν, οὐ τ. φ. R 16 γεγέ-νησαι D Φ E H F K Z v ..ν.. R (ν *superscr.*) καὶ ὁ ξ. — μου (17) *om.* Z 17 καὶ ὅς] καὶ ὃ ὁ P, κἀκεῖνος V τούτω Z 18 γεγένησαι Q D K F v, *in* R *prius* ν *add.* m. pr. ἀνήγγειλέν P 19 μου *om.* M Q D R H, E (*sed in hoc libro erasum est*) πρότερον P ἐν *om.* R E ἀνωγέω ἢ κατωγέω M V Q R P E H ἀνωγαίω, ἢ κατωγαίω D

καὶ ὁ φιλόσοφος· „τί δὲ πράττειν ἐπίστασαι“; κἀκεῖνος· „οὐδέν“. καὶ ὁ Ξάνθος· „τίνα τρόπον“; ὃ δέ· „ἐπειδήπερ οὗτοι πάντα ἐπίστασθαι ἐπηγγείλαντο, ἐμοὶ δὲ κατέλιπον οὐδὲ ἕν“. καὶ ἐπὶ τούτοις οἱ σχολαστικοὶ ὑπερφυῶς ἀγάμενοι, „νὴ τὴν θείαν πρόνοιαν“, ἔφασαν, „πάνυ καλῶς ἀπεκρίνατο· οὐδὲ γάρ εἷς ἐστιν ἄνθρωπος, ὃς ἅπαντα εἰδείη. διὰ γὰρ ταῦτα δηλαδὴ καὶ ἐγέλα“. αὖθις οὖν ὁ Ξάνθος φησί· „βούλει πρίωμαί σε“; καὶ ὁ Αἴσωπος· „ἐμοῦ πρὸς τοῦτο συμβούλου δέῃ; ὁπότερόν σοι δοκεῖ βέλτιον, ἤτοι πρίασθαι ἢ μή, ποίει· οὐδεὶς γὰρ οὐδὲν πρὸς βίαν ποιεῖ· τοῦτο παρὰ τῇ σῇ κεῖται γνώμῃ. κἂν μὲν βούλῃ, βαλαντίου θύραν ἀνοίξας ἀργύριον ἀρίθμει· εἰ δὲ μή, μὴ σκῶπτε“. πάλιν οὖν οἱ σχολαστικοὶ πρὸς ἀλλήλους ἔφασαν· „νὴ τοὺς θεούς,
p. 24 b. *νενίκηκε τὸν καθηγητήν“. τοῦ δὲ Ξάνθου φήσαντος „ἐὰν πρίωμαί σε, δραπετεῦσαι βουλήσῃ“; γελάσας ὁ Αἴσωπος ἔφη· „τοῦτο εἰ βουλήσομαι πρᾶξαι, οὐ πάντως χρήσομαί σοι συμβούλῳ, ὡς δὴ καὶ σὺ μικρῷ*

2 *καὶ ὁ ξάνθος in* D *add.* D 2 *in margine* 3 *ἐπίστανται* R 4 *ἐμοί δε* E H *ante κατέλιπον in* D *trium fere litterarum rasura* *οὐδεὲν* (*ὲν factum ex ἓν*) R *οὐδεέν* M H E *ὀυδεὲν* P 7 *ἄνῶσ* Z *ὃς ἅπαντα εἰδείη* V D: *ὃς ἂν πάντα εἰδείη ceteri. cf.* Krügeri Gr. Gr. 54, 14, 4 Madvigi Synt. Gr. p. 143 *n.* *διὰ γὰρ ταῦτα postea addita in* Z 8 *post ἐγέλα in* Q *erasum σε* 10 *τούτου* R 11 *ἤτοι*] *ἤτοι* E *ἤτη* P *ἢ* F K Z v 12 *κἂν μεν* Z *ut saepe* 13 *βούλῃ, η ex ει factum* m. pr. M *βούλει* Q D Φ E H *post βούλει in* Q *in extrema p.* 19 *erasum βα: qualia fere semper praeterii* 14 *ἀριθμεῖ* Z *alterum μὴ om.* E H F K Z a, b 1530 *σκῶπτε, in margine κόπτε* K 14 *οὖν om.* A 17 *δραπετεύσῃ* (*αι* supra) D *αι add.* D 2 *βουλήσῃ corr. ex βουλεύσῃ* D, *βουλήσει* P 17 *inter γελάσας ὁ add. τοίνυν* E, *τοί deletum* E 18 *τοῦτο*] *ταῦτα* Φ *πράξαι* Q R P b 19 *πάντα* P *ὡς*] *ὃς* b 1530, *ὃς* 1534 *μικ in* A *corr. ex μοι*

πρόσθεν ἐμοί". καὶ ὁ Ξάνθος· „καλῶς μὲν λέγεις, ἀλλ' αἰσχρὸς εἶ". κἀκεῖνος· „εἰς τὸν νοῦν ἀφορᾶν δεῖ, φιλόσοφε, καὶ μὴ εἰς τὴν ὄψιν". τότε τῷ ἐμπόρῳ προσελθὼν ὁ Ξάνθος φησί· „πόσου τοῦτον πωλεῖς;" καὶ ὅς· „κερτομῆσαί μου πάρει τὴν ἐμπορίαν, ὅτι τοὺς ἀξίους σου παῖδας ἀφείς, τὸν αἰσχρὸν τοῦτον εἵλου; θάτερον τῶν λοιπῶν ὤνησαι, τοῦτον δὲ πρόσδομα λάβε". καὶ ὁ Ξάνθος· „οὐ δῆτα, ἀλλὰ τοῦτον". καὶ ὁ ἔμπορος· „ἑξήκοντα ὀβολῶν ὤνησαι". καὶ οἱ μὲν σχολαστικοὶ παραχρῆμα τὸ τίμημα συνεισενεγκόντες κατέθεντο, ὁ δὲ Ξάνθος ἐκτήσατο. οἱ τοίνυν τελῶναι τὴν πρᾶσιν μεμαθηκότες παρῆσαν ἀνακρίνοντες, τίς μὲν ὁ ἀπεμπολήσας, τίς δ' ὁ πριάμενος. αἰσχυνομένων δ' ἀμφοτέρων ἑαυτοὺς ἀνειπεῖν διὰ τὸ πενιχρὸν τοῦ τιμήματος, Αἴσωπος στὰς εἰς τὸ μέσον ἀνέκραξεν· „ὁ μὲν πραθείς, ἐγώ· ὁ πριάμενος δ' οὑτοσί, καὶ ὁ πωλήσας ἐκεινοσί. εἰ δ' αὐτοὶ σιωπῶσιν, ἐγὼ ἄρα ἐλεύθερός εἰμι". οἱ δὲ τελῶναι διαχυθέντες, ἐχαρίσαντό τε τῷ Ξάνθῳ τὸ τέλος καὶ ἀπηλλάγησαν.

Ὁ μὲν οὖν Αἴσωπος ἠκολούθει πρὸς τὴν οἰκίαν VII

1 καλῶς (καλὸς P) μὲν λέγεις M Q D Φ E H F K Z v: μὲν *om.* V R ἀλ' Q 2 δεῖ] χρὴ Φ 4 ὁ *om.* P πόσου τιμήματος τοῦτον E, H *sed in hoc* τιμήματος *deletum* πολεῖς Z, *in* Q πωλεῖς *corr. ex* πολλεις 5 κερτομῆσαι M πάρει *in* Q *fecit ex* περὶ m. pr. 6 σου *om.* R 10 τὸ τίμημα *om.* F K Z v 11 ενεγ *in* A *ex corr.* ἐκτήσαντο R 12 πράσιν Φ F (Z) v 13 μέν τ A ἀπεμπωλήσας V R E H Z, *pars edd.* 14 δὲ ἀμφ. Z δ' ἀ. *in* H *corr. ex* δὲ ἂν εἰπεῖν P 15 ὁ αἴσωπος F K Z v 16 πριαθεὶς E 17 δ' *om.* R, δὲ Z; ὁ δὲ πρ. ο. Q ὁ μὲν πωλήσας Z ἐκεινοσὶν M E ἐκεῖνος εἶ P εἰ δὲ Z 18 σιωπῶσι, A ἄρα E H P οἱ δὲ] οἶδα P 19 ἐχάρισαν τότε V Q R τὸ] τῶ Z 20 ἀπηλλάγησαν] διαχύθησαν A διεχύθησαν P; *librarius* Φ *uidetur uoluisse* διελύθησαν 21 αἴσ. *corr. ex* ἔσ. Q m. pr. ἀκολούθει K

ΒΙΟΣ ΑΙΣΩΠΟΥ ΤΟΥ ΜΥΘΟΠΟΙΟΥ.

p. 4 b. 1530 Πραγμάτων φύσιν τῶν ἐν ἀνθρώποις ἠκρίβωσαν μὲν καὶ ἄλλοι, καὶ τοῖς μετ' αὐτοὺς παρέδωκαν φέροντες· Αἴσωπος δὲ δοκεῖ μὴ πόρρω θειοτέρας ἐπιπνοίας τῆς ἠθικῆς διδασκαλίας ἀψάμενος πολλῷ τῷ μέτρῳ τοὺς πολλοὺς αὐτῶν παρελάσαι. καὶ γὰρ οὔτ' ἀποφαινόμενος, οὔτε συλλογιζόμενος, οὔτε μὴν ἐξ ἱστορίας, ἣν ὁ πρὸ τῆς κατ' αὐτὸν ἡλικίας ἤνεγκε χρόνος, τὴν νουθεσίαν διατιθέμενος, ἀλλὰ μύθοις τὰ πάντα παιδοτριβῶν, οὕτω τὰς τῶν ἀκροωμένων ἀγρεύει ψυχάς, ὡς αἰσχύνεσθαι ταῦτα τοὺς λογικοὺς ποιεῖν ἢ φρονεῖν, ἃ μήτε ὄρνιθες μήτε ἀλώπεκες, καὶ αὖ πάλιν μὴ προσέχειν ἐκείνοις, οἷς πολλὰ τῶν ἀλόγων ἐν καιρῷ καὶ νουνεχῶς προσεσχηκότα μυθεύεται.

in M βίος αἰσώπου τοῦ μυθοποιοῦ *in folio lacerato superest: cetera quidem pars lineae prope tota est abscissa, sed nihil uidetur scripti periisse.* τοῦ μυθοποιοῦ *om.* V αἰσ. β. τοῦ μ., μαξίμω τῷ πλανούδη συγγραφεὶς KZv βίος αἰσ. τοῦ μ. συγγραφεὶς παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ μαξίμου τοῦ πλανούδη Q οὗτος ὁ βίος λέγεται συγγραφεὶς παρὰ τοῦ τιμιωτάτου ἐν μοναχοῖς μαξίμου τοῦ πλανούδη *codicis* P *m. altera saec.* XV 3 μετὰ A 4 μὴ] μοι *in rasura* Z ἐπιπνοίας] ιπν *in ras* A 2 6 αὐτὸν E παρελάσας Q 7 συλλογισόμενος Z 8 ἦν E P ὁ *om.* A ἡλικίας] ἱστορίας Φ ἤνεγκεν P, *post* ἤνεγκε *aliquid erasum in* Q 11 ἀγρεύει M *sed ita abolitum ut cognoscere tibi uidearis* ἀγριῶ ταῦτα *om.* F J K Z v 12 ἢ *euanuit in* M μήτε—μήτε V D Q μήτ—μήτε M R E H μήτ'—μήτ' Φ J F Z v 13 μὴ *om.* Q, *in* D *add. supra uersum* 14 *post* καιρῷ *om.* καὶ Z K J F v, *in* D *deletum punctis* μυθ.] θαυμάζεται Q

ἐξ ὧν ἃ μὲν κινδύνους ἐπηρτημένους αὐτοῖς διέδρα, ἃ δὲ μεγίστης ἐν τοῖς καιρίοις τῆς ὠφελείας ἔτυχεν. οὗτος τοίνυν ὁ τὸν καθ' αὑτὸν βίον φιλοσόφου πολιτείας εἰκόνα προθέμενος καὶ ἔργοις μᾶλλον ἢ λόγοις φιλοσοφήσας, τὸ μὲν γένος ἐξ Ἀμορίου τῆς Φρυγίας κατῆγε τῆς μεγάλης ἐπίκλησιν, τὴν δὲ τύχην γέγονε δοῦλος. ἐφ' ᾧ καὶ σφόδρα μοι δοκεῖ τὸ τοῦ Πλάτωνος ἐν Γοργίᾳ καλῶς ἅμα καὶ ἀληθῶς εἰρῆσθαι· „ὡς τὰ πολλὰ γὰρ ταῦτα“ φησίν „ἐναντία ἀλλήλοις ἐστίν, ἥ τε φύσις καὶ ὁ νόμος“. Αἰσώπου γὰρ τὴν ψυχὴν ἡ μὲν φύσις ἐλευθέραν ἀπέδωκεν, ὁ δὲ παρ' ἀνθρώπων νόμος τὸ σῶμα πρὸς δουλείαν ἀπέδοτο. ἴσχυσε μέντοι οὐδ' οὕτω τῇ τῆς ψυχῆς ἐλευθερίᾳ λυμήνασθαι, ἀλλὰ καίτοι πρὸς πολλὰ καὶ πολλαχόσε μεταφέρων p. 6 b.
τὸ σῶμα, τῆς οἰκείας ἐκείνην ἕδρας οὐχ οἷός τ' ἐγένετο μεταστῆσαι. ἐτύγχανε δ' ὢν οὐ μόνον δοῦλος, ἀλλὰ καὶ δυσειδέστατα τῶν ἐπ' αὐτοῦ πάντων ἀνθρώπων εἶχε. καὶ γὰρ φοξὸς ἦν, σιμὸς τὴν ῥῖνα, σιμὸς

1 ἃ μὲν] ἃ *om.* (Z) b ἐπηρμένους Z v ἐπηρμένους (τη, ρ *suprascr.*) F ἐπητημένους A ρ *add.* A 2 αὐτοῖς *om.* Φ. *in* M αὐτοῖς *corr. ex* αὐτοὺς 2 μεγίστοις R E H, *in* D m. pr. ης *factum ex* οις καιροῖς R τῆς *om.* Q ἔτυχεν] ν *euanuit in* M 3 κατ' αὐτὸν V καθ' ἑαυτὸν M καθ' αὐτὸν E 5 φιλοσοφίσας R P ἀμορίου (ω *suprascr.*) D, ω *add.* D 2 7 Plat. Gorg. 482 *extr.* 2, 80, 6 Bk. 8 ἠρεῖσθαι V 9 γὰρ] δὲ Plato: *quare* γὰρ *cum* φησὶν *coniungendum uidetur.* τὰ π. γὰρ τ *euanuerunt in* M ἐναντί' M Φ 10 φύσις *om.* A, *add.* A 2; P *in marg. manu rec.* πλάτων *et* φύσις καὶ νόμος: *qualia abhinc praetermitto.* καὶ ὁ] ὁ *om.* R 11 παρ'] περὶ R 12 ἀπέδετο A ἀπέδωτο P οὐδῶτω P 13 τὴν τ. ψ. ἐλευθερίαν F J Z v τὸ τ. ψ. ἐλευθερίαν D, *suprascr.* ην D 2, τῆς τῆς ψ. ἐλευθερίας E, H (*l.* ς *priori articulo postea adiecta*), τῆ—ἐλευθερία Q 1 *unde* Q 2 *fecit* τὴν—ἐλευθερίαν 14 μεταφέρον Q 15 ἐκείνην *ante* τῆς οἰκ. A οὐχ' D Q A *ut saepe* οἷος τ' M D Q E H A J F *fere ubique* 16 ἐτύχ. (γ *suprascr.*) Q μόνως J 17 δυσειδέστατον Q ἐπ'] ἀπ' R 18 εἶχεν M R *alterum* σιμὸς *ex* σιμὸν *fecit* A 2

τὸν τράχηλον, πρόχειλος, μέλας — ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχε· ταὐτὸν γὰρ Αἴσωπος τῷ Αἰθίοπι — προγάστωρ, βλαισὸς καὶ κυφός, τάχα καὶ τὸν Ὁμηρικὸν Θερσίτην τῇ αἰσχρότητι τοῦ εἴδους ὑπερβαλλόμενος. τὸ δὲ δὴ πάντων ἐν αὐτῷ χείριστον ἦν τὸ βραδύγλωσσον καὶ τὸ τῆς φωνῆς ἄσημόν τε καὶ ἀδιάρθρωτον. ἃ πάντα καὶ δοκεῖ τὴν δουλείαν Αἰσώπῳ παρασκευάσαι· καὶ γὰρ δὴ καὶ θαῦμα ἂν ἦν, εἰ οὕτως ἀτόπως ἔχοντι τοῦ σώματος ἐξεγένετο τὰς τῶν δουλούντων ἄρκυς διαφυγεῖν. ἀλλὰ τὸ μὲν σῶμα τοιοῦτον ἦν τῷ ἀνδρί· τὴν δὲ ψυχὴν ἀγχινούστατος ἐπεφύκει καὶ πρὸς ἐπίνοιαν πᾶσαν ἐπηβολώτατος.

I *Ὁ κεκτημένος τοίνυν αὐτόν, ἅτε πρὸς οὐδὲν τῶν ἐντὸς οἰκίας ἔργων οἰκείως ἔχοντα, σκάπτειν εἰς ἀγρὸν ἐξαπέστειλεν. ὃ δ' ἀπελθὼν, τοῦ ἔργου προθύμως εἴχετο. ἀφικομένῳ δέ ποτε καὶ τῷ δεσπότῃ πρὸς τὸν ἀγρὸν ἐφ' ᾧ τῶν ἔργων ἐπισκοπὴν θέσθαι γεωργός τις σῦκα τῶν ἀγαθῶν δρεψάμενος δῶρον ἤνεγκεν. ὃ δ' ἐπὶ τῷ τῆς ὀπώρας ἡσθεὶς ὡραίῳ, Ἀγαθόποδι τῷ οἰ-*

1 τὸν] τὸ (Z) b μέτρας A 2 ταυτὸν M D Q A E H J F v *ut saepe* αἴσωπον E H ἔσωπος (αι *supra*) Q τῷ] τὸ Q αἰθίωπι E Z 3 καὶ κυφὸς] κεκυφὸς E κεκυφὼς P τὸν *om.* Q 4 θερόιτην E ὑπερβαλόμενος Q, *alterum* λ *add.* Q 2 5 ἐν] ἐπ' Q τὸ *ante* βραδ. *om.* Z βραδύγλωσσον] σσ *ex corr.* M 6 φονῆς A 7 τῶ αἰσ. Q παρακευάσαι V 8 ἂν *om.* Φ ἐι ούστως P 12 ἐπιβολώτατος V, A 2 (η *in* ι *mutauit* A 2) ἐπιβουλώτατος E H ἐπηβουλώτατος J ἐπιβολώτατος (η *supra*) Q, η *add.* Q 2 13 οὐδὲν] οὐδὲν ἦν A τῶν ἐντὸς *om.* E H J F Z K v τῶν ἐντὸς τῆς οἰκίας Q οἰκίας *fecit ex* οἰκείας A 2 14 ἔργον *corr. ex* ἔργων E 15 ἀπέστειλεν A ὃ δ' *restitui ubique cum parte librorum* προθύμως τοῦ ἔργου E H J F K Z v 16 ἀφικομένω *in marg.* K τὸν *om.* V; τοὺς P 1, τὸν P 2 17 ἐφῷ M Q A H J F δόσθαι R γεωρός A γ *add.* A 2 18 ἤνεγκε A, P *ex corr.* m. pr. 19 ἀγαθο *in* M *abscissum.* ἀγαθόπαιδι Φ

κέτῃ — τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδί — φυλάττειν ἐκέλευσεν, ὡς αὐτῷ μετὰ τὸ λουτρὸν παραθεῖναι. συμβὰν δ' οὕτω, καὶ τοῦ Αἰσώπου κατὰ δή τινα χρείαν εἰσελθόντος εἰς τὴν οἰκίαν, ἀφορμῆς ὁ Ἀγαθόπους λαβόμενος, βουλὴν τοιάνδε τῶν συνδούλων τινὶ προτείνει· „ἐμφορηθῶμεν, εἰ δοκεῖ, τῶν σύκων, ὦ οὗτος, κἂν ὁ δεσπότης ἡμῶν ταῦτα ζητήσῃ, ἀλλ' ἡμεῖς γε τοῦ Αἰσώπου καταμαρτυρήσομεν ἄμφω ὡς εἰς τὴν οἰκίαν p. 8 b. *εἰσδραμόντος καὶ ἀδείας τυχόντος καὶ τὰ σῦκα λάθρα καταφαγόντος, καὶ ἐπ' ἀληθεῖ θεμελίῳ τῇ πρὸς τὸν οἶκον εἰσόδῳ πολλὰ τῶν ψευδῶν ἐποικοδομήσομεν. καὶ τὸ μηδὲν ἔσται ὅγε εἷς πρὸς τοὺς δύο, καὶ ταῦτα μηδ' ἄνευ ἐλέγχων διᾶραί ποτε τὴν γλῶτταν δύναμιν ἔχων". δόξαντος δὴ τούτου πρὸς τοὔργον ἐχώρησαν, καὶ τῶν σύκων ἐσθίοντες ἔλεγον ἐφ' ἑκάστῳ σὺν γέλωτι· „φεῦ σοι, δύστηνε Αἴσωπε". ὁ τοίνυν δεσπότης ἐπανελθὼν ἀπὸ τοῦ λουτροῦ, καὶ τὰ σῦκα ζητήσας καὶ ἀκούσας ὡς Αἴσωπος αὐτὰ κατεδήδοκε, τόν τε Αἴσωπον σὺν ὀργῇ κελεύει κληθῆναι καὶ κληθέντι*

1 *ἦν om.* A *τῷ παιδὶ*] *αὐτῶ τῶ παιδὶ* Q 2 *αὐτῶ* R a *αὐτὸ* Z K *αὐτὰ* (ῷ *supra*) F, *ῶ* F 2 *μετὰ δὲ οὕτω* K *παραθῆναι* R E H *παρασθεῖναι* P *συμβᾶν* E, H *ex corr.* 3 *ἐσώπου* E *et sic saepe* *καταδή* E H F 4 *ὁ om.* P 5 *βουλὴν om.* Φ *τινὶ ante τῶν συνδ. conlocat* Φ 6 *συκῶν* D 1 *corr.* D 2 7 *ζητήσῃ*] *αἰτήσῃ* Φ *ζητήσει* E H *γε om.* J F Z K v 8 *καταμαρτυρήσωμεν* F P; *in* A *υ et η ex corr.* A 2 9 *καὶ ἀδ. τυχ. om.* Z v *τυχόντες* P 10 *ἐπαληθεῖ* R E H, Z (*sed corr.*), *ἐπαλ' ἐνθεῖ uel ἐγθεῖ* P *θεμελίῳ*] *τεκμηρίῳ* A 11 *ἐπικοδομήσομεν* E H *ἐποικοδομήσωμεν* Q 12 *τὸν* b 1530. *τότε?* 13 *μὴ δ'* M A E H J F v *μηδαν εὐελέγχων, διὰρ αἴποτε* P: *monstrum scripturae ut sit ceterorum praetermissorum exempli loco semel ascripsi.* 14 *δὴ*] *δὲ* K *τούτου*] *τούτον* P *τοὔργον* M Q D A v *ἐχόρησαν* R 15 *συκῶν* R 16 *ἔσωπε* E 18 *ὡς om.* Φ *αἴσωπον — κατεδηδοκέναι* Φ *κατεδήδοκεν* M R *τε*] *δὲ* Z *τόν τε αἴσωπον om.* Φ 19 *σ. ο. κληθῆναι αὐτὸν κελεύει* Φ

φησί· „λέγε μοι, ὦ κατάρατε, οὕτω μου κατεφρονήσας, ὡς εἰς τὸ ταμιεῖον εἰσελθεῖν καὶ τὰ ἑτοιμασθέντα μοι σῦκα θοινήσασθαι“; ὁ δὲ ἀκούων μὲν καὶ συνιεὶς ἦν, λαλεῖν δ' εἶχεν οὐδ' ὁπωσοῦν διὰ τὸ βραδύγλωσσον· μέλλων δὲ ἤδη τύπτεσθαι, τῶν κατηγόρων σφοδρότερον ἐπικειμένων, πεσὼν πρὸς τοὺς τοῦ δεσπότου πόδας, ἀνασχέσθαι μικρὸν ἐδεῖτο. δραμὼν δὲ καὶ χλιαρὸν ὕδωρ προσενεγκών, τοῦτόν τε πέπωκε, καὶ τοὺς δακτύλους εἰς τὸ στόμα καθείς, αὖθις τὸ ὑγρὸν μόνον ἀνέβαλεν· οὔπω γὰρ τροφῆς ἁψάμενος ἔτυχεν. ἠντιβόλει γοῦν αὐτὸ τοῦτο καὶ τοὺς διώκοντας δρᾶσαι, ὡς ἂν δῆλον γένηται, τίς ὁ τὰ σῦκα διαφορήσας. ὁ δὲ δεσπότης τὸ νοῆμον αὐτοῦ θαυμάσας, οὕτω ποιεῖν καὶ τοῖς ἄλλοις ἐπέταξεν. οἱ δ' ἐβουλεύσαντο πιεῖν μὲν τοῦ ὕδατος, μὴ μέντοι καὶ καθεῖναι κατὰ τοῦ λαιμοῦ τοὺς δακτύλους, ἀλλ' ἐπὶ τὰ πλάγια τῶν γνάθων αὐτοὺς παραφέρειν. οὐκ ἔφθασαν δὲ πιόντες, καὶ τὸ χλιαρὸν ὕδωρ ἐκεῖνο ναυτίαν τοῖς πεπωκόσι παραχρῆμα ἐπενεγκόν, αὐτομάτην παρέσχε τὴν ὀπώραν ἀναδοθῆναι. τότε τοίνυν πρὸ ὀφθαλμῶν πεσόντος τοῦ

1 φησίν M E ὢ *om.* Φ μου] μοι R κατεφρ. *fecit ex* καταφρ. A 2 2 ταμεῖον E ἐλθεῖν Φ ἑτοιμασθέντα Q 4 δὲ H E F Z K v δὲ οὐκ εἶχεν ο. Φ οὐδοπωσοῦν M D οὐδοποσοῦν H Z K J F βραδίγλ. E 5 μέλλον F σφοδρότερον *scripsi:* σφοδροτέρων *libri* 7 ἀναχέσθαι E (*sed erasa l. σ.*), H P ἀνέχεσθαι D (*in marg.* D 2 ἀνασχέσθαι), R 9 αὖθις] εὐθὺς? αὐτίκα? *sed cf. Hertlein ad Xen. An.* III 2, 11 *et* Jahrb. f. Phil. 95, 475, iterum *Liu.* 21, 18, 14 10 ἀνέβαλε V 13 δὲ *om.* R, D *add.* D 2 τὸ] τὸν A ποιεῖν *corr.* (*ex* πιεῖν?) A 2 14 τοὺς ἄλλους H E J F K Z v προσέταξεν V ποιεῖν K, πιεῖν *in* ποιεῖν *mutauit* A 2 15 καὶ *om.* Φ H E J F K Z v καθῆναι Q R 16 γναθῶν A 17 περιφέρειν Q D R 18 πεποιηκόσι D ο D 2 πεποκόσι b πεπωκόσιν ἐπ. παρ. Φ 19 ἐπενεγκὼν H E J F K Z ὑπενεγκὼν R αὐτομῶτον P παρέσχεν τὴν R παρέσχεται A (*om.* τὴν) 20 ὀφθαμῶν V

τε κακουργήματος τῶν οἰκετῶν καὶ τῆς συκοφαν- p. 10 b. τίας, ὁ μὲν δεσπότης ἐκέλευσεν αὐτοὺς γυμνωθέντας μαστίζεσθαι· οἳ δ' ἐπέγνωσαν σαφῶς κατὰ τὸν εἰπόντα ὡς

ὅςτις καθ' ἑτέρου δόλια μηχανεύεται
αὐτὸς καθ' αὑτοῦ τοῦτο ποιῶν λανθάνει.

Τῇ δ' ἐπιούσῃ τοῦ μὲν δεσπότου εἰς ἄστυ ἐπαναζεύξαντος, τοῦ δ' Αἰσώπου σκάπτοντος ᾗ προσετάγη, II ἱερεῖς τῆς Ἀρτέμιδος εἴτ' ἄλλοι τινὲς ἄνθρωποι τῆς ὁδοῦ πλανηθέντες καὶ τῷ Αἰσώπῳ περιτυχόντες, προὐτρέποντο πρὸς Διὸς ξενίου τὸν ἄνδρα τὴν εἰς ἄστυ φέρουσαν αὐτοῖς ὑποδεῖξαι. ὃ δ' ὑπὸ σκιὰν δένδρου τοὺς ἄνδρας ἀπαγαγὼν πρότερον καὶ λιτὸν παραθέμενος δεῖπνον, εἶτα καὶ ἡγησάμενος αὐτοῖς, εἰς ἣν ἐζήτουν ὁδὸν εἰσήνεγκεν. οἳ μὲν οὖν τοῦτο μὲν ἐπὶ τῇ ξενίᾳ, τοῦτο δὲ καὶ ἐπὶ τῇ ὁδηγίᾳ διαφερόντως τοῦ ἀνδρὸς ἐξαρτηθέντες, τάς τε χεῖρας εἰς οὐρανὸν ἦραν καὶ εὐχῇ τὸν εὐεργέτην ἠμείψαντο. Αἴσωπος δ' ὑποστρέψας καὶ εἰς ὕπνον καταπεσὼν ὑπό

1 τῆς *om.* M V D R H Φ J F Z K καὶ τῆς *om.* K, *in marg. suppl.* καὶ 4 ὡς *om.* Φ, *in* M *abscissum periit* 5 δύλους Φ μηχανέβεται P 6 αὐτὸς καθ' αὐτοῦ τοῦτο λανθάνει ποιῶν V, M *in margine* (*addito* γρ.) (*Lugd; cf. W*): *scripsi* ποιῶν λανθάνει *non immemor eorum quae post Porsonem Dindorfius in* praef. poët. scen. *exposuit:* αὐτῷ (αὐτῶ D E H F Z K b) λέληθε τὸ κακὸν (κακῶν P) ἀρχιτεκτονῶν Q D R Φ E H F I K Z, M *in textu*, v 7 μὲν *om.* Φ εἱ P *cf.* 11 ἐπανεξεύξαντος R ἀναζεύξαντος ed. Neuelet. 8 τοῦ δὲ Z, καὶ τοῦ (*om.* δὲ) Φ κάμνοντος Q προσετάγη V: προσετάχθη *ceteri* (Z *ex* προετ. *corr.*) 9 εἴτ' ἄλλοι τινὲς *om.* D 11 προυτρέποντο Q D Φ H J F K Z v: *qualia in posterum non notabo* ἐσ A 12 ὑποσκιὰν E H 13 ἀπαγὼν F Z καὶ *ante* λιτὸν *om.* a λυτὸν Q 15 *ante* ὁδὸν *in* A *add.* εἰς A 2 οὕτω, *in margine* γρ. τοῦτο (m. pr.?) Q, *ante* τοῦτο *in* A *erasum* τουτο 16 δὲ καὶ] δὲ *om.* E διαφερόντως *om.* Φ 18 ἦρον F τοῦ εὐεργέτην (ην *factum ex* ειν) P εὐεργετὴν R ἀμείψαντο Z

τε τοῦ συνεχοῦς πόνου καὶ καύματος, ἔδοξεν ἰδεῖν τὴν Τύχην ἐπιστᾶσαν αὐτῷ, καὶ λύσιν τῆς γλώττης καὶ λόγου δρόμον καὶ σοφίαν τὴν τῶν μύθων χαριζομένην. εὐθὺς οὖν διυπνισθείς φησι· „βαβαί, πῶς ἡδέως κεκοίμημαι· ἀλλὰ καὶ καλὸν ὄνειρον ἰδεῖν ἔδοξα. καὶ ἰδού, ἀκωλύτως λαλῶ· βοῦς, ὄνος, δίκελλα. νὴ τοὺς θεούς, συνῆκα πόθεν μοι τἀγαθὸν προσεγένετο τοῦτο· εὐσεβήσας γὰρ εἰς τοὺς ξένους, ἀντιλαμβανομένου τοῦ κρείττονος ἔτυχον. ἆρ' οὖν τὸ εὖ ποιεῖν ἀγαθῶν ἐστι πλῆρες ἐλπίδων.“

III Οὕτω μὲν οὖν Αἴσωπος ὑπερησθεὶς τῷ πράγματι, πάλιν ἤρξατο σκάπτειν. τοῦ δ' ἐφεστηκότος τῷ ἀγρῷ — Ζηνᾶς ἦν αὐτῷ τοὔνομα — πρὸς τοὺς ἐργαζομένους ἐλθόντος καὶ τούτων ἕνα, ἐπειδὴ μικρὸν ἐσφάλη τοῦ ἔργου, τῇ ῥάβδῳ πατάξαντος, Αἴσωπος παραχρῆμα
p. 12 b. ἀνέκραγεν· „ἄνθρωπε, τοῦ χάριν τὸν μηδὲν ἠδικηκότα οὕτως αἰκίζῃ καὶ πᾶσιν εἰκῇ πληγὰς ἐμφορεῖς δι' ἡμέρας; πάντως ἀναγγελῶ ταῦτα τῷ κεκτημένῳ.“ Ζηνᾶς δὲ ταῦτα τοῦ Αἰσώπου ἀκούσας, ἐξεπλάγη τε οὐ μέσως, καὶ πρὸς ἑαυτὸν εἶπεν· „Αἴσωπος λαλεῖν ἀρξά-

1 συνεχουσῶν P 2 τύχειν P ἐπιστῶσαν (α supra ω) Q, α add. Q 2 λύσιν] ἔκλυσιν deleto qui in ύ erat accentu Z κλύσιν l. κ deleta puncto J 3 χαριζομένων P 4 εὐθεὶς P 5 εἰδέως κεκοίμησαι P εἰδεῖν P Z 6 ἀκωλύτως (o supra ω) R m. pr. δίκελα Φ (A ex corr.) 7 τὸ ἀγαθὸν P 9 ἀντιλαβομένου ed. Basil. 1547 τοῦ] μου τοῦ Q τοῦ κρείττονος] i. e. dei. κρείτονος (τ supra ει) F, τ F 2 ἄρ' M V D R F J Z K v 10 ἀγαθὸν Φ ἀγγαθῶν in rasura m. pr. Q ἐπιπλῆρες H 12 ἤρξατο σκάπτειν om. A, supplet A 2 13 ζηνὰς P plerumque ἦν om. Φ 14 τοῦτον V Q 15 τῇ ῥάβδῳ om. Φ 16 τὸν om. A 1, add. A 2 17 οὕτω R ἐμφοριεῖς P καὶ πᾶσι (uel εἰκῆ δὲ) πληγὰς ἐμφορεῖς δι' ἡμέρας uersus fuerit 18 πάντως] πάντα A 19 ἐσῶπον P ut saepe ἀκούσας τοῦ αἰσώπου E τὲ M Q D A R E H J F K Z ut saepe

μενος οὐδὲν ἐμοὶ ὄφελος ἔσται. φθάσας τοίνυν αὐτοῦ κατηγορήσω αὐτὸς ἐπὶ τοῦ δεσπότου, πρὶν αὐτὸς τοῦτ' αὐτὸ δράσῃ, καί με ὁ δεσπότης τῆς ἐπιτροπῆς παραλύσῃ.“ ταῦτ' εἰπὼν εὐθὺ τῆς πόλεως πρὸς τὸν δεσπότην ἤλαυνε. καὶ δὴ σὺν θορύβῳ προσελθών, „χαῖρε“ φησί „δέσποτα“. ὃ δέ „τί τεθορυβημένος πάρει;“ φησί· καὶ ὁ Ζηνᾶς· „χρῆμά τι τερατῶδες ἐν τῷ ἀγρῷ συνέβη“. καὶ ὁ δεσπότης· „ἦ πού τι δένδρον παρὰ καιρὸν [καρπὸν] ἤνεγκεν; ἢ τῶν κτηνῶν τι παρὰ φύσιν ἐγέννησεν“; καὶ ὅς· „οὐχ οὕτως, ἀλλ' Αἴσωπος ἄναυδος τὸ πρότερον ὢν νυνὶ λαλεῖν ἤρξατο.“ καὶ ὁ δεσπότης· „οὕτω σοι μηδὲν τῶν ἀγαθῶν γένοιτο, τοῦτο νομίζοντι τέρας εἶναι.“ ὃ δέ „καὶ μάλα“ φησίν „ἃ μὲν γὰρ εἰς ἐμὲ περιύβρισεν, ἑκὼν παρίημι, δέσποτα· εἰς δὲ σὲ καὶ θεοὺς οὐ φορητὰ βλασφημεῖ.“ ἐπὶ τούτοις ὀργῇ ληφθεὶς ὁ δεσπότης τῷ Ζηνᾷ φησιν· „ἰδού σοι παραδέδοται Αἴσωπος· ἀπόδου, δώρησαι, ὃ βούλει ἐπ' αὐτῷ ποίησον.“ τοῦ δὲ Ζηνᾶ ἐπ' αὐτῷ γενόμενον παρα-

1 ἐμοὶ *scripsi:* ἐμὸν *libri, nisi quod* P m. pr. *habet* ἐμὴν, *mutatum in* ἐμὸν *manu altera* φθάσω Q D Φ R αὐτοῦ] αὐτὸς F J K Z v 2 κατηγορήσας M V Q D Φ R E H πρὶν ἂν? αὐτὸς] *prius* αὐτοῦ F J K Z v 3 τοῦτο Φ δράσει Φ E H καί με] κέμε P 4 παραλύσει D Φ E H F J K, Z (*sed mutauit in* η Z 2) a ταῦτα R P ταῦθ' A εἰπὸν (ω *suprascr.*) Q εὐθὺς R A 2 (εὐθὺ A 1) τῆς *om.* D 5 ἤλαυνεν Φ 6 δεσπότα D, A *primo* τίτε θορυβομένος ed. Neuel. 7 ζημᾶς A ἀγρῷ] ἀγρῷ φησί Φ 8 ἤπου τὰ δένδρα Q R Φ (ἤπου ταδ. P), D (*sed mut. in* τι δένδρον D 2) ἤπου τί E H 9 καρπὸν *om.* V Q ἤ (β) τι (α) τῶν κτηνῶν D κτινῶν (η) Q, η *add.* Q 2 10 ἐγέννησε Q R F J K Z v οὐχ' M Q D καιός ὁ χούτος P τὸ πρ. ἀν. ὢν V τοπρ. a 11 ἄνανδρος P, *postea corr.* ἄναυδος νῦν D λαβεῖν a λαλὴν P 14 ἐμὲ] ἡμᾶς R εἰς δὲ θεοὺς καὶ σὲ R 16 φησί, Φ ἰδοῦ E H παραδίδοται R 17 βούλει ὑπ' D 18 ἐπ' αὐτοῦ γενόμ. Q αὐτῷ *om.* F γενομένου E

λαβόντος τὸν Αἴσωπον καὶ τὴν κατ' αὐτοῦ δεσποτείαν αὐτῷ ἀναγγείλαντος, ἐκεῖνος „ὅ τι δήποτε βουλομένῳ σοί ἐστι“ φησίν „ἔργασαι“.

IV Κατὰ δὲ δή τινα τύχην ἀνδρός τινος κτήνη ζητοῦντος πρίασθαι καὶ διὰ ταῦτα τὸν ἀγρὸν διιόντος ἐκεῖνον καὶ τὸν Ζηνᾶν ἐρομένου, ἐκεῖνος „θρέμμα μὲν οὐκ ἔστι μοι“ φησίν „ἀποδόσθαι, σωμάτιον δὲ ἄρρεν· ὅπερ εἰ θέλεις ὠνήσασθαι, πάρεστι“. τοῦ δ' p. 14 b. ἐμπόρου φήσαντος ὑποδειχθῆναι αὐτῷ τὸ σωμάτιον, καὶ τοῦ Ζηνᾶ τὸν Αἴσωπον μεταπεμψαμένου, ὁ ἔμπορος ἰδὼν αὐτὸν καὶ ἀνακαγχάσας, „πόθεν σοι“ φησὶ πρὸς τὸν Ζηνᾶν „ἥδε ἡ χύτρα; πότερον στέλεχός ἐστι δένδρου ἢ ἄνθρωπος; οὗτος εἰ μὴ φωνὴν εἶχεν, οὐδὲν ἂν ἔδει μὴ οὐχὶ δοκεῖν ἀσκοκήλη. ἵνα τί μοι τὴν πορείαν διέκοψας τουτουὶ τοῦ καθάρματος ἕνεκα;“ ταῦτ' εἰπὼν ἀπῄει τὴν ἑαυτοῦ. ὁ δ' Αἴσωπος μεταδιώξας αὐτόν, „μεῖνον“ φησίν. ὃ δὲ μεταστραφείς, „ἄπιθι“ φησίν „ἀπ' ἐμοῦ, ῥυπαρώτατε κύον“. καὶ ὁ Αἴσωπος· „εἰπέ μοι, τίνος ἕνεκεν δεῦρο ἐλήλυθας“; καὶ ὁ ἔμπορος· „κάθαρμα,

19 καὶ *abscissum periit in* M 2 ἀναγκείλαντος P ἐκεῖνος *priore loco praetermissum pro u.* ἐστι *substituit* Q 4 δέ (δὲ R) τινα (*omissa p.* δὴ) R K τινὸς *om.* R 5 διαταῦτα M R D E *ut saepe* *a u.* ἐκεῖνος *incipit cod.* Lugd. Vulcan. 93 (U) *f.* 116 7 φηφησὶν V φησιὴ F 8 εἰθ.] ἐθέλεις D, *corr.* D 2 πάρεστιν M δὲ F U Z K v 9 ἀποδειχθῆναι R αὐτὸ D, *corr.* αὐτῷ D 2 11 ἀναγκαχάσας M ἀναγκαγχάσας R 12 πότε R 13 στέλεγχος P ἐστὶ *erasa l.* v Q 14 φωνεῖν P οὐχὶ] οὐ D 15 ἱνατί E J Q ἵνάτι H *ut saepe* πορίαν V τουτουὶ *corr. ex* τοῦτον Q m. pr. 16 ἕνεκα V: ἕνεκεν *ceteri* τάυτα U ἀπείη E ἑαυτοῦ] ἑαυτοῦ ὁδὸν K U Z F J v 17 δὲ U 18 ὅδε, Z ὅ δ'.. M *fenestrâ una uel duae litterae uidentur periisse* φησι A ῥυπαρώτατον κύον (κύον m. pr. *in ras.*) A κύων *libri praeter* A 19 εἰπέ μοι *post* τίνος ἕνεκεν U 20 ἕνεκα E, ..εν *ex* ..α *fecit* Q m. pr.

ἵνα τι χρηστὸν πρίωμαι· σοῦ δὲ ὄντος ἀχρήστου καὶ σαπροῦ οὐ χρήζω". καὶ ὁ Αἴσωπος· „ὤνησαί με, καὶ εἴ τίς ἐστι πίστις, πολλά σε ὠφελῆσαι οἷός τ' εἰμί". καὶ ὅς· „τί δ' ἂν σοῦ ὀναίμην, στυγήματος ὄντος αὐτόχρημα"; καὶ ὁ Αἴσωπος· „οὐ πάρεστί σοι παιδία οἴκοι ἀτακτοῦντα καὶ κλαίοντα; τούτοις ἐπίστησόν με παιδαγωγόν, καὶ πάντως αὐτοῖς ἀντὶ μορμοῦς ἔσομαι." γελάσας οὖν ἐπὶ τούτοις ὁ ἔμπορός φησι τῷ Ζηνᾷ· „πόσου τὸ κακὸν τόδε πωλεῖς ἀγγεῖον"; ὃ δέ „τριῶν" φησίν „ὀβολῶν". ὁ δ' ἔμπορος αὐτίκα τοὺς τρεῖς ὀβολοὺς κατεβάλετο, λέγων „οὐδὲν κατεθέμην, καὶ οὐδὲν ἐπριάμην". ὁδευσάντων τοιγαροῦν καὶ ἀφικομένων αὐτῶν οἴκαδε, παιδάρια δύο ὑπὸ μητρὶ ἔτι τελοῦντα, τὸν Αἴσωπον ἰδόντα καὶ συγχυθέντα ἀνέκραξε. καὶ ὁ Αἴσωπος εὐθὺς τῷ ἐμπόρῳ φησίν· „ἔχεις μου τῆς ἐπαγγελίας ἀπόδειξιν". ὃ δὲ γελάσας, „εἰσελθών" φησίν „ἐνδοτέρω, ἄσπασαι τοὺς συνδούλους σου". τὸν δὲ εἰσελθόντα καὶ ἀσπασάμενον ἰδόντες ἐκεῖνοι, „τί ποτε ἄρα κακὸν τῷ ἡμῶν δεσπότῃ" φασί „συμβέβηκεν, ὅτι σωμάτιον αἰσχρὸν

1 ὄντος ἀχρ. V: ὄντος *post* σαπροῦ *conlocant ceteri* 2 ὤνησέ με V D ὤνησαί μαι P 3 πολλάσαι P οἷός τέ U 4 σοῦ *om.* Z v; σου M V Q Φ R E H U J a, ed. Neuel. ὠναίμην V στηγήματος P U συστήματος E 5 αὐτόχημα A ρ *add.* A 2: *qualia plerumque praetermitto* 6 κλέοντα U 7 πάντας U αὐτεὶς P ἀντιμορμοῦς F H 8 τούτοις] τούτῳ F J K b τοῦτω U (Z?) 9 τόδε] τὸ δὲ R τοῦτο E H J F U Z v πολεῖς Z 10 δὲ E H U Z b 11 κατεβάλλετο E H J F Z U v 14 ἔτι *conlocant ante* ὑπὸ μ. F J K U Z v ἔσωπον E 15 ἀνέκραζε R ἔσωπος E 16 φησὶ Φ E H μοι P τῆς *in* A *add.* A 2 ἐπαγγελλίας A ἐμπαγγ. P τὴν ἀπόδειξιν? .] ; Q 17 γελάσας *in lacuna fere totum periit in* M ἐνδοτέρω *om.* E H F J K Z U v 18 σου *om.* D ἐιελθόντα A σε A 2 19 ἆρα H ἅρα E *sed* ἅ *mut. in* ἆ ἡμῶν] ἐμῶ R 20 δεσπότην P φασὶν Q φησὶ E H συνέβη Φ

p. 16 b. οὕτως ἐπρίατο; ἀλλ' ὡς ἔοικεν, ἀντὶ βασκανίου τοῦτο τῆς οἰκίας ὠνήσατο".

V Μετὰ δ' οὐ πολὺ καὶ ὁ ἔμπορος εἰσελθών, τὰ πρὸς ὁδὸν εὐτρεπισθῆναι τοῖς δούλοις ἐπέσκηψε· μέλλειν γὰρ τὴν ἐπιοῦσαν εἰς Ἀσίαν πορεύεσθαι. οἳ μὲν οὖν αὐτίκα τὰ σκεύη διεμερίζοντο. ὁ δ' Αἴσωπος ἐδεῖτο τοῦ κουφοτάτου τῶν φορτίων αὐτῷ παραχωρεῖν, ἅτε δὴ νεωνήτῳ καὶ μήπω πρὸς τὰς τοιαύτας ὑπουργίας γεγυμνασμένῳ. τῶν δέ, καὶ εἰ μηδὲν ἆραι βούλεται, συγγνώμην παρεχομένων, ἐκεῖνος οὐ δεῖν ἔλεγε πάντων κοπιώντων αὐτὸν μόνον ἀσυντελῆ τυγχάνειν. τῶν δὲ ὅπερ ἂν ἆραι βούληται ἐπιτρεπόντων, δεῦρο κἀκεῖσε περιβλεψάμενος, καὶ σκεύη ἀθρήσας διάφορα, σάκκους καὶ στρώματα καὶ γυργάθους, ἕνα γύργαθον ἄρτων πεπληρωμένον, ὃν καὶ δύο βαστάζειν ἔμελλον, αὐτῷ ἐπιτεθῆναι κελεύει.

1 ἀντιβασκανίου H 2 *in* ὠνήσατο *desinit* U 3 εἰσελθών] *abscissum periit in* M. εἰ A 2 *in rasura; etiam a m. pr. scriptum uidetur fuisse* εἰ 4 ὁδῶν P ἐντεπ. (ρ *supra*) A ρ A 2 5 μέλλει A; μέλλων *eraso quod in sequebatur u.* γὰρ Q ἐπίουσαν A 6 δισμερίζοντο Z διάμερίζοντο P αἰδεῖτο (ἐ *supra*) H 7 τοῦ] τὸ *erasa l.* ῦ Q κοφοτάτου R κουφοτέρου A κοφοτέρου (τάτου *supra*) P κοφοτερου E κουφουτάτου H κουφότατον Q παρασχεῖν Q 9 ὑπηρεσίας Q καὶ *supra uersum* Z μὴδὲν H, *eraso accentu* η E 10 ἆραι V ἄρα P ἆρα JFZK βούλαιτε P βούληται E H J F K Z b ἐκεῖνος] αὐτὸς V. *post* ἐκεῖνος *erasa p.* δὲ, A 11 οὐ δεῖν] οὐδὲν Q Φ ἔλεγεν Q κοπιόντων V Q R E H; ο *corr. in* ω K Z κωπιώντων J 12 ὅπερ ἂν ἄρα βούλοιται Q ὅπερ ἂν ἆραι βούλοιτο A ὅπερ ἂν ἆρα (αι *supra*) (m. pr.) βούλοι, τὸ P ὅπερ ἄρα βούλεται V ἐπιτροπόντων A 13 κακεῖσε H *ut saepe* καὶ σκεύη *in* D *add. manus rec.* 14 ἀθρήσας *ut conieceram* M Q: ἀθροίσας *libri ceteri.* περιβλεψάμενος W στρώμματα R 15 ἄρτον P ὃν καὶ *scripsi:* ἕν' ἢ V ὃν *ceteri* 16 αὐτῶ M V Q D R Φ b ἐπιτεθεῖναι H E J F K Z v ἐπιθεῖναι R

οἳ δὲ γελάσαντες καὶ μηδὲν εἶναι μωρότερον τοῦ χυδαίου τούτου καθάρματος φάμενοι, ὃς μικρῷ μὲν ἔμπροσθεν τὸ κουφότατον ἆραι τῶν φορτίων ἐδεῖτο, νῦν δὲ τὸ πάντων βαρύτατον εἵλετο· χρῆναι μέντοι τὴν ἐπιθυμίαν αὐτοῦ πληρῶσαι· ὑπολαβόντες τὸν γύργαθον ἐπιτιθέασι τῷ Αἰσώπῳ. ὃ δὲ κατὰ τῶν ὤμων τὸ φορτίον ἐπηχθισμένος, δεῦρο κἀκεῖσε διεκλονεῖτο. τὸν δὲ ἰδὼν ὁ ἔμπορος ἀπεθαύμασε καί φησιν· „Αἴσωπος εἰς τὸ πονεῖν πρόθυμος ὢν ἤδη τὴν ἑαυτοῦ τιμὴν ἐξέτισε· κτήνους γὰρ φόρτον ἤρατο". ἐπεὶ δὲ ὥρας οὔσης ἀρίστου κατέλυσαν, Αἴσωπος κελευσθεὶς ἀρτοδοτῆσαι, ἡμιδεᾶ τὸν γύργαθον πολλῶν φαγόντων ἐποίησεν. ὅθεν καὶ μετὰ τὸ ἄριστον κουφοτέρου τοῦ φορτίου γεγονότος, προθυμότερον ὥδευε. καὶ δὴ καὶ ἑσπέρας οὗ κατήχθησαν πάλιν ἀρτοδοτήσας, τῇ ἐφεξῆς ἡμέρᾳ κενὸν παντάπασιν ἐπὶ τῶν ὤμων ἀνέχων τὸν γύργαθον, πρῶτος ἁπάντων ᾔει, ὡς καὶ τοῖς συνδούλοις, προ- p. 18 b.
τρέχοντα τοῦτον ὁρῶσιν, ἀμφίβολα γίνεσθαι, πότερον ὁ σαπρός ἐστιν Αἴσωπος ἤ τις ἕτερος· καὶ κατα-

1 μὴδὲν H, *in* E η *eraso accentu* 2 μικρὸν V 3 κουφότερον Q ἄραι V E H ἐδεῖτο *ante* ἆραι *conlocant* J F Z K v αἰδεῖτο V 4 νῦνδε H τὸ π.] τῶν π. A βαρύτερον Q 5 πληροῦσθαι? ἐπιλαβόντες Φ 6 γύγανθον D: *supra quoque aliquotiens erasa l.* ν ἐπὶ τῇ θέασι P ὁδαὶ P 7 ἐπιχθησμένος P ἀπηχθισμένος *fecit ex* ἐπ. D m. pr. ἀπηχθισμένος F J K Z v 7 ἀπεθαύμασεν F J Z K v 9 φησὶ E 10 ἐξέτησε Z *l.* η *facta ex* ι φορτίον Q 11 δὲ *corr. ex* δὴ D m. pr. ἀρίστου *om.* R κατέλυσαν *om.* Φ 12 ἡμὶ δὲ ἀ τογ. P 14 κουφ. γεγ. τοῦ φορτίου Q τοῦ *om.* A, *bis exhibet* H προθυμώτερον R, b 1547 προθυμότερος (ν *supra*) D, ν *add.* D 2; A ο *ex corr.* 15 ὥδευε R H E *ut saepe* καὶ δὴ καὶ] καὶ δὴ (δὶ P) Φ ἑσπ. P οὗ] οὗς P 18 ᾔει] εἴῃ M V; εἴη *mutauit in* ἤει D m. pr. 19 τοῦτον *om.* A ἀμφίβολον Φ πρότερον P 20 ὁ σαπρὸς] πρὸς K, *in marg.* ὁ σα ἐστιν] οὗτος

μαθοῦσιν ἐκεῖνον εἶναι, θαυμάζειν ὅπως τὸ μεμελανωμένον ἀνθρώπιον νουνεχέστερα πάντων ἔπραξε, τοὺς ῥᾳδίως δαπανωμένους ἄρτους ἀράμενον, ἐκείνων τὰ στρώματα καὶ τὰ λοιπὰ τῶν σκευῶν ἐπιφορτισαμένων, ἃ μὴ φύσιν ἔλαχεν οὑτωσὶ δαπανᾶσθαι. ὁ μὲν οὖν ἔμπορος ἐπὶ τῇ Ἐφέσῳ γενόμενος, τὰ μὲν ἄλλα τῶν ἀνδραπόδων σὺν κέρδει ἀπέδοτο, ὑπὲλείφθη δ' αὐτῷ τρία, γραμματικός, ψάλτης καὶ ὁ Αἴσωπος. τῶν δέ τις αὐτῷ συνήθων συμβουλεύσας εἰς Σάμον ἀπᾶραι, ὡς ἐκεῖ δὴ σὺν μείζονι κέρδει ἀπεμ-
VI πολήσοντι τὰ σωμάτια, πείθει. καὶ ὁ ἔμπορος ἐπιβὰς τῆς Σάμου, τὸν μὲν γραμματικὸν σὺν τῷ ψάλτῃ καινὰς στολὰς ἀμφιέσας, ἵστησιν ἄμφω ἐπὶ τοῦ πρατηρίου. τὸν δ' Αἴσωπον ἐπεὶ μηδαμόθεν εἶχε κοσμῆσαι, ὅλος γὰρ ἦν ἁμάρτημα, ἐσθῆτα σάκκου τούτῳ περικαθάψας, μέσον ἀμφοῖν ἔστησεν, ὡς καὶ τοὺς ὁρῶντας ἐξίστασθαι λέγοντας „πόθεν τοῦτο τὸ βδέλυγμα, τὸ καὶ τοὺς ἄλλους ἀφανίζον;" Αἴσωπος δὲ καίπερ ὑπὸ πολλῶν σκωπτόμενος, ἵστατο μέντοι τολμηρὰ πρὸς αὐτοὺς ἀτενίζων. Ξάνθος δὲ ὁ φιλό-

ἔστιν E   ἤ τις] ἢ τίς Q εἴ τις Φ ἥτις H. τις *om.* b 1547
1 ἐκεῖνον *om.* R   τὸ *om.* A   μεμελανομένον P Z, *in* Q ω *ex corr. pro* o; μελανωμένον, *in marg.* με K   2 ἀνθρώπιον] ον *in* P *add. m. alia in rasura: primo uidetur scripta fuisse forma barbara* ἀνθρῶπιν   νουνεχέστερον R   3 δαπανομένους P Z   ἄρτους *om.* R   4 τὰ στρ.] τὰ *in* A *add.* A 2   στρώματα Q *sed* ω *ex corr.*, στρώμματα *altera l.* μ *deleta* R   πεφορτισαμένων a   6 μεν *omisso accentu* Z *saepe*
7 ὑπελήφθη P, Q (*sed supra scr.* ει Q 2)   8 ὁ *supra uersum* A 1   9 αὐτῷ] αὐτῶν V P   10 ἀπάραι A E H   δὴ *corr. ex* δὲ D m. pr.   ἀπεμπωλήσοντι V R Z b ἀπεμπολήσαντι Φ   11 σώματα V σώματια E   12 ψ *in* A *exarauit* A 2   13 ἀμφιάσας E   ἵστησαν Z   14 *post* εἶχε *erasa l.* ν   15 ὅλως Φ, ὅλος *corr. ex* ὅλως V Q m. pr.   16 περικαλύψας D   ἔστησεν H   19 ὑπὸ *ex* ἐπὶ *in* D *m. alia fecit*   ἵσταντο P ἵστατο E   μέντοι *bis* R   20 τολμηρῶς A Q D R τολμηρὸς P

σοφος, εἷς τῶν ἐνοικούντων ὢν τηνικαῦτα τῇ Σάμῳ, προελθὼν ἐπὶ τὴν ἀγορὰν καὶ θεασάμενος τοὺς μὲν δύο παῖδας σὺν εὐπρεπείᾳ παρισταμένους, μέσον δὲ τούτων τὸν Αἴσωπον, ἠγάσατο τὴν τοῦ ἐμπόρου ἐπίνοιαν, ὅπως τὸν αἰσχρὸν ἐν τῷ μεταξὺ τέταχεν, ὡς τῇ παραθέσει τοῦ δυσειδοῦς καλλίους ἑαυτῶν τοὺς νεανίσκους φανῆναι. ἐγγυτέρω δ' ἐπιστάς, ἐπύθετο τὸν ψάλτην, πόθεν ἂν εἴη. καὶ ὅς· „Καππαδόκης". καὶ ὁ Ξάνθος· „τί οὖν οἶδας ποιεῖν"; ὃ δέ· „πάντα". καὶ ἐπὶ τούτοις Αἴσωπος ἐξεγέλασε. τῶν p. 20 b. δὲ σχολαστικῶν, οἳ τῷ Ξάνθῳ συνῆσαν, ὡς εἶδον αὐτὸν γελάσαντα καὶ παραφήναντα τοὺς ὀδόντας ἐξαίφνης, καί τι τέρας ὁρᾶν δοξάντων, καὶ τοῦ μέν „ἦ που κήλη ἐστὶν ὀδόντας ἔχουσα" λέγοντος, τοῦ δέ „τί ποτε ἄρα ἰδὼν ἐγέλασε;" τοῦ δὲ ὡς „οὐκ ἐγέλασεν, ἀλλ' ἐρρίγωσεν", πάντων δὲ βουλομένων γνῶναι τίς ποτε ἦν ὁ γέλως, εἷς τις αὐτῶν προσελθὼν τῷ Αἰσώπῳ φησίν· „ὅτου χάριν ἐγέλασας"; καὶ ὅς· „ἀποχώρει, θαλάττιον πρόβατον". τοῦ δὲ ἀμηχανήσαντος τοῖς ὅλοις ἐπὶ τῷ λόγῳ, κὰκ τοῦ εὐθέος

1 ἐνοικούτων V τηνικαύτους P 2 προσελθὼν A K προἐξελθῶν P 3 εὐτρεπεία V 4 ἡγήσατο V ἠγάσατο P ἠγάσατο A *quod in* ἡγήσατο *mutauit* A 2 5 τέταχεν *corr. ex* τέταγεν Q m. pr. 7 νεανίσκους V: νεανίας *ceteri*

7 ἐγγυτέρῳ v ἐγγιτέρῳ Z ἐγγιτέρω K δὲ Z 8 τὸν ψάλτην (οῦ *et* ου m. rec.) D τοῦ ψάλτου F K Z v καπαδόκης Q; ο *in* A *add.* m. rec. 9 εἶδας ποιῆν P 10 ἐξεγέλασεν Φ 11 Ξάνθει V 12 αὐτὸν *in* A *add.* A 2 ὀδόντας R P H *ut saepe; in* Q ὁ. *mutatum in* ὀ. 13 καὶ τοῦ μὲν *in* A *bis scriptum semel erasum est* 15 ποτ' Q ἄρα H, E (*ex corr.*) ἐγέλασεν M δὲ ὡς V R: δ' ὡς *ceteri* 16 ἐρίγωσεν V ἐρίγωσεν D ρ *add.* D 2 ἐρρίγωσε Q (*sed deleta l.* ν), R Q Z v ἐρίγωσε A P (*deleta l.* ν), E H 17 προελθὼν V 18 *cf. Syntipam p.* 188, 12 19 θάλ. πρόβ. *in margine suppleuit* Z mpr. 20 κὰκτοῦ a κακτρῦ b κὰκ τούτου E 20 εὐθέος M: εὐθέως D *supra scr.* o, εὐθέως *ceteri*

ἀναχωρήσαντος, ὁ Ξάνθος τῷ ἐμπόρῳ φησί· „πόσου τιμήματος ὁ ψάλτης“; τοῦ δέ „χιλίων ὀβολῶν“ ἀποκριναμένου, πρὸς τὸν ἕτερον ἦλθεν, ὑπερβάλλον ἀκούσας τὸ τίμημα. καὶ μέντοι καὶ τοῦτον ἐρομένου τοῦ φιλοσόφου, πόθεν ἂν εἴη, καὶ ἀκούσαντος ὅτι Λυδός, καὶ ἐπανερομένου „τί οὖν οἶδας ποιεῖν;“ κἀκείνου φαμένου „πάντα“, πάλιν ἐγέλασεν Αἴσωπος. τῶν σχολαστικῶν δέ τινος διαπορουμένου „τί δή ποτε οὗτος πρὸς πάντα γελᾷ“; ἕτερος πρὸς αὐτὸν εἶπεν· „εἰ βούλει καὶ σὺ θαλάσσιος τράγος ἀκοῦσαι, ἐρώτησον“. ὁ δὲ Ξάνθος καὶ αὖθις ἤρετο τὸν ἔμπορον· „πόσου τιμήματος ὁ γραμματικός;“ κἀκείνου „τρισχιλίων ὀβολῶν“ ἀποκριναμένου, δυσφόρως ὁ φιλόσοφος ἤνεγκε τὴν ὑπερβολὴν τοῦ τιμήματος καὶ στραφεὶς ἀπῄει. τῶν δὲ σχολαστικῶν ἐρομένων, εἰ μὴ ἤρεσεν αὐτῷ τὰ σωμάτια, „ναί“, φησίν „ἀλλὰ δόγμα κεῖται, μὴ ἀνδράποδον ὠνεῖσθαι τῶν πολυτίμων“. ἑνὸς δὲ τούτων φαμένου „ἀλλ' εἰ τοῦθ' οὕτως ἔχει, τὸν γοῦν αἰσχρὸν τοῦτον οὐδεὶς νόμος ἐμποδὼν ἵσταται μὴ ὠνήσασθαι· τὴν αὐτὴν γὰρ καὶ

1 *πόσου corr. ex πόσον* P 3 *ἀποκρινομένου* A 4 *ἀκούσας*] *ἀκηδιάσας? cf.* W *τούτων* P *ἐρωμένου* E H 5 *ἀκούσαντος*] *ἀκούσας* Φ 6 *λιδὸς* Z *ἐπανερωμένου* H *εἶδας* E b 7 *ἐγέλασε* A, *ν add.* A 2; *αἴσωπος ἐγέλασε* R 8 *διαπορουμένον* (*l. ν finalem substituit m. pr. in locum erasi ων*) Q, *ἀπορουμένου* E H K Z v, *ἐπανερομένου* Φ 9 *πρὸς πάντα scripsi et sic* Q: *πρὸς πάντας* V M D Φ E H K Z v *πάντας* (*om. praepositione*) R 10 *θαλάττιος* Q D E H K Z v 11 *ἔμπορον*] *αἴσωπον* V 12 *ὁ ante γρ. om.* P *γραματικὸς* A. *καὶ ἐκείνου* Z 13 *ὀβ. corr. ex ὀκ.* P *ἀποκριναμένον* P *δυσφόρος* P *δισφόρως* Z *ἐδυσφόρει ὁ φ.· καὶ τὴν ὑ. οὐκ ἤνεγκε τοῦ τιμ.* Q 15 *ἀπείη* E *ἐρωμένων* H *ἐρωμένον* P 16 *ἤρεσε* A *ν add.* A 2 17 *ἀνδράποδον corr. ex ἀνδραπόδων* R m. pr. *τῶν in* D *add.* D2 *πολιτῶν in* R *ante πολιτίμων statim deletum* 18 *εἰθ' οὕτως* Φ, D (*ταῦ add.* D 2), *εἰ ταῦθ' οὕτως* D 2, K Z v 19 *ἔχει, erasa l. ν* Q 20 *καὶ οὗτος*] *καὶ om.* V

οὗτος λειτουργίαν εἰσοίσει· καὶ ἡμεῖς τὸ τίμημα τούτου καταθησόμεθα“, Ξάνθος ἔφη· „ἀλλὰ γελοῖον p. 22 b. ἂν εἴη ὑμᾶς μὲν ἐκτῖσαι τὸ τίμημα, ἐμὲ δὲ τὸν δοῦλον ὠνήσασθαι· ἄλλως τε καὶ τὸ γύναιόν μου καθάρειον ὄν, οὐκ ἂν ἀνάσχοιτο ὑπ' αἰσχροῦ σωματίου ὑπηρετεῖσθαι“. τῶν δὲ σχολαστικῶν αὖθις εἰπόντων „ἀλλ' ἐγγὺς ἡ γνώμη, καθηγητά, τοῦ μὴ πείθεσθαι γυναικί“, ὁ φιλόσοφος εἶπε· „λάβωμεν πρότερον πεῖραν εἰ οἶδέ τι, μή ποτε καὶ τὸ τίμημα μάτην ἀπόληται“. προσελθὼν γοῦν τῷ Αἰσώπῳ „χαῖρε“ φησί. καὶ ὅς· „μὴ γὰρ ἐλυπούμην“; καὶ ὁ Ξάνθος· „ἀσπάζομαί σε“. κἀκεῖνος· „κἀγὼ σέ“. καὶ ὁ Ξάνθος ἅμα τοῖς ἄλλοις ἐπὶ τῷ παραλόγῳ καὶ ἑτοίμῳ τῆς ἀποκρίσεως ἐκπλαγείς, ἤρετο· „ποταπὸς εἶ“; ὁ δέ „μέλας“ φησί. καὶ ὁ Ξάνθος· „οὐ τοῦτό φημι, ἀλλὰ πόθεν γεγέννησαι“; καὶ ὅς· „ἐκ τῆς γαστρὸς τῆς μητρός μου“. καὶ ὁ Ξάνθος· „οὐ τοῦτο λέγω, ἀλλ' ἐν ποίῳ τόπῳ γεγέννησαι;“ κἀκεῖνος· „οὐκ ἀνήγγειλέ μοι ἡ μήτηρ μου, πότερον ἐν ἀνώγεῳ ἢ κατώγεῳ“.

2 τοῦτο A τούτο P ὁ ξάνθος v 3 ἂν εἴη] μὲν ἂν εἴη Q μὲν *om.* E H F K Z v ἐκτίσαι M V Q D Φ R E H v 4 μου] μὲν Q καθάριον D F K Z v, *in* Q ει m. pr. *sed ut uidetur corr. ex* ι 5 ἂν *om.* Z σώματος Φ 7 καθηγητά, τοῦ *scripsi:* καθηγητὰ τὸ Q D R, *cf.* W. κα... τὰ τὸ *cum spatio trium litterarum* M κατὰ τὸ V E H F K Z v τοῦ *solum* Φ πίθεσθαι Z 8 γυναικὸς R εἶπε V *sed* ε *uidetur corr. ex* εν, εἶπεν M λάβομεν P E H πρῶτον M 9 πεῖραν *om.* Q ἀπόλληται Φ ἀπόλυται V D ἀπόλειται E 10 οὖν K φησίν E 11 ἀσπάσομαί Z 12 κακ. καγὼ σε D, κ. κἀγώ σε Q 13 τῆς ἀποκρίσεως *om.* R 15 φησὶν E ὁ ξ., φησὶν, οὐ τ. φ. R 16 γεγένησαι D Φ E H F K Z v ..ν.. (ν *suprascr.*) R καὶ ὁ ξ. — μου (17) *om.* Z 17 καὶ ὃς] καὶ ὃ ὁ P, κἀκεῖνος V τούτω Z 18 γεγένησαι Q D K F v, *in* R *prius* ν *add.* m. pr. ἀνήγγειλέν P 19 μου *om.* M Q D R H, E (*sed in hoc libro erasum est*) πρότερον P ἐν *om.* R E ἀνωγέω ἢ κατωγέω M V Q R P E H ἀνωγαίω, ἢ κατωγαίω D

καὶ ὁ φιλόσοφος· „τί δὲ πράττειν ἐπίστασαι“; κἀκεῖνος· „οὐδέν“. καὶ ὁ Ξάνθος· „τίνα τρόπον“; ὃ δέ· „ἐπειδήπερ οὗτοι πάντα ἐπίστασθαι ἐπηγγείλαντο, ἐμοὶ δὲ κατέλιπον οὐδὲ ἕν“. καὶ ἐπὶ τούτοις οἱ σχολαστικοὶ ὑπερφυῶς ἀγάμενοι, „νὴ τὴν θείαν πρόνοιαν“, ἔφασαν, „πάνυ καλῶς ἀπεκρίνατο· οὐδὲ γὰρ εἷς ἐστιν ἄνθρωπος, ὃς ἅπαντα εἰδείη. διὰ γὰρ ταῦτα δηλαδὴ καὶ ἐγέλα“. αὖθις οὖν ὁ Ξάνθος φησί· „βούλει πρίωμαί σε“; καὶ ὁ Αἴσωπος· „ἐμοῦ πρὸς τοῦτο συμβούλου δέῃ; ὁπότερόν σοι δοκεῖ βέλτιον, ἤτοι πρίασθαι ἢ μή, ποίει· οὐδεὶς γὰρ οὐδὲν πρὸς βίαν ποιεῖ· τοῦτο παρὰ τῇ σῇ κεῖται γνώμῃ. κἂν μὲν βούλῃ, βαλαντίου θύραν ἀνοίξας ἀργύριον ἀρίθμει· εἰ δὲ μή, μὴ σκῶπτε“. πάλιν οὖν οἱ σχολαστικοὶ πρὸς ἀλλήλους ἔφασαν· „νὴ τοὺς θεούς,
p. 24 b. *νενίκηκε τὸν καθηγητήν“. τοῦ δὲ Ξάνθου φήσαντος „ἐὰν πρίωμαί σε, δραπετεῦσαι βουλήσῃ“; γελάσας ὁ Αἴσωπος ἔφη· „τοῦτο εἰ βουλήσομαι πρᾶξαι, οὐ πάντως χρήσομαί σοι συμβούλῳ, ὡς δὴ καὶ σὺ μικρῷ*

2 *καὶ ὁ ξάνθος in* D *add.* D 2 *in margine* 3 *ἐπίστανται* R 4 *ἐμοί δε* E H *ante κατέλιπον in* D *trium fere litterarum rasura* *οὐδεὲν* (*ἐν factum ex ἕν*) R *οὐδεέν* M H E *ὀυδεὲν* P 7 *ἄνωσ* Z *ὃς ἅπαντα εἰδείη* V D: *ὃς ἂν πάντα εἰδείη ceteri. cf.* Krügeri Gr. Gr. 54, 14, 4 Madvigi Synt. Gr. p. 143 *n.* *διὰ γὰρ ταῦτα postea addita in* Z 8 *post ἐγέλα in* Q *erasum σε* 10 *τούτου* R 11 *ἤτοι*] *ἥτοι* E *ἤτη* P *ἢ* F K Z v 12 *κἂν μεν* Z *ut saepe* 13 *βούλη*, *η ex ει factum* m. pr. M *βούλει* Q D Φ E H *post βούλει in* Q *in extrema p.* 19 *erasum βα: qualia fere semper praeterii* 14 *ἀριθμεῖ* Z *alterum μὴ om.* E H F K Z a, b 1530 *σκῶπτε, in margine κόπτε* K 14 *οὖν om.* A 17 *δραπετεύσῃ* (ai) D *αι add.* D 2 *βουλήσῃ corr. ex βουλεύσῃ* D, *βουλήσει* P 17 *inter γελάσας ὁ add. τοίνυν* E, *τοί deletum* E 18 *τοῦτο*] *ταῦτα* Φ *πράξαι* Q R P b 19 *πάντα* P *ὡς*] *ὃς* b 1530, *ὂς* 1534 *μικ in* A *corr. ex μοι*

πρόσθεν ἐμοί". καὶ ὁ Ξάνθος· „καλῶς μὲν λέγεις, ἀλλ' αἰσχρὸς εἶ". κἀκεῖνος· „εἰς τὸν νοῦν ἀφορᾶν δεῖ, φιλόσοφε, καὶ μὴ εἰς τὴν ὄψιν". τότε τῷ ἐμπόρῳ προσελθὼν ὁ Ξάνθος φησί· „πόσου τοῦτον πωλεῖς;" καὶ ὅς· „κερτομῆσαί μου πάρει τὴν ἐμπορίαν, ὅτι τοὺς ἀξίους σου παῖδας ἀφείς, τὸν αἰσχρὸν τοῦτον εἵλου; θάτερον τῶν λοιπῶν ὤνησαι, τοῦτον δὲ πρόσθομα λάβε". καὶ ὁ Ξάνθος· „οὐ δῆτα, ἀλλὰ τοῦτον". καὶ ὁ ἔμπορος· „ἑξήκοντα ὀβολῶν ὤνησαι". καὶ οἱ μὲν σχολαστικοὶ παραχρῆμα τὸ τίμημα συνεισενεγκόντες κατέθεντο, ὁ δὲ Ξάνθος ἐκτήσατο. οἱ τοίνυν τελῶναι τὴν πρᾶσιν μεμαθηκότες παρῆσαν ἀνακρίνοντες, τίς μὲν ὁ ἀπεμπολήσας, τίς δ' ὁ πριάμενος. αἰσχυνομένων δ' ἀμφοτέρων ἑαυτοὺς ἀνειπεῖν διὰ τὸ πενιχρὸν τοῦ τιμήματος, Αἴσωπος στὰς εἰς τὸ μέσον ἀνέκραξεν· „ὁ μὲν πραθείς, ἐγώ· ὁ πριάμενος δ' οὑτοσί, καὶ ὁ πωλήσας ἐκεινοσί. εἰ δ' αὐτοὶ σιωπῶσιν, ἐγὼ ἄρα ἐλεύθερός εἰμι". οἱ δὲ τελῶναι διαχυθέντες, ἐχαρίσαντό τε τῷ Ξάνθῳ τὸ τέλος καὶ ἀπηλλάγησαν.

Ὁ μὲν οὖν Αἴσωπος ἠκολούθει πρὸς τὴν οἰκίαν VII

1 *καλῶς* (*καλὸς* P) *μὲν λέγεις* M Q D Φ E H F K Z v: *μὲν om.* V R *ἀλ'* Q 2 *δεῖ*] *χρὴ* Φ 4 *ὁ om.* P *πόσου τιμήματος τοῦτον* E, H *sed in hoc τιμήματος deletum* *πολεῖς* Z, *in* Q *πωλεῖς corr. ex πολλεις* 5 *κερτομῆσαι* M *πάρει in* Q *fecit ex περὶ* m. pr. 6 *σου om.* R 10 *τὸ τίμημα om.* F K Z v 11 *ενεγ in* A *ex corr.* *ἐκτήσαντο* R 12 *πράσιν* Φ F (Z) v 13 *μέν* ^τ A *ἀπεμπωλήσας* V R E H Z, *pars edd.* 14 *δὲ ἀμφ.* Z *δ' ἀ. in* H *corr. ex δὲ* *ἂν εἰπεῖν* P 15 *ὁ αἴσωπος* F K Z v 16 *πριαθεὶς* E 17 *δ' om.* R, *δὲ* Z; *ὁ δὲ πρ. ο.* Q *ὁ μὲν πωλήσας* Z *ἐκεινοσὶν* M E *ἐκεῖνος εἶ* P *εἰ δὲ* Z 18 *σιωπῶσι,* A *ἆρα* E H P *οἱ δὲ*] *οἶδα* P 19 *ἐχάρισαν τότε* V Q R *τὸ*] *τῶ* Z 20 *ἀπηλλάγησαν*] *διαχύθησαν* A *διεχύθησαν* P; *librarius* Φ *uidetur uoluisse διελύθησαν* 21 *αἴσ. corr. ex ἔσ.* Q m. pr. *ἀκολούθει* K

ἀπιόντι τῷ Ξάνθῳ. μεσημβρινοῦ δὲ καύματος ὄντος, ὁ Ξάνθος ἐν τῷ περιπατεῖν τὸν χιτῶνα ἀνασυράμενος οὔρει. ὅπερ ἰδὼν Αἴσωπος καὶ τῶν ἱματίων ἐκείνου δραξάμενος ὄπισθεν, πρὸς ἑαυτὸν εἵλκυσε καί φησι· „τὴν ταχίστην με πώλησον, ἐπεὶ δραπετεύσω". καὶ ὁ Ξάνθος· „ἀνθ' ὅτου"; „ὅτι" φησίν „οὐκ ἂν δυναίμην τοιούτῳ ὑπηρετεῖσθαι δεσπότῃ.
p. 26 b. εἰ γὰρ σὺ δεσπότης ὢν καὶ μηδένα φοβούμενος, ὅμως ἄνεσιν οὐ παρέσχες τῇ φύσει, ἀλλὰ βαδίζων οὐρεῖς, εἰ τύχοι τὸν δοῦλον ἐμὲ πρός τινα σταλῆναι διακονίαν κἂν τῷ μεταξὺ τῆς πορείας τοιόνδε τι ἀπαιτῆσαι τὴν φύσιν, ἀνάγκη πᾶσα πετόμενόν με ἀποπατεῖν". καὶ ὁ Ξάνθος· „τοῦτό σε θορυβεῖ; τρία κακὰ βουλόμενος διαδρᾶναι βαδίζων οὐρῶ." καὶ ὅς· „ποῖα"; κἀκεῖνος· „ἑστῶτί μοι τὴν μὲν κεφαλὴν κατέκαυσεν ἂν ὁ ἥλιος, τοὺς δὲ πόδας τὸ τῆς γῆς ἔδαφος ὂν ἐκπεπυρωμένον, ἡ δὲ τοῦ οὔρου δριμύτης τὴν ὄσφρησιν ἂν ἐλυμήνατο". καὶ ὁ Αἴσωπος· „βάδιζε, πέπεικάς με".

VIII Ἐπεὶ δὲ καὶ τῇ οἰκίᾳ ἐπέστησαν, ὁ Ξάνθος πα-

1 ἀπιόντι] ντι *in* Z *add.* m. rec. μεσεμβρ. R μεσυμβρ. Z μεσηβρ. a 2 χειτῶνα Z v ἀνασυρόμενος A ἀνασυρώμενος P 3 εἰδῶν P ὁ αἴσωπος E καὶ *saepe melius abesset* 4 πρὸς αὐτὸν M 5 φησὶν E τηνταχ. A, (*accentu graui eraso*) Q K a 6 ὅτε b 1530 φησὶ Q ὑπηρετήσθαι P K ὑπηρετεῖσαι Q 8 μὴδένα H 9 παρέχεις R 10 τύχει E 11 κἂν V R A, D 2 κὰν P Z πορίας Φ τοιόνδέ τι MDQAREHJFZv τοιονδέ τι P ἀπαντῆσαι Q 12 ἀνάγκη] ἂν m. rec. Z ἀπὸ πατεῖν H 13 θορυβῆ· M 14 διαδρᾶναι *ante* τρία κακὰ βουλ. Z; διαδρᾶσαι R διαδράναι Φ καὶ *om.* D 15 ποία V P ἑστ. *factum ex* ἕστ. E μὲν *om.* Q R ἂν κατέκαυσεν Q 17 ὂν] ἂν Φ ἐκπυρωμένον D, *in* Q πε *supra uersum* m. pr. ὅρον M *corr.* M 2 δρυμύτης V, E H, *sed hi ex corr. in* Q ι m. pr. *ex* υ *radendo fecit* 19 πεπηκάς P 20 [illegible]] πεὶ D καὶ] ἐν Φ, *om.* Q οἰκία *in* R *corr. ex* [illegible] m. pr. παραγκ. P *ut saepe*

ραγγείλας τῷ Αἰσώπῳ μένειν πρὸ τοῦ πυλῶνος, ἐπειδὴ καθάρειον ὂν αὐτῷ τὸ γύναιον ᾔδει καὶ οὐκ ἐχρῆν ἐξαπίνης τοιοῦτον αἶσχος αὐτῇ φανῆναι, πρίν τινα καὶ πρὸς αὐτὴν ἀστείσηται. αὐτὸς δ' εἰσελθὼν λέγει· „κυρία, οὐκέτι με τοὐντεῦθεν ὀνειδίσεις τῆς θεραπείας, ἧς πρὸς τῶν θεραπαινίδων τῶν σῶν ἀπολαύω. ἤδη γὰρ κἀγὼ παῖδά σοι ἐπριάμην, ἐν ᾧ καὶ ὄψει κάλλος, οἷον οὔπω τεθέασαι· ὃς καὶ ἤδη πρὸ τοῦ πυλῶνος ἕστηκε". κἀκεῖνος μὲν ταῦτα· αἱ δέ γε θεραπαινίδες ἀληθῆ νομίσασαι τὰ λεχθέντα, πρὸς ἀλλήλας οὐκ ἀγεννῶς ἠμφισβήτουν περὶ τοῦ τίνι τούτων νυμφίος ὁ νεώνητος ἔσται. τῆς δὲ τοῦ Ξάνθου γυναικὸς εἴσω κληθῆναι τὸν νεώνητον κελευσάσης, μία τῶν ἄλλων μᾶλλον ὀργῶσα, καὶ ὡς ἀρραβῶνα τὴν κλῆσιν ἁρπάσασα, τὸν νεώνητον ἐκδραμοῦσα ἐκάλει. κἀκείνου φαμένου „ἰδοὺ ἐγὼ πάρειμι", ἐκπλαγεῖσα „σύ" φησίν „εἶ;" καὶ ὅς·

1 *ποιλῶνος* P 2 *καθάριον* F K Z v *αὐτῶ post γύναιον* Q; *αὐτῷ* v *ἤδη* E *εἴδι* P 3 *αἶσχρος* Z 1 *corr.* m. rec. *αὐτῇ*] *αὐτῶ* R 4 *ἑαυτὸν* D *in αυτόν mutauit* D 2 *ἀστήσηται* P , *αυτὸς* Q *δ'*] *δὲ* R, *om.* Q 5 *οὐκ ἔτι* H *ut saepe* *τοἔντ.* V *τοεντ.* M A, Q (*sed το in ras. et in ε spiritus erasus*) *το εντ.* D *τὸ ἐντ.* R P *μετοὐντ.* v *με τουντ.* H *ὀνειδίσης* D *ὀνειδιεῖς* F K Z v 6 *post θεραπείας uu. αἶσχος...καὶ πρὸς* (3. 4) *iterum scripta et deleta sunt in* A *τῶν ante θεραπ. om.* A *θεραπενίδων* Q H. .*αἰ*.. E (ε supra) *ἀπολαύσω* E 7 *παῖδας* F 7. 8 *ἤδει* P 8 *οὔτω* Z, *corr.* m. rec., *in* Q *οὔπω factum ex οὔπω* m. pr., *οὔπω* D *ὀυπω* A 9 *ἕστηκεν* M *ἕστηκε* Φ b, *in* R *ἕ. corr. ex ἕ.* m. pr. 10 *θεραπενίδες* Q R A E, *in* D E *ε rubro supra αι scriptum* *ἀληθεῖ* E *ut uidetur mutatum in ῆ* *πρὸς ἀλλήλας om.* K 11 *ἀγενῶς* V R E J F K Z v ; *οὐγκαγενῶς ὡς* P *ἀμφισβήτουν* E H 12 *ὁ νύμφιος* K, *νύμφιος* A *τοῦ ξ. δὲ τῆς γυν. τὸν νεών. εἴσω κλ. κελ.* Φ 14 *μᾶλλον om.* A 15 *ἀραβῶνα* V Φ F K Z a, pars edd. 16 *κἀκείνη... πρόσωπον* 246, 4 *om.* A, *in marg. inferiore adiecit m. pr.; καὶ δεῦρο εἴσελθε infra erasum est.* *φαμένον* P *ἰδοῦ* P

„ναί“. κἀκείνη· „ἀβάσκαντα, μὴ εἰσέλθῃς εἴσω, καὶ p. 28 b. πάντες φύγωσι“. καὶ μέντοι καὶ ἄλλης ἐξελθούσης, καὶ ὡς εἶδεν αὐτόν, „παταχθείη σου“ φαμένης „τὸ πρόσωπον“, καὶ „δεῦρο εἴσελθε, ἀλλὰ μὴ προσεγγίσῃς μοι“, εἰσελθὼν ἔστη ἀντικρὺ τῆς δεσποίνης. ἡ δὲ τοῦτον θεασαμένη, τὰς ὄψεις ἀπέστρεψε πρὸς τὸν ἄνδρα, φαμένη· „πόθεν μοι τοῦτο τὸ τέρας ἤνεγκας; ἔκβαλε αὐτὸν τοῦ προσώπου μου“. κἀκεῖνος· „ἅλις σοι, κυρία, μὴ οὕτω σκῶπτέ μου τὸν νεώνητον“. ἡ δέ· „δῆλος εἶ, Ξάνθε, μισήσας με· ἑτέραν γὰρ ἀγαγέσθαι βουλόμενος καὶ ἴσως αἰδούμενος φράσαι μοι, ὡς τῆς σῆς οἰκίας ἀναχωρήσω, τὸν κυνοκέφαλόν μοι τοῦτον κεκόμικας, ὡς ἂν τὴν αὐτοῦ δυσανασχετοῦσα λατρείαν φύγω. δός μοι τὴν προῖκά μου καὶ πορεύσομαι“. πρὸς ταῦτα τοῦ Ξάνθου μεμψαμένου τὸν Αἴσωπον, ὡς κατὰ μὲν τὴν ὁδὸν ἀστεῖά τινα φθεγξαμένου περὶ τῆς ἐν τῷ βαδίζειν οὐρήσεως, νυνὶ δὲ πρὸς τὴν γυναῖκα μηδὲν λέγοντος, Αἴσωπος ἔφη· „βάλε αὐτὴν εἰς τὸ βάραθρον.“ καὶ ὁ Ξάνθος· „παῦε, κάθαρμα· ἢ οὐκ οἶσθ' ὅτι ταύ-

1 ἀβάσκαντε K b 1530. 1534. ἀβάσκανλους P 3 καὶ ὡς] καὶ *om.* Φ σον P φαμένη E 4 *post* εἴσελθε *erasa l.* ν Q 5 μοι, καὶ εἰσελθὼν Q ἔστη E H ἔστη *in* ἔστη *mutauit* Q 2 6 ἀπέστρεψεν Φ; *in* D ψ *ex corr.* m. pr. 7 ἤνεγγας H 8 ἔκβαλλε E H ἔκβαλαι P

9 ἅλισοι (ς *supra*) Q, ς *et accentum in ras. add.* Q 2; ἄλις *in* D *factum ex* ἅλις ὑπόσκωπτέ F Z K v μου *om.* R 10 μησίσας Z, μισ. *corr. ex* μυσ. Q m. pr. 11 γὰρ *om.* Q D E F Z K v ἀγέσθαι Z ἀγάγεσθαι R A 12 φρᾶσαι (αι *in rasura* Q 2) Q σῆς *om.* Φ b 13 κεκόμηκας P b ὡσὰν Q 14 *post* δυσανασχετοῦσα *in* D *extrita l.* ν δός μοι V *ut infra*: δὸς αὖ μοι M E H F Z δὸς οὖν μοι Q D Φ R K v, W. (δός D, Z 1) 16 μὲν *om.* Q 18 νυνίδε E H μὴδὲν H μηδὲ P οὐδὲν R 19 βάλλε A τὸν β. b παῦε D ἢ M R E H: ἦ V Q D A F K Z v οἶ P οὐκ οἶσθα R A οὐκείσθα, P

την ὡς ἐμαυτὸν στέργω"; καὶ ὁ Αἴσωπος· „ἐρᾷς τοῦ γυναίου"; κἀκεῖνος· „πάνυ μὲν οὖν, δραπέτα". καὶ πρὸς τοῦτο ὁ Αἴσωπος κροτήσας εἰς τὸ μέσον τὸν πόδα, μεγάλως ἔκραξε· „Ξάνθος ὁ φιλόσοφος γυναικοκρατεῖται". καὶ στραφεὶς πρὸς τὴν αὑτοῦ δέσποιναν ἔφη· „σύ, ὦ δέσποινα, ἐβούλου τὸν φιλόσοφον ὠνήσασθαί σοι δοῦλον νέον, εὐσωματοῦντα, σφριγῶντα, ὃν ἔδει γυμνήν σε κἂν τῷ βαλανείῳ θεᾶσθαι, καί σοι προσπαίζειν τὰ εἰς αἰσχύνην τοῦ φιλοσόφου; Εὐριπίδη, χρυσοῦν ἐγώ σου φημὶ τὸ στόμα, τοιαῦτα λέγον·

πολλαὶ μὲν ὀργαὶ κυμάτων θαλαττίων,
πολλαὶ δὲ ποταμῶν καὶ πυρὸς θερμοῦ πνοαί,
δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία,
πλὴν οὐδὲν οὕτω δεινόν, ὡς γυνὴ κακή.

σὺ δ' ὦ δέσποινα, φιλοσόφου γυνὴ οὖσα, ὑπὸ καλῶν νεα- p. 30 b.
νίσκων ὑπηρετεῖσθαι μὴ θέλε, μή πως ὕβριν τῷ ἀνδρί σου προστρίψῃς". ἡ δὲ ταῦτα ἀκούσασα καὶ πρὸς μηδὲν ἀντειπεῖν δυνηθεῖσα, „πόθεν, ἄνερ", φησί „τὸ κάλ-

1 ἐμαυτῷ P 2 κἀκεῖνος *supra lineam* A m. pr. 3 *post* τοῦτο *rasura in* D ὁ V: *om. ceteri* *post* ὁ αἴσ. *in* A *deleta uu.* ἔφη βάλε αὐτὴν τὸ] τὸν *deleta l.* ν Z μέσον Q ον *in ras.* 4 ἀνέκραξε E H F K Z v; ἔκραζε (ζ *mut. in* ξ) R 5 γυναικορατεῖται K, Z m. pr. (Z 2 *add.* κ); *in* Q ..ται *restitutum pro* ..τε, *ut saepissime* 5 αὑτοῦ A D: αὐτοῦ *ceteri* 6 ὦ] τῷ P βούλου Φ ἐβούλου ... σφριγῶντα *in ras.* Z m. pr. 8 κὰν M κὰν ἐν Φ, κἂν *in* κὰν *mut.* R, κὰκ Z 9 θεάσασθαι Φ πρὸς παίζειν M H E εἰς] πρὸς Q R 11 λέγων P 12 *cf.* Nauckii Fr. trag. 1045 p. 540; *uersus indicantur in* D (*inde a u.* χρυσοῦν) *et* Z 13 κ. θ. π. πνεία L *ante* θερμοῦ *in* Q *erasum* καὶ 14 δεινὸν δὲ πενία *suppleuit in margine* A m. pr. δεινὴ μὲν πενεία L δεινὰ] δεινὸν Φ 15 γυναικὴ κ. R π. οὐδὲν χεῖρον γυναικὸς γλωσσώδους καὶ ὀργίλης L 16 ὑποκαλῶν H *ut saepe* 17 ὑπερετεῖσθαι Z 18 πρὸσ ποίψησ H μὴδὲν H 19 ἄντι·πεὶν P ἀντιπεῖν H ἄνερ] ἄν D ερ *add.* D 2 κάλλος] κάλος P K

λος τοῦτο τεθήρακας; ἀλλὰ καὶ λάλος ὁ σαπρὸς οὗτος φαίνεται καὶ εὐτράπελος. διαλλαγήσομαι τοίνυν αὐτῷ". καὶ ὁ Ξάνθος· „Αἴσωπε, διήλλακταί σοι ἡ σὴ δέσποινα". καὶ ὁ Αἴσωπος εἰρωνευσάμενος „μέγα τι χρῆμα" φησί „τὸ πραῦναι γυναῖκα". καὶ ὁ Ξάνθος· „σιώπα τοὐντεῦθεν· ὠνησάμην γάρ σε εἰς δουλείαν, οὐκ εἰς ἀντιλογίαν".

IX Τῇ δ' ὑστεραίᾳ ὁ Ξάνθος ἕπεσθαι τῷ Αἰσώπῳ κελεύσας, πρός τινα τῶν κήπων ἧκεν ὠνησόμενος λάχανα. τοῦ δὲ κηπωροῦ δέσμην λαχάνων θερίσαντος, ἀνείληφεν Αἴσωπος. τοῦ δὲ Ξάνθου μέλλοντος ἤδη τῷ κηπωρῷ καταβάλλειν τὸ κέρμα, ὁ κηπωρός „ἔα κύριε", φησίν „ἑνὸς προβλήματος παρὰ σοῦ δέομαι". καὶ ὁ Ξάνθος· „τίνος"; καὶ ὅς· „τί δή ποτε τὰ μὲν παρ' ἐμοῦ φυτευόμενα τῶν λαχάνων, καίπερ ἐπιμελῶς σκαλιζόμενά τε καὶ ἀρδευόμενα, βραδεῖαν ὅμως ποιεῖται τὴν αὔξησιν· οἷς δ' αὐτομάτη ἐκ γῆς ἡ ἀνάδοσις, καίτοι μηδεμιᾶς ἐπιμελείας ἀξιουμένοις, τούτοις ὀξυτέρα ἡ βλάστησις"; ὁ μὲν οὖν Ξάνθος, καίτοι φιλοσόφου τῆς ζητήσεως οὔσης,

3 διήλ(λ)ακται P K ..λ.. D 4 εἰρωνευσάμενος *om.* V 5 μέγά τι M Q D Φ R E μεγάτι H χρῆμα *om.* D *add.* D 2 φησὶ *om.* V 6 τὸ ἐντ. P, τὸεντ. A *accentu postea adiecto* 7 δουλίαν R 8 ὁ V: *om. ceteri* ἔπαισθαι P 9 τῶν *corr. ex* τον K κήπων] κηπωρῶν F Z K ὠνησάμενος R 10 κηπουροῦ Φ E H λαγχάνων P 11 ἀνείληχεν Φ δὲ *om.* A 12 κηπουρῷ Φ E H καταβάλειν Q D καταβαλεῖν (εἶ *corr. ex* λ) A καταβαλὴν P κατὰβάλλειν H *ut saepe* κηπορὸς Z κηπουρὸς Φ 13 φησὶ A φησὴν, *ut uidetur*, P περὶ D, *corr.* παρὰ D 2 παρά σου V 16 τε *in* A *add.* A 2 ἀρδ. Z 2, ἀδρ. Z m. pr. ἀρδ. H 17 ποιεῖ A ποιεῖτε P δ' αὐτομάτην R δ' αὐτομάτως A δαυτομάτος P 18 ἡ *ante* ἀνάδ. *om.* A καίπερ Φ καί τι μὴ δεμιᾶς H 19 ἀξιουμένοις A *unde* ..μένης *fecit* A 2 ὀξήτερα A 20 τῆς] τοῖς P

μηδὲν ἕτερον συννοήσας εἰπεῖν, τῇ θείᾳ προνοίᾳ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις διοικεῖσθαί φησιν. ὁ δὲ Αἴσωπος, παρῆν γάρ, ἐγέλασε. καὶ πρὸς αὐτὸν ὁ φιλόσοφος· „πότερον γελᾷς ἢ καταγελᾷς“; καὶ ὁ Αἴσωπος „καταγελῶ“, φησίν „ἀλλ' οὐ σοῦ, τοῦ δὲ διδάξαντός σε. ἃ γὰρ ὑπὸ θείας προνοίας γίνεται, ταῦθ' ὑπὸ σοφῶν ἀνδρῶν τυγχάνει τῆς λύσεως. προβαλοῦ τοίνυν ἐμέ, κἀγὼ λύσω τὸ πρόβλημα“. ἐν τούτῳ τοίνυν ὁ Ξάνθος ἐπιστραφεὶς λέγει τῷ p. 32 b. κηπωρῷ· „ἥκιστα πάντων εὐπρεπές ἐστιν, ὦ τᾶν, ἐμὲ τὸν ἐν τοσούτοις ἀκροατηρίοις διαλεχθέντα τὰ νῦν ἐν κήπῳ λύειν σοφίσματα. παῖς δέ μοι οὑτοσὶ πολλῶν πεῖραν ἔχων ἀκολουθεῖ· τούτῳ προσαναθέμενος, τῆς λύσεως τεύξῃ τοῦ ζητουμένου“. καὶ ὁ κηπωρός· „οὗτος ὁ αἰσχρὸς γράμματα οἶδεν; οἴμοι τῆς δυστυχίας. ἀλλὰ φράσον, ὦ λῷστε, εἰ τοῦ ζητουμένου τὴν διασάφησιν ἔγνωκας“. καὶ ὁ Αἴσωπος „ἡ γυνή“ φησίν „ἐπειδὰν πρὸς δεύτερον γάμον ἔλθῃ, τέκνα ἐκ τοῦ πρώτου ἀνδρὸς ἔχουσα, εἴπερ εὕροι καὶ τὸν ἄνδρα ἐκ τῆς προτέρας γυναικὸς τεκνο-

1 μὴδὲν H, *in* E η *radendo factum ex* ὴ συνοήσας V Q P; *in* A *statim corr.* 2 φησί Q φησὶ· A 3 δ' Φ F K Z v παρῆν] πλὴν P ἐγέλασεν M 4 πότερον *ex* πρότ. *corr.* Q 6 γίγνεται A 7 ταῦτα Q 8 προβαλλοῦ Q προβαλλὺ P προβάλου A 9 λέγει] λέγω P 10 κηπουρῷ Φ ὦ τὰν P ὦ τ' ἂν E H 11 τὸν] τῶν P ἀκροατηρίας P διαλέγοντα A τανῦν V M Q Φ H 12 σωφίσματα Z μοι] μου b οὑτοσὶ *ex* οὕτωσι *corr.* M 1 οὑτωσὶ E H, οὑτο-σὶ Q *littera aliqua erasa* 13 ἀκολουθείαν E H ἀκολουθίας F K Z v 14 τῆς λύσης τεύξει P 15 κηπουρὸς Φ αἰσχρῶς P οἶδεν *ex* εἶδεν *corr.* M εἶδεν P b 16 ὦ λῷστε] *in margine* V ὦ φίλε V 2 17 τὴν *om.* K ἔγνωσας R m. pr. 18 ἡ] εἰ Φ φησι Φ ἐπειδὰν *om.* Φ γάμον δεύτερον Φ 19 πρώτου V: προτέρου *ceteri* 20 εὕρῃ V Φ K Z F ἐκ] τέκνα ἐκ F K Z v προτ.] ο *in ras.* Q m. pr. γυναικὸς *om.* A τεκνοποιησάμενον Q ἀνδροτεκνοποιησάμενον Φ

ποιησάμενον, ἃ μὲν αὐτὴ ἐπηγάγετο, τούτων μήτηρ ἐστίν, ἃ δ' εὗρεν ἐν τῷ ἀνδρί, τούτων ἐστὶ μητρυιά. πολλὴν οὖν ἐν ἑκατέροις ἐνδείκνυται τὴν διαφοράν. τὰ μὲν γὰρ ἐξ αὑτῆς φιλοστόργως καὶ ἐπιμελῶς τρέφουσα διαγίνεται, τὰ δ' ἐξ ἀλλοτρίων ὠδίνων μισεῖ, καὶ ζηλοτυπίᾳ χρωμένη, τὴν ἐκείνων τροφὴν περικόπτουσα, τοῖς ἑαυτῆς προστίθεται τέκνοις. τὰ μὲν γὰρ φύσει ὡς οἰκεῖα φιλεῖ, ἀποστέργει δὲ τὰ τοῦ ἀνδρὸς ὡς ἀλλότρια. τὸν ἴσον δὴ καὶ ἡ γῆ τρόπον τῶν μὲν αὐτομάτως ἐξ αὑτῆς φυομένων μήτηρ ἐστίν· ἃ δ' αὐτὸς ἐμφυτεύεις, τούτων γίνεται μητρυιά. οὗ χάριν καὶ μᾶλλον ὡς γνήσια τὰ οἰκεῖα τρέφει καὶ θάλπει, τοῖς δὲ παρὰ σοῦ φυτευομένοις οὐ τοσαύτην ὡς νόθοις τὴν τροφὴν νέμει". ἐπὶ τούτοις ἡσθεὶς ὁ κηπωρός „πιστεύσαις ἄν μοι", φησίν „ὅτι με ἀμηχάνου λύπης καὶ ἀδολεσχίας ἐκούφισας.

1 *μὲν*] *μὴ* F K Z a: *sed in editionis Aldinae exemplis quibusdam uitium sublatum est* *αὐτὴ*] *αὐτῇ* R P *αὐτὴ* H, *in* Q *αὐτὴ radendo factum ex αὐτῇ* *αὐτὴ* V: *αὐτὴ τέκνα celeri* *ἐπηγάγετο corr. ex ἀπ.* Z 2 *δὲ* V Z *ἐν i. e. παρὰ cf. indicem. noli igitur reponere ἀνδρὸς* *μητυιὰ* A, *ρ add.* A 2, *μιτρία* P 3 *δείκνυται* V; *in* Q *ἐνδείκνυται corr. ται ex τε* 4 *ἐξαυτῆς* Z *ἐξαυτοῖς* P *ἐξαὐτῆς* H *hic et* 10 *φιλοσόφως* Φ 5 *διαγύνεται* P 5 *τὰ δὲ ἐξ* Z *τὰ δὲ ἐξ* K, *τοὺς δ' ἐξ* A *τοὺς δὲξ* P *τὰ δ' ἐξαλλ.* H 6 *ζηλωτυπία* E *ζυλοτ.* H 7 *τοῖς*] *τῆς* F *ἑαυτῆς ex ἑαυτοῖς corr.* M 1 *ἑαυτοῖς* V R P E H *προτίθεται* M V R, P (*προτήθ.*), E H, Q (*erasa aliqua littera super ο*) *προστίθεσθαι* A *τὰ μὴ γὰρ* H 8 *οἰκείως φ.* R *εἰκεῖα φιλεῖ* P, *l. φ fecit ex ὡς* m. pr. 9 *ἀνδρὸς ὡς*] *ὡς om.* D *ἶσον* v *δὴ*] *δὲ* R F 10 *αὐτομάτως om.* Φ 11 *δὲ* Z *ἐμφιτεύεις* Z *μητρυὰ* D 12 *οὐχάριν* P *τὰ οἰκεῖα om.* Φ 13 *τρέφη* P 14 *τὴν τροφὴν ὡς νόθοις* Φ *νέμοι* P *νέμειν deleta l. ν extrema* D 15 *ἡσθεὶς om.* Φ *κηπουρὸς* Φ *πιστεύσης* P *πιστεύσας* Q; *in* A *uidetur fuisse ..σας uel ..σης, sed iam scriptura fere omnino euanuit; ..σαις corr. ex ..σαῦς* H 16 *λύπης om.* Φ *ἀδολεσχίας*] *ἀμφιβολίας, ἀμηχανίας, μερίμνης. cf. Schleusn. L. V. T.* 1, 61 *m. Bk. An.* 1, 21, 30. *Suid.*

ἄπιθι προῖκα φέρων τὰ λάχανα, καὶ ὁσάκις σοι τούτων δεῖ, ὡς εἰς οἰκεῖον κῆπον βαδίζων λάμβανε".

Μεθ᾽ ἡμέρας πάλιν εἰς τὸ βαλανεῖον ἐλθόντος X
τοῦ Ξάνθου καί τισιν ἐντυχόντος ἐκεῖ τῶν φίλων, p. 34 b.
καὶ πρὸς τὸν Αἴσωπον εἰρηκότος εἴς τε τὴν οἰκίαν προδραμεῖν καὶ φακῆν εἰς τὴν χύτραν ἐμβαλόντα ἑψῆσαι, ἐκεῖνος ἀπελθὼν κόκκον ἕνα φακῆς εἰς τὴν χύτραν ἕψει βαλών. ὁ δὲ δὴ Ξάνθος ἅμα τοῖς φίλοις λουσάμενος, ἐκάλει τούτους συναριστήσοντας. προεῖπε μέντοι καὶ ὡς λιτῶς, ἐπὶ φακῇ γὰρ ἔσται τὸ δεῖπνον, καὶ ὡς μὴ δεῖ τῇ ποικιλίᾳ τῶν ἐδεσμάτων τοὺς φίλους κρίνειν, ἀλλὰ δοκιμάζειν τὴν προθυμίαν. τῶν δὲ εἰξάντων καὶ πρὸς τὴν οἰκίαν ἀφικομένων, ὁ Ξάνθος φησί· „δὸς ἡμῖν ἀπὸ λουτροῦ πιεῖν, Αἴσωπε". τοῦ δ᾽ ἐκ τῆς ἀπορροίας τοῦ λουτροῦ λαβόντος καὶ ἐπιδεδωκότος, ὁ Ξάνθος τῆς δυσωδίας ἀναπλησθείς, „φεῦ, τί τοῦτο", φησίν „Αἴσωπε"; καὶ ὅς· „ἀπὸ λουτροῦ, ὡς ἐκέλευσας". τοῦ δὲ Ξάνθου τῇ παρουσίᾳ τῶν φίλων τὴν ὀργὴν ἐπισχόντος καὶ λεκάνην αὐτῷ παρατεθῆναι κελεύσαντος, Αἴσωπος τὴν λεκάνην θεὶς ἵστατο. καὶ ὁ Ξάνθος· „οὐ νίπτεις"; κἀκεῖνος· „ἐντέταλταί μοι ταῦτα μόνα ποι-

1 *φέρων προῖκα* D 2 *ὡς εἰς*] *εἰς om.* V D Φ R E H F K Z *βαδίζειν* P 3 *μεθημέρας* Q *δὲ πάλιν* E H F K Z v 4 *τοῦ om.* Φ *τῶν*] *τὸν* P 6 *προσδραμεῖν* V Q E A H F K Z v *φακὴν* M V Q D R Φ E H F *ἐμβάλοντα* Φ 7 *ἑψ.* Q A *ἀπ., εἰς τὴν χ. ἕνα κόκκον ἕψει βαλὼν* (*βαλλῶν* P *λαβὼν* A) Φ *omisso u. φακῆς* 8 *ἕψει libri, nisi quod ἕψει* A, Q *quod* m. pr. *fecit ex* ἕ. 9 *τούτοις* P *συναριστήσονται* P 11 *ὡς*] *ὅς* P *ut saepe* *δεῖ scripsi: δεῖν libri* *τῇ in* A *suppleuit* m. pr. 13 *εἰξ.* A 14 *αἴσωπος* P 15 *δὲ* Z 16 *ὁ ξάνθος om.* Φ *ἀναπληθεὶς* b 17 *τι* Z *τὶ* R *ut saepissime* *τί τοῦτο*] *τοιοῦτο* P *ἔσωπε* E 18 *ὅς* Z 19 *ἐπίσχοντος* A, *σ ex corr.* 20 *αὐτῷ*] *i. e. αὐτῷ* 22 *μόνα om.* F K Z v, *μόνον* R, *μόνα ταῦτα* Q Φ

εἶν, ὅσα ἂν ἐπιτάξῃς. σὺ δὲ νῦν οὐκ.εἶπας· Βάλε ὕδωρ εἰς τὴν λεκάνην καὶ νίψόν τοὺς πόδας μου, καὶ θὲς τὰς ἐμβάδας, καὶ ὅσα ἐφεξῆς". πρὸς δὴ ταῦτα τοῖς φίλοις ὁ Ξάνθος ἔφη· „μὴ γὰρ δοῦλον ἐπριάμην; οὐκ ἔστιν ὅπως· ἀλλὰ διδάσκαλον". ἀνακλιθέντων τοίνυν αὐτῶν καὶ τοῦ Ξάνθου τὸν Αἴσωπον ἐρωτήσαντος, εἰ ἕψηται ἡ φακῆ, δοίδυκι λαβὼν ἐκεῖνος τὸν τῆς φακῆς κόκκον ἀνέδωκεν. ὁ δὲ Ξάνθος λαβὼν καὶ οἰηθεὶς ἕνεκεν τοῦ πεῖραν λαβεῖν τῆς ἑψήσεως τὴν φακῆν δέξασθαι, τοῖς δακτύλοις διατρίψας ἔφη· „καλῶς ἕψηται· κόμισον". τοῦ δὲ μόνον τὸ ὕδωρ κενώσαντος ἐν τοῖς τρυβλίοις καὶ παραθέν-
p. 36 b. *τος, ὁ Ξάνθος „ποῦ ἐστιν ἡ φακῆ"; φησί. καὶ ὅς· „ἔλαβες αὐτήν". καὶ ὁ Ξάνθος· „ἕνα κόκκον ἕψησας"; καὶ ὁ Αἴσωπος· „μάλιστα. φακῆν γὰρ ἑνικῶς εἶπας, ἀλλ' οὐ φακᾶς, ὃ δὴ πληθυντικῶς λέγεται". ὁ μὲν οὖν Ξάνθος ἀπορήσας τοῖς ὅλοις, „ἄνδρες ἑταῖροι", φησίν „οὗτος εἰς μανίαν με περιτρέψει". εἶτα στρα-*

1 ἂν προστάξῃς V ἂν ἐπιτάξεις R P 2 νίψων P μου τοὺς πόδας Q 3 τὰς] τὰ R ἐξῆς Φ (ἐ. P) 4 φίλης P ἔφη] φησί· Q γὰρ *om.* Z 5 ἀνακληθέντων R P 6 αἴσοπον A 7 εἶ Z 7 10 11 ἕψ. A H 7 13 φακὴ (-ῆ P) *et paulo post* φακὴν φακὰς M V Q D Φ R E H, ed. Neuel. (*sed haec* φακᾶς, *et* V *semel* φακῆν) δοίδικι Φ δοίδυκα R δίδυκι Q 8 ἐκεῖνος.....λαβὼν *om.* Q; δοίδικι λαβὼν (καὶ) οἰηθεὶς ἕ., *sed* καὶ *erasum: in cuius locum in margine ascripsit* Q 2: παρέθηκεν ἐπὶ τράπεζαν αἴσωπος· ξάνθος δὲ, . *praeterea supra scriptum est* ἕψω ἀπέδωκεν Φ 9 τοῦ *om.* Q D R λαβὴν P 10 ἕψ. A H, Q, *qui* 11 ἕψ. *corr. ex* ἐψ. δείξασθαι? δακτύλης P 11 *ante* κόμισον *in* A *deletum* κόκκον κόμησον P H, E (*sed corr.*) μόνον P 12 κενώσαντος] κομίσαντος Φ τριβλίοις Φ E H F K Z 13 ὁ *om.* b 1530. 1534 π. ἐστι (*l.* ν *erasa*) φησὶν ἡ φ. (φησι) [*hoc uocabulum erasum est*] καὶ ὃς Q φησὶν E 14 ἕψ. Q 15 ὁ αἴσ.] ὁ *om.* A *add.* A 2 μάλιστα] ισ *loco erasae l.* α Q εἶπας *post* ἀλλ' *conlocat* b 1530, *post* φακᾶς b 1534 16 οὐ K ὃ...λέγεται *om.* Q πληνθυντικῶς P 18 φησὶν] ἔφη F Z K v εἰς] εἰ A ς *add.* A 2 περιτρέψη P

φεὶς πρὸς τὸν Αἴσωπον, εἶπεν· „ἀλλ' ἵνα μὴ δόξω, κακὲ δοῦλε, τοῖς φίλοις ἐνυβρίζειν, ἀπελθὼν ὤνησαι πόδας χοιρείους τέτταρας, καὶ διὰ ταχέων ἑψήσας παράθες". τοῦ δὲ σπουδῇ τοῦτο ποιήσαντος καὶ τῶν XI ποδῶν ἑψομένων, ὁ Ξάνθος εὐλόγως θέλων τύψαι τὸν Αἴσωπον, αὐτοῦ περί τι τῶν εἰς χρείαν ἀσχολουμένου, ἕνα τῶν ποδῶν ἐκ τῆς χύτρας λαθραίως ἀνελόμενος ἔκρυψε. μετὰ μικρὸν δὲ καὶ ὁ Αἴσωπος ἐλθὼν καὶ τὴν χύτραν ἐπισκεψάμενος, ὡς τοὺς τρεῖς μόνον πόδας ἑώρακε, συνῆκεν ἐπιβουλὴν αὐτῷ τινα γεγονυῖαν. καὶ δὴ καταδραμὼν ἐπὶ τὴν αὐλὴν καὶ τοῦ σιτευομένου χοίρου τὸν ἕνα τῶν ποδῶν τῇ μαχαίρᾳ περιελὼν καὶ τῶν τριχῶν ψιλώσας, εἰς τὴν χύτραν ἔρριψε καὶ συνέψει τοῖς ἄλλοις. Ξάνθος δὲ δείσας, μή πως Αἴσωπος τὸν ὑφαιρεθέντα τῶν ποδῶν οὐχ εὑρὼν ἀποδράσῃ, αὖθις εἰς τὴν χύτραν αὐτὸν ἐνέβαλε. τοῦ δ' Αἰσώπου τοὺς πόδας εἰς τὸ τρυβλίον κενώσαντος καὶ πέντε τούτων ἀναφανέντων, ὁ Ξάνθος „τί τοῦτο", φησίν „Αἴσωπε; πῶς πέντε"; κἀκεῖνος· „τὼ δύο χοίρω πόσους ἔχετον πόδας";

1 ἀλλείνα P 3 χοιρίους Q D Z E, H (*sed e corr.*) χοιροίους P διαταχέων M Q D R δια ταχέων A διάταχέων P διαταχέως V 3. 5 ἑψ. Q 4 σπουδὴ H 5 ἑψημένων Φ 6 ἔσωπον E εἰς *in* A *add.* A 2 ἀσχολουμένων Φ ἀσχολουμένου (*l.* υ *facta ex* ν) Z 8 ἀνελκόμενος P ἀνε$^{\lambda}$ψόμενος D, λ *add.* D 2 ἔκρυψεν M μικρῶν P μεταμικρὸν δὲ E μετὰ μικρόνδε H καὶ ὁ αἴσ.] καὶ *om.* E 10 μόνον V: μόνους *ceteri* ἑώρακεν M b (*praeter* ed. Neuel.) συνῆκε (Z) b τινα αὐτῶ Q 12 τὸν] τῶν M 13 ψηλώσας V ψιλόσας P 15 δύσας P αἴσωπος] σω *suppl.* Q 2; ἔσωπος E ὁ αἴσωπος Φ 16 οὐχ' M, Q 2, H E οὐχ εὑρὼν *om.* Q D, *add.* Q 2 D 2 ἀποδράσει Φ 17 τριβλίον F Z τρίβλιον K b τρύβλιον A a, b 1547 19 τοῦτο] τούτων R 20 δύω M Q v (*praeter* b 1534) χοίρω Q Z *sed in utroque corr.* ο *ex* ε, *in* Q *praeterea* ω *in ras.* τῶν δύο χοίρων E H ἔχει V

καὶ ὁ Ξάνθος· „ὀκτώ“. καὶ ὁ Αἴσωπος· „εἰσὶν οὖν ἐνταυθὶ πέντε, καὶ ὁ σιτευόμενος χοῖρος νέμεται κάτω τρίπους“. καὶ ὁ Ξάνθος πάνυ βαρέως σχὼν πρὸς τοὺς φίλους φησίν· „οὐχὶ μικρῷ πρόσθεν εἶπον, ὡς τάχιστά με πρὸς μανίαν οὗτος δὴ περιτρέψει“; καὶ ὁ Αἴσωπος· „δέσποτα, οὐκ οἶσθ᾽ ὅτι τὸ ἐκ
p. 38 b. προσθέσεως τε καὶ ἀφαιρέσεως εἰς τὸ κατὰ λόγον ποσὸν συγκεφαλαιούμενον, οὐκ ἔστιν ἁμάρτημα“; ὁ μὲν οὖν Ξάνθος μηδεμίαν εὐπρόσωπον αἰτίαν εὑρηκὼς μαστιγῶσαι τὸν Αἴσωπον, ἡσύχασε.

XII Τῇ δ᾽ ὑστεραίᾳ τῶν σχολαστικῶν τις πολυτελὲς εὐτρεπίσας δεῖπνον, σὺν ἄλλοις σχολαστικοῖς καὶ τὸν Ξάνθον κέκληκεν. εὐωχουμένων τοίνυν, ὁ Ξάνθος μερίδας ἐκ τῶν παρακειμένων ἀνελόμενος ἐπιλέκτους καὶ τῷ Αἰσώπῳ ὄπισθεν ἐφεστῶτι δούς, „τῇ εὐνοούσῃ μοι“ φησὶ πρὸς αὐτόν „ταῦτα ἐπίδος ἀπελθών“. ὃ δ᾽ ἀπιὼν καθ᾽ ἑαυτὸν ἐνενόει· „νῦν καιρὸς τίσασθαί μου τὴν δέσποιναν, ἀνθ᾽ ὧν με ἡνίκα νεώνητος ἦλθον ἔσκωπτεν. ὄψεται τοίνυν τίς τῷ δε-

2 ἐνταυθὶ V: ἐνταυθοῖ *ceteri* ὁ σιτ.] ὁ *om.* Z 3 κάτω *om.* Z; κάτω νέμεται Q βραχέως V 4 φησὶ b μικρὸν K 5 μοι (ε *supra*) D, ε *add.* D 2 με δὴ A μεδῆ P 5 οὗτος δὴ] δὴ *om.* Φ; περιτρέψει δὴ οὗτος Q περιτρέψῃ E 6 οὐκ *om.* a (*in exemplis quibusdam additum est*) 7 προθέσεώς R E H, D *postea correctus* m. pr. τε *om.* Φ καταλόγου R κατὰ λάγων P 8 ποσῶν P 9 μὴ δὲ μίαν D, Q *extrito qui in* η *erat accentu* μηδὲ) μὴδεμίαν H αἰτίαν εὐπρόσωπον Φ F Z K v 11 ὑστερέα (αι *supra*) K πολυτελαῖς P 12 εὐπρεπίσας R εὐτρεπήσας E σχολαστικοὶ a 13 κέκληκε M κέκλησεν Z ἐνοχουμένων P 15 αἰσῶπο, P ὄπισθεν ἐφεστῶτι *in rasura* Z m. pr. εὐνούσῃ Z, *corr.* Z 2. *nolui autem in tali scriptore seiungere* εὖ *cum omnes ubique libri in formam* εὐνοεῖν *conspirent* 16 φησὶν R, φησὶν *post u.* ταῦτα *conlocatur in* Φ αὐτὴν K ταῦτ᾽ Q D R ἐπίδως E, *in* H ος *factum ex* ως 17 ἐννόει D 18 με *om.* Φ νεώνητον E 20 τίς *scripsi:* εἰ *libri*

σπότῃ μου εὐνοεῖ.“ ἀφικόμενος οὖν εἰς τὴν οἰκίαν καὶ καθίσας ἐν τῷ προδόμῳ καὶ τὴν δέσποιναν ἐκκαλέσας, τὴν σπυρίδα τῶν μερίδων ἐπίπροσθεν αὐτῆς τέθεικε καί φησι· „δέσποινα, ταῦτα πάντα ὁ δεσπότης πέπομφεν οὐ σοί, ἀλλὰ τῇ εὐνοούσῃ“. καὶ τὴν κύνα καλέσας καὶ εἰπών „ἐλθέ, λύκαινα, φάγε, σοὶ γὰρ ὁ δεσπότης δοθῆναι ταῦτα ἐπέταξεν“, ἀνὰ μέρος τῇ κυνὶ πάντα παρέβαλε. μετὰ δὲ τοῦτο πρὸς τὸν δεσπότην πάλιν ἐλθὼν καὶ ἐρωτηθεὶς εἰ τῇ εὐνοούσῃ δέδωκε πάντα, „πάντα“, φησί, „καὶ ἐνώπιον ἐμοῦ πάντα κατέφαγε“. τοῦ δὲ ἐπανερομένου „καὶ τί ποτε ἄρα ἐσθίουσα ἔλεγεν“; ἐκεῖνος· „ἐμοὶ μέν“ φησίν „οὐδ' ὁτιοῦν εἴρηκε, καθ' ἑαυτὴν δέ σοι χάριτας ᾔδει“. ἡ μέντοι γυνὴ τοῦ Ξάνθου συμφορὰν τὸ πρᾶγμα ποιησαμένη ἅτε δὴ δευτέρα τῆς κυνὸς ἐλεγχθεῖσα τῇ πρὸς τὸν ἄνδρα εὐνοίᾳ, καὶ ἐπειποῦσα ἦ μὴν μηκέτι τοῦ λοιποῦ συνοικήσειν αὐτῷ, εἴσω παρελθοῦσα τοῦ κοιτῶνος ἐθρήνει. τοῦ δὲ πότου προκόπτοντος καὶ ζητημάτων πρὸς ἀλλήλους προ- p. 40 b.

ῆ
1 εὐνοεῖ R εὐνοῆ P 2 καθήσας Q προδρόμω P b 1547. *ἐν τῶ πρ. κ. τ. δ. ἐκκαλέσας om.* Z: *a quibus uerbis in a nouus incipit uersus* 4 τέθεικεν M E τέθηκε V τέθ. καὶ] θέμενος Φ 5 πέμποφεν Q τὴν] τὸν Φ 6 *litterae* λύκαι *in rasura* Q m. pr. σοὶ] σὺ E H 7 ταῦτα ἐπέταξεν δοθῆναι K Z v, δ. ταῦτα παρέβαλε ἐπ. *deleto u.* παρέβαλε R, δ. ταῦτα πάντα ἐπ. D 8 πάντα] ταῦτα R πρὸς] εἰς V 10 πάντως φησί Φ ἐνώπιόν μου R 11 ἐπαινερομένου Z ἐπανερωμένου E H καί τιποτ' Q 13 οὐδοτιοῦν M V K E H b οὐδότι οὖν P οὐδ' ὁτιοῦν *eraso qui in ῦ erat spiritu* Q εἴρηκεν M Φ (εἴρικεν P) σοι Q, *in locum erasi* σου? 14 μέν τοι v *saepe* 15 οἰησαμένη (Z) b, λογισαμένη (*l.* ι *radendo facta ex* η) Q δὴ] καὶ Φ τοῦ κυνὸς Φ (τουκεινὸς P) 16 ἐλεχθεῖσα R E H Q *primo, sed supra scr.* γ τὸν *om.* P 17 ἦ μὴν R ἤμην E H b

ειν
μὴκέτι H συνοικήσῃ D, ειν *add.* D 2 18 κιτῶνος a 19 προτινομένων A προτεινουμένων a

τεινομένων, καὶ ἑνὸς αὐτῶν ἀπορήσαντος πηνίκα ἂν γένοιτο μεγάλη ἐν ἀνθρώποις ἀνάγκη, Αἴσωπος ὄπισθεν ἑστὼς εἶπεν· „ἡνίκα ἂν οἱ νεκροὶ ἀνιστάμενοι τὰ ἑαυτῶν ἀπαιτήσωσι κτήματα“. καὶ οἱ σχολαστικοὶ γελάσαντες ἔφασαν· „νοήμων ἐστὶν ὁ νεώνητος“. ἑτέρου δὲ πάλιν τοιόνδε τι προθέντος, ὅτου χάριν τὸ μὲν πρόβατον ἐπὶ σφαγὴν ἑλκόμενον οὐ βοᾷ, ὁ δὲ χοῖρος ὅτι μάλιστα κράζει, Αἴσωπος αὖθις ἔφη ὅτι „τὸ μὲν πρόβατον κατὰ τὸ εἰωθὸς ἀμελγόμενον ἢ τὸ τοῦ πόκου βάρος ἀποτιθέμενον, σιγῇ ἕπεται· διὸ καὶ ὑποσκελιζόμενον καὶ τὸν σίδηρον ὁρῶν, οὐδὲν δεινὸν ὑποπτεύει, ἀλλ' ἐκεῖνα τὰ συνήθη καὶ μόνα δοκεῖ πείσεσθαι. ὁ δὲ χοῖρος ἅτε δὴ μήτ' ἀμελγόμενος μήτε κειρόμενος μηδὲ συνειδὼς ἑαυτῷ πρός τι τῶν τοιούτων ἑλκόμενος, ἀλλ' ὅτι τῶν σαρκῶν αὐτοῦ μόνον ἐστὶ χρεία, εἰκότως βοᾷ“. τούτων οὕτω ῥηθέντων, οἱ σχολαστικοὶ πάλιν ἐπῄνεσαν αὐτόν, τραπέντες εἰς γέλωτα. παυσαμένου μέντοι τοῦ πότου καὶ τοῦ Ξάνθου πρὸς τὴν οἰκίαν ἀπονο-

1 ἀπορρήσαντος V 2 ἀνάγκη] ταραχὴ v μεγ. ἀνάγκη ἐν ἀ. Q 4 ἑαυτὸν P ἀπαιτὴσωσί κτ. R χρήματα (κτή supra) V σώματα (κτή supra) M D, omnia m. pr. 5 ἔφησαν Q: post hoc u. erasum νο 6 τοιόνδε τι (libri τοιόνδέ τι) om. E H Z K v προστιθέντος Φ προτιθέντος (ε supra) Q 7 εἰς φαγὴν P εἰς φαγὼν A, σφαγὴν restituit A 2 8 ὅτι] ἔτι Φ κρώζει R 9 μὲν om. Φ ἀναμελγόμενον E 10 ἢ καὶ τὸ a, καὶ τὸ (om. ἢ) Φ 11 ἕπ. corr. ex ἔπ. Q; ἕπεται διὸ Z δι' ἃ A διὰ P inter ὑποσκελι et ζόμενον in Q littera erasa 12 οὐδεινὸν Q 13 πείθεσθαι R ἅτε δὴ in D add. D 2 μὴ μετ' ἀμελγ. Z μεταμελγ. K 14 μηδὲ Q P: μὴ δὲ ceteri συνιδὼς Φ ἑαυτῷ] ῷ corr. ex ὸν Q 16 αὐτὰ P μόνου A μόνων M Q D E H P K Z v ἔστι Q χρεία a εἰκότος P 17 οὕτως Q R Φ (οὗτος P) 18 τραπένταις P γέλωτας Q μέντοι] τοίνυν V D 19 πότου corr. ex πόθου P πρὸς] εἰς D ἀπον in rasura Q m. pr.

στήσαντος, καὶ τῇ γυναικὶ συνήθως ὁρμήσαντος προσλαλεῖν, ἐκείνη τοῦτον ἀποστραφεῖσά φησι· „μή μου πλησίον γένῃ. δός μοι τὴν προῖκα καὶ ἀπελεύσομαι. οὐδὲ γὰρ ἂν μείναιμι σὺν σοὶ τοὐντεῦθεν. σὺ δ' ἀπελθὼν τὴν κύνα κολάκευε, ᾗ πέπομφας τὰς μερίδας“. καὶ ὁ Ξάνθος ἐκπλαγεὶς λέγει· „οὐκ ἔστιν ὅπως οὐκ ἤρτυσέ μοί τι κακὸν πάλιν Αἴσωπος“. καὶ πρὸς τὴν γυναῖκά φησι· „κυρία, ἐμοῦ πεπωκότος σὺ μεθύεις; τίνι τὰς μερίδας πέπομφα, οὐχὶ σοί“; „μὰ Δί', ἐμοὶ μὲν οὔ“, φησὶν ἐκείνη „τῇ δὲ κυνί“. καὶ ὁ Ξάνθος τῷ Αἰσώπῳ κληθέντι φησί· „τίνι δέδωκας τὰς μερίδας“; κἀκεῖνος· „τῇ εὐνοούσῃ σοι“. καὶ πρὸς τὴν γυναῖκα ὁ Ξάνθος· „οὐδὲν ἔλαβες“; p. 42 b. *κἀκείνη· „οὐδέν“. καὶ ὁ Αἴσωπος· „τίνι γὰρ ἐκέλευσας τὰς μερίδας δοθῆναι, ὦ δέσποτα“; κἀκεῖνος· „τῇ εὐνοούσῃ μοι“. καὶ ὁ Αἴσωπος τὴν κύνα φωνήσας, „αὕτη σοι“ φησίν „εὐνοεῖ. ἡ γὰρ γυνὴ κἂν εὐνοεῖν λέγῃ, ἀλλ' ἐπ' ἐλαχίστῳ ἀλγήσασα ἀντιλέγει, λοιδορεῖται, ἀναχωρεῖ· τὴν μέντοι κύνα τύψον, ἀπέ-*

1 *ὁρμίσαντος* b 1530. 1547 2 *προσλαλεῖν l. λ altera mutata in β* Z *πρὸς τὸ λαλεῖν* Φ *φησι*] *ἔφη* R 3 *προῖκα μου καὶ* Q R K v *πρ. μοι καὶ* Z 4 *οὐδὲν* b (*praeter* ed. Neuel.) *μείναι* (*l. ι finali*) *μι* M *μεῖναι μοι* D *μεῖναι με* E *μείναι με* H; *in* Q *μείναιμι sed ι radendo factum ex οι* *τοεντ.* V M A D *τοέντ.* P *τὸ ἐντ.* Q R 5 *ἢ καὶ?* 6 *οὐκέστην* P 7 *ἤρτησε* R *πάλιν om.* D *ὁ αἴσ.* Φ R 8 *κυρία post σὺ* (9) *conlocat* Φ *πεποκότος* V 9 *οὐχισοί; a οὐχι σοὶ* Z 10 *μα δί* V *μὰ δία* Q *μα δι* P *μὰ δὶ* K Z 11 *κυνὶ corr. ex κυνὴ* Q *αἰσῶπο* P *ut saepe* *κληθέντι om.* P 13 *σοι factum ex σου* Q *σοί* b *συὶ* ed. Neuel. 14 *καὶ ὁ αἴσωπος in margine add.* V m. pr. 15 *ὦ δέσποτα hoc loco* V: *ceteri libri δέσποτα,* Q *ὦ δέσποτα, post ἐκέλευσας* (15) 17 *σοι om.* V *φησὶν om.* D 18 *λέγει* E, A (*corr.* A 2) *λέ* (supra scr. *γ*) H *λέγηται* K Z v *ἐπὶ λαχίστω* R *ἐπιλαχίστω* D m. pr. (*ἐπ' ἐλ. restituit* D 2), *ὑπ' ἐλ.* a *ἐπελ.* H 19 *λοιδωρεῖται* H

λασον, καὶ οὐκ ἀναχωρήσειεν ἄν, ἀλλ' ἐπιλαθομένη πάντων, αὐτίκα φιλοφρόνως σαίνει καὶ σὺν χάριτι τὸν δεσπότην. ἔδει σε οὖν εἰπεῖν, δέσποτα, τῇ γυναικὶ τὰς μερίδας κομίσαι, καὶ μὴ τῇ εὐνοούσῃ." καὶ ὁ Ξάνθος· „ὁρᾷς, ὦ κυρία, ὡς οὐκ ἐμὸν τὸ ἁμάρτημα, ἀλλὰ τοῦ κομίσαντος; ἀνάσχου τοιγαροῦν, καὶ οὐκ ἀπορήσω προφάσεως, δι' ἣν αὐτὸν μαστιγώσω". τῆς δὲ μὴ πειθομένης, ἀλλὰ λάθρα πρὸς τοὺς ἑαυτῆς γονεῖς ἀποχωρησάσης, Αἴσωπος εἶπεν· „οὐκ ὀρθῶς εἶπον, ὦ δέσποτα, ὡς ἡ κύων σοι μᾶλλον εὐνοεῖ, καὶ οὐχ ἡ ἐμὴ δέσποινα;" ἡμερῶν δέ τινων παρῳχηκυιῶν, καὶ τῆς γυναικὸς ἀδιαλλάκτου μενούσης, καὶ τοῦ Ξάνθου τῶν προσηκόντων τινὰς ὡς αὐτὴν ὡς ἂν ὑποστρέψειεν οἴκαδε πέμψαντος, τῆς δὲ μὴ ὑπείκειν θελούσης, καὶ τοῦ Ξάνθου δι' αὐτὴν εἰς ἀθυμίαν πεσόντος, Αἴσωπος αὐτῷ προσελθών φησι· „μὴ ἀνιῶ, δέσποτα. ἐγὼ γὰρ αὐτὴν αὔριον ἥκειν αὐθαίρετον καὶ ἀπαράκλητον δράσω πρὸς σέ." καὶ λαβὼν κέρμα, πρὸς τὴν ἀγορὰν ἦλθε,

1 αναχωρήσοι ἐν ἂν P 2 φιλοφρόνος P *errore frequenti* *post* αὐτίκα *distinguit* Q σὺν χάριτι τρέχει πρὸς τὸν δ. E 4 κόμισον Z K v, κόμισαι Q μὴ] οὐχὶ P 5 ὦ V: *om. ceteri* 6 τοιγαροῦν Z H τοιγὰρ οὖν P, Q *primo, sed iam accentu et spiritu erasis* 7 αὐτῶ μαστιγῶ σω P 8 λάθρᾳ a 9 τοὺς *intra lineas suppleuit* Q 2 ἑαυτοὺς H 10 ὦ] σοι Φ 11 καὶ *corr. ex* ναὶ P m. pr. οὐχὶ ἡ ἐμοὶ Q οὐχῆ ἐμῆ P. (οὐχ' E H) 12 παρωχηκότων V παρωχηκύων E H ἀδιαλάκτου V Q D 13 τοξάνθου P προσοικόντων b 1530 14 ὡς] K *in margine* πρὸς ὡς ἂν *om.* D; *structuram in hoc scriptore noli emendare* ὑποστρέψοιεν E H ὑποστρέψει ἐνοίκαδε P 15 ὑπεικὴν P ὑπήκειν E H *ordo uu.* μὴ ὑ. θελ. *non est sollicitandus* 16 αὐτὴν *corr. ex* αὐτῆς Q m. pr. προσελθὼν αὐτῶ H E K Z v 18 ἀνιᾶ E H αὐτὴν] τὴν D εἰς τὴν Φ 18 αὐθέρετον (αι *supra*) Q ἀπαράλλακτον E H Z K v 19 ἦλθεν Q R Z K v

καὶ ὠνησάμενος χῆνας καὶ ὄρνιθας καὶ ἄλλ' ἄττα τῶν πρὸς εὐωχίαν ἐπιτηδείων, βαδίζων τὰς οἰκίας περιενόστει. παρῄει τοίνυν καὶ τὴν τῶν τῆς αὐτοῦ δεσποίνης γεννητόρων οἰκίαν, μήτε ταύτην εἰδέναι προσποιούμενος ἐκείνων τυγχάνουσαν, μήτε μὴν ἐν αὐτῇ τὴν δέσποιναν μένουσαν. καὶ δή τινι τῶν τῆς οἰκίας ἐκείνης ἐντυχὼν ἠρώτα εἴ τί που τῶν εἰς γά- p. 44 b. μους χρησίμων οἱ κατὰ τὴν οἰκίαν ἔχοιεν αὐτῷ πωλῆσαι. τοῦ δὲ „καὶ τίς τούτων ἔχει τὴν χρείαν;“ πυνθανομένου, „Ξάνθος“ φησίν „ὁ φιλόσοφος· αὔριον γὰρ γυναικὶ μέλλει συνάπτεσθαι.“ τοῦ δὲ ἀναβάντος καὶ τῇ γυναικὶ ταῦτα τοῦ Ξάνθου ὡς ἤκουσεν ἀναγγείλαντος, ἐκείνη σὺν δρόμῳ καὶ σπουδῇ πρὸς τὸν Ξάνθον ἦλθεν αὐτίκα, καὶ αὐτοῦ κατεβόα λέγουσα πρὸς τοῖς ἄλλοις καὶ ταῦτα, ὡς „οὐκ ἂν ἐμοῦ ζώσης, ὦ Ξάνθε, ἑτέρᾳ γυναικὶ δυνηθείης συναρμοσθῆναι.“ καὶ οὕτως ἔμεινεν ἐπὶ τῆς οἰκίας δι' Αἰσώπου, ὡς καὶ δι' ἐκεῖνον ἀπῆρε.

Μετὰ δ' ἡμέρας πάλιν τινὰς καλέσας ὁ Ξάνθος XIII σχολαστικοὺς εἰς ἄριστον, τῷ Αἰσώπῳ φησίν· „ὀψώ-

1 χήνας Q ἄλλάττα M Q ἄλλάτα V E H ἄλλα τα A, τ add. A 2, ἄλλαττα P ἀλλάττα R 2 ἐπι τῇ δείων P οἰκείας mutauit in ίας E, οἰκίας (ν supra) K 3 τὴν corr. ex τὸν et 6 τῆς ex τοῦ Q m. pr. αὐτοῦ a 4 γεννητήρων b ταύτην] μὴν αὐτὴν Φ 5 πρὸς πιούμενος P ἐκείνω et 6 δέσποινα Q m. pr.: ll. ν postea additae 7 ἐντυγχῶν P εἴ τι που M Q E H 8 οἱ] εἴ P, ει D corr. οἱ D 3 ἔχοι ἐν P 9 delendumne τὴν? 10 πυνθανομένου V: πυθομένου M Q D R A K Z v πυρομένου P πυθουμένου E H 11 ..σθαι corr. ex σθε Q 2 12 τοῦ ξάνθου om. E 13 ἀναγκείλαντος P ἐκύνη P ut saepe 14 ἑαυτοῦ Q κατενόα P 16 ζώσης ἐμοῦ D ὦ om. Q, in Z corr. ex ὡς ξάνθε ἕ. corr. ex ξάνθος P δυνηθήση K Z v δυνηθέρης H 17 σαναρμ. P 18 gen. noli mutare. δι' ἐκείνων Q ἀπῆρεν M R ἀπείρεν P ἀπήρη A 19 μεταδ' H 20 in V ante εἰς punctis deletum est τινὰς φησὶ H E Z K ὀψώνισον V Q, ὠψώνησον mutatum in ὀψ. Z

νησον ἀπελθὼν πᾶν ὅ τι χρηστότατόν τε καὶ βέλτιστον.“ ὁ δὲ ἀπιὼν καθ' ἑαυτὸν ἔλεγεν· „ἐγὼ διδάξω τὸν δεσπότην μὴ μωρὰ διατάττεσθαι“. γλώττας οὖν μόνας ὑείους πριάμενος καὶ ἑτοιμάσας, ἀνακλιθεῖσι γλῶτταν ὀπτὴν ἑκάστῳ σὺν ὀξυγάρῳ παρέθηκε. τῶν δὲ σχολαστικῶν ἐπαινεσάντων ὡς φιλόσοφον τὸ πρῶτον ἔδεσμα διὰ τὴν τῆς γλώττης πρὸς τὸν λόγον ὑπηρεσίαν, πάλιν Αἴσωπος ἑφθὰς γλώττας παρέθηκε. καὶ αὖθις αὖ βρώματος αἰτηθέντος ἄλλου καὶ ἄλλου, ὁ δ' οὐδὲν ἕτερον ὅτι μὴ γλώττας προὐτίθει. τῶν δὲ σχολαστικῶν ἐπὶ τῷ ταὐτῷ τῆς τροφῆς ἀγανακτησάντων καὶ „μέχρι τίνος γλώττας;“ εἰπόντων, καὶ ὡς „ἡμεῖς δι' ἡμέρας γλώττας ἐσθίοντες τὰς ἡμετέρας ἠλγήσαμεν“, ὁ Ξάνθος φησὶ πρὸς ὀργήν· „οὐδέν σοι πάρεστιν ἕτερον, Αἴσωπε;“ καὶ ὅς· „οὐ δῆτα“. κἀκεῖνος· „οὔκουν ἐνετειλάμην σοι, κατάρατον ἀνθρώπιον, πᾶν ὅ τι χρηστότατόν τε καὶ ἄριστον ὀψωνῆσαι“; καὶ ὁ Αἴσωπος· „πολλὰς ὁμολογῶ
p. 46 b. *σοι τὰς χάριτας μεμφομένῳ με φιλοσόφων ἀνδρῶν*

2 *ἔλεγε* M 3 *μὴ corr. ex μο* R m. pr. *διατάττειν* W *γλώσσας* R 4 *ὑείας* Q *ὑείου* b 1534 *ἑτοιμάσας*] *ἀγοράσας punctis subscriptis deletum in* D, *ἑτοιμάσας in margine adiecit* D 3 *ἀνακληθείσι* P *ἀνακλινθεῖσι* Z K v 5 *ἑκάστῳ in* A *add.* A 2 *συνοξειγάρω* P *παρέθηκεν* R 6 *ὡς*] *καὶ* Q, D *sed deleuit et ὡς supra scripsit* D 3 *φιλοσόφον* b 1530. 1534 *τὸ*] *τὸν* b 1530 8 *ὑπηρεσίαν λεξάντων, πάλιν* Q *αἴσωπος om.* R *ἑφθὰς* R Z b (*praeter* Neuel.) *εὐθὰς* P *γλῶσσας* (ττ) E *γλῶττας* H *παρέθυκε* P 9 *ἐτηθέντος ἄλου* P 10 *προυτίθει* M Q D Φ E H K Z v 11 *δὲ in* A *suppl.* A 2 *τῷ in* D *adiecit* m. pr. *ταυτῷ libri* 12 *καὶ* Q D Φ R: *om.* V M E H Z K v *τινὸς* R *ὑπόντων* P 13 *διημέρας* H *ut saepe* 14 *τὰς ἡμέρας* P *ἠλγίσαμεν* P 15 *παρ' ἔστιν* Z *αἴσωπε ἕτερον* R 16 *οὖ* Z *ἐν ἑτοιλ.* P 17 *τε*] *δὲ* Z 18 *ἄρηστον* P *ὀψωνίσαι* Q 19 *με*] *om.* Z, *μοι* Q *ἀνδρῶν om.* D Φ a (*in* P *φιλοσόφων ultimum est* f 11r *uocabulum*)

παρόντων· τί οὖν ἂν γένοιτο γλώττης χρηστότερόν τε καὶ βέλτιον ἐν τῷ βίῳ; πᾶσα γὰρ παιδεία καὶ φιλοσοφία δι' αὐτῆς παιδεύεται καὶ διδάσκεται· δι' αὐτῆς δόσεις, λήψεις, ἀγοραί, ἀσπασμοί, εὐφημίαι, μοῦσα πᾶσα· δι' αὐτῆς συγκροτοῦνται γάμοι, πόλεις ἀνορθοῦνται, ἄνθρωποι διασῴζονται. καὶ συνελόντι φάναι, δι' αὐτῆς ἅπας ὁ βίος ἡμῶν συνέστηκεν. οὐδὲν ἄρα τῆς γλώττης ἄμεινον". ἐπὶ τούτοις οἱ σχολαστικοὶ τὸν μὲν Αἴσωπον ὀρθῶς λέγειν φάμενοι, ἡμαρτηκέναι δὲ τὸν διδάσκαλον, διελύθησαν ἕκαστος ἐπ' οἴκου. τῇ δ' ὑστεραίᾳ πάλιν αἰτιωμένων αὐτῶν τὸν Ξάνθον, ἐκεῖνος ἀπελογεῖτο μὴ κατὰ γνώμην αὐτοῦ ταῦτα γεγονέναι, ἀλλὰ τοῦ ἀχρείου δούλου τῇ κακουργίᾳ. σήμερον δὲ ἀλλ' ἀμείψει τὸ δεῖπνον· „κἀγὼ δὴ παρόντων ὑμῶν αὐτῷ διαλέξομαι". καὶ καλέσας αὐτόν, πᾶν ὅ τι φαυλότατόν τε καὶ χείριστον ὀψωνῆσαι κελεύει, ὡς τῶν σχολαστικῶν σὺν αὐτῷ δειπνησόντων. ὁ δὲ μηδὲν διατραπεὶς πάλιν

1 τί οὑν αν V R: τί ἂν οὖν *ceteri* 2 βέλτιστον R παιδία P 3 διὰ Z αὐτῆς P *post* διδάσκεται *in* Q *octo fere litterae erasae; uersus qui insequitur incipit a l. l.* ται *deletis non ante sed post* δι' αὐτῆς *distinxit* R 4 εὐφημίαι *in* D *suppl.* D 3 5 αὐτῆς P γὰρ *post u.* αὐτῆς *add.* E H (γαρ), K Z, D 2, v γάμοι] πόλεμοι Q πόλις P *saepe* 7 φᾶναι M R D H K Z v πᾶς Φ 8 οὐδὲν ἄ. τ. γ. ἄμεινον *om.* P 9 ὀρθὸς P 10 διεληλύθεισαν R διεληλύθασιν E H Z K v 11 δὲ Z ὑστερ[α] K 12 ἀπολογεῖτο (Z K), v *praeter* Neuel. γνόμην A 13 αὐτῶ R ταῦτα *in* D *supra lineam adiecit* m. pr. γενέσθαι Φ

14 κακουργεία P ἀλλὰ μείψει P ἀλλ' ἀμείψει D, ἀλλ' (δια *supra*) *punctis deleuit et* δια *supra scripsit* D 3, διαμείψει (*om. p.* ἀλλά) Z K v; *de p.* ἀλλὰ *u.* Krüger Gr. Gr. 69, 4, 5. Bäumlein. Part. Gr. p. 12. *ceterum nescio an scribendum sit* ἀνταμείψειν. 15 δὴ *scripsi:* δὲ *libri, om.* Q ἡμῶν P 16 ἀχείριστον P 17 ὀψονῆσαι D, ὀψων. *inde fecit* D 2; ὀψωνίσαι Q τὸν σχολαστικὸν P σὺν *om.* Q 18 μηδὲν H

γλώσσας ἐπρίατο, καὶ ἑτοιμάσας, ἀνακλιθεῖσι παρέθηκεν. οἱ δὲ πρὸς ἀλλήλους ὑπεφώνουν· „χοίρειαι πάλιν γλῶτται“; καὶ μετὰ μικρὸν αὖθις γλώττας παρέθηκε καὶ μάλα αὖθις καὶ αὖθις. τοῦ Ξάνθου δὲ δυσανασχετήσαντος καὶ „τί τοῦτο, Αἴσωπε“; εἰρηκότος, „μὴ πάλιν ἐνετειλάμην σοι πᾶν ὅ τι χρηστότατόν τε καὶ βέλτιστον ὀψωνῆσαι; οὐχὶ πᾶν ὅ τι φαυλότατόν τε καὶ χείριστον“; ὁ δέ· „καὶ τί ποτε χεῖρον τῆς γλώττης, ὦ δέσποτα; οὐ πόλεις δι' αὐτῆς καταπίπτουσιν; οὐκ ἄνθρωποι δι' αὐτῆς ἀναιροῦνται; οὐ ψεύδη πάντα καὶ βλασφημίαι καὶ ἐπιορκίαι διὰ ταύτης περαίνονται; οὐ γάμοι καὶ ἀρχαὶ καὶ βα-
p. 48 b. σιλεῖαι δι' αὐτῆς ἀνατρέπονται; οὐχ ὡς κεφάλαιον εἰπεῖν, ὁ βίος δι' αὐτῆς ἅπας μυρίων πλημμελημάτων γέμει;“ ταῦτα τοῦ Αἰσώπου φαμένου, τῶν τις συνανακειμένων τῷ Ξάνθῳ φησίν· „οὗτος, εἰ μὴ πάνυ σεαυτὸν ἀσφαλίσῃ, οὐκ ἂν ἄπορος εἴη μανίας ἀφορμή σοι γίνεσθαι. οἵα γὰρ ἡ μορφή, τοιάδε καὶ ἡ ψυχή“. καὶ ὁ Αἴσωπος πρὸς αὐτόν· „σύ μοι

1 γλώσας E ἀνακλινθεῖσι Z K v ἀνακληθεῖσι R P παρ' ἔθ. Z 2 ἐπεφώνουν V χοίριαι R E H 3 γλῶσσαι E H Z K v μεταμικρὸν M καὶ κατὰ μ. αὐτοῖς, αὖθις Φ 4 παρέθηκεν R καὶ αὖθις *om.* Φ 5 δυσχανασχ. M αἴσ.; εἰρ.] εἰπόντος αἴσωπε Q 6 ἐνετιλάμην P 7 βέλτ. καὶ χρηστ. (*om. p.* τε) Φ ὀψωνίσαι Q 8 φαυλότατόν δε (*uel* τε) καὶ Z *post* χείριστον R *add.* ὀψωνῆσαι καὶ τίποτε *suppleuit in margine* A m. pr., A 2 δὲ *et* χείριστον 9 χεῖρον] χύριστον P πόλις P οὐ — ἄνθρ. R 12 περένονται P οὐ γάμοι......ἀνατρέπονται *om.* Q γαμοὶ R, D *sed in* D *accentus extritus* 13 ἀνατρέπωνται P οὐχ' ὡς M Q *saepe* 14 ὁ βίος *om.* Φ ἅπας ὁ κόσμος μ. Φ *uersus fuerit* ὁ βίος δι' αὐτῆς πλημμελημάτων γέμει 15 τῶν τις τῶν σ. E 16 ἀνακειμένων R φησὶ· E 17 σε αὐτὸν P D (D 2 *extrito spiritu uocabula coniunxit*) σε αυτὸν Q σαυτὸν A σεαυτὸν Z *sed* σεα *ex corr.* 18 ἀφορμῇ E, H *ex corr.* m. pr. γίνεσθαι V: γενέσθαι M Q D R Φ E H K Z v οἷα V P E H

δοκεῖς, ἄνθρωπε, κακεντρεχής τις καὶ περίεργος εἶναι, δεσπότην κατὰ οἰκέτου παροξύνων." καὶ ὁ Ξάνθος πρὸς ταῦτα, προφάσεως ἐφιέμενος μαστιγῶσαι τὸν Αἴσωπον, „δραπέτα" φησίν „ἐπεὶ περίεργον εἶπας τὸν φίλον, δεῖξόν μοι ἀγαγὼν ἀπερίεργον ἄνθρωπον".
ἐξελθὼν τοίνυν τῆς ἐπιούσης ἐπὶ τῆς λεωφόρου ὁ XIV
Αἴσωπος καὶ τοὺς παριόντας περισκοπῶν, ὁρᾷ τινα ἐφ' ἑνὸς τόπου ἱκανὸν χρόνον καθίσαντα, ὃν καὶ δοκιμάσας καθ' αὐτὸν ἀπράγμονά τινα καὶ ἁπλοῦν εἶναι, προσελθών φησιν· „ὁ δεσπότης σε καλεῖ σὺν αὐτῷ ἀριστῆσαι." καὶ ὁ ἄγροικος ἐκεῖνος μηδὲν περιεργασάμενος, μηδὲ τίς ὢν ὑπὸ τίνος καλεῖται, εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ σὺν αὐτοῖς ὑποδήμασι φαύλοις οὖσιν ἀνέπεσεν. ἐρομένου δὲ τοῦ Ξάνθου „τίς οὗτος"; Αἴσωπος εἶπεν· „ἀπερίεργος ἄνθρωπος". καὶ ὁ Ξάνθος εἰς οὖς εἰπὼν τῇ γυναικὶ συνυποκριθῆναι αὐτῷ καὶ ὅπερ ἂν αὐτὸς ἐπιτάττῃ, ποιεῖν, ὡς ἂν εὐπροσώπῳ λόγῳ πληγὰς τῷ Αἰσώπῳ ἐντείνειεν, εἶτα ἐν ἐπηκόῳ πάντων φησί· „κυρία, ὕδωρ ἐπὶ τῆς λεκάνης βαλοῦσα, τοὺς πόδας τοῦ ξένου

1 *κατατρέχειν* Q *τις*] *τε* V 2 *παροξύνων* (*παροξύνῃ* P) *κατὰ οἰκέτου* M R Q D Φ E H K Z v 4 *αἴσωπον* V M R Q D E: *ἄνθρωπον* Φ K Z v, *om.* H *εἶπες* Φ 5 *φίλων* P *ἀπερ. ἄνθρ. ἀγαγὼν* E H K Z v 6 *τῇ ἐπιούσῃ* E *λεοφόρου* R 7 *περιόντας* Q *ἐπισκοπῶν* R *ὁράτινα* H 9 *καθ' ἑαυτὸν* Q R A *καθε αὐτὸν* P *ut fere semper* *ἅπλους* P 10 *δεσπότας* A *καλεῖ καὶ σὺν* A 11 *ἀριστήναι* P *ἀγροῖκος* E *ἄνθρωπος* Φ *μηθὲν* R Q D *μὴδὲν* H *περιεργάμενος* R 12 *μηδὲ τίς scripsi: μή τέ τις* Q *cum rasura in ι*, *μὴ τὲ τίς* D *μήτε τίς ceteri* *ὢν add.* Q 2 *in ras.* 13 *αὐτοῖς*] *τοῖς* R Q D Φ *ὑποδείμασῃ.* (*littera ν quae erat post η in φ mutata*) *φαύλης οὔσην* P *ἐρωμένου* H, *in* E *l. ο facta ex ω* 15 *οὗτος*] *εἴη* Q *αἴσοπος* A 16 *τῇ γυναικὶ om.* Φ 17 *ἐπιτάττει* R P E H 18 *ὡσὰν* Q *ut saepe. cf.* 258, 14 19 *ἐπικόῳ* V; *in* Q *η corr. ex ι* Q 1 *φησίν* R Q D Φ *κυρία om.* Q D 1 (*add.* D 2) R Φ 20 *post βαλοῦσα add. γύναι* Φ

νίψον.“ διενοεῖτο γὰρ καθ' αὐτόν, ὡς πάντως ὁ μὲν ξένος εὐλαβηθήσεται, ὁ δ' Αἴσωπος, ὡς ἐκείνου περιέργου φανέντος, πληγὰς λήψεται. ἡ μὲν οὖν βαλοῦσα τὸ ὕδωρ εἰς τὴν λεκάνην, ᾔει τοὺς πόδας τοῦ ξένου νίψουσα· ὃ δ' ἐπιγνοὺς ταύτην οὖσαν τὴν
p. 50 b. *τοῦ οἴκου δεσπότιν, καθ' ἑαυτὸν εἶπε· „τιμῆσαί με πάντως βούλεται, καὶ τούτου δὴ χάριν αὐτοχειρίᾳ τοὺς πόδας μου βούλεται νίψαι, ἐπεὶ θεραπαινίσιν εἶχεν ἂν τοῦτ' ἐπιτάξαι.“ προτείνας οὖν τοὺς πόδας, „νίψον, κυρία“ φησί. καὶ νιψάμενος ἀνεκλίθη. τοῦ δὲ Ξάνθου κελεύσαντος οἶνον τῷ ξένῳ δοθῆναι πιεῖν, πάλιν ἐκεῖνος διελογίσατο καθ' αὐτὸν ὡς „αὐτοὺς μὲν πρότερον ἔδει πιεῖν, ἐπεὶ δ' οὕτως αὐτοῖς ἔδοξεν, οὐδὲν ἔργον ἐμοὶ τὰ τοιαῦτα ἐρευνᾶν“, καὶ λαβὼν ἔπιεν. ἀριστώντων δὲ καί τινος ἐδέσματος τῷ ξένῳ παρατεθέντος κἀκείνου ἡδέως ἐσθίοντος, ὁ Ξάνθος τῷ μαγείρῳ ὡς κακῶς τοῦτο ἀρτύσαντι ἐνεκάλει καὶ μέντοι καὶ ἀποδυθέντι πληγὰς ἐνεφόρει. ὁ δ' ἀγρότης καθ' ἑαυτὸν ἔλεγε· „τὸ μὲν*

1 *νίψον τοῦ ξ.* Φ *γὰρ om.* D 1 *add.* D 2 *καθ' ἑαυτὸν* R Z *καθ' αὐτὸν* H *καθαυτὸν* P *saepe, om.* D *μὲν om.* D 1 *add.* D 2 3 *λήγεται* R *βάλλουσα* R 4 *εἴη* R 5 *νίψασα* R, *in* D *νίψουσα corr. ex νίψωσα* *δ' ἐπιγνοὺς* V M R Q D Φ: *ὅδ' ἐ|γνοὺς* H *in pagina extrema, δὲ γνοὺς* E (*δὲ corr. ex δέ*), K Z v 6 *δεσπότην* V *δέσποτιν* D (*ι ex corr.*) *δεσπότῆν* P *εἶπεν* M *με om.* Φ 7 *δὴ*] *δὲ* Φ E H K Z v 8 *ποδάσμου* a *ποδάς μου* b *θεραπενίσιν* V E H *θεραπενίσων* P 9 *ἂν εἶχε* Q *erasa l. ν* *τοῦτο* Φ 10 *καὶ om.* A 1 *add.* A 2 *ἀνεκλίνθη* K Z b 12 *ἑαυτὸν* R 13 *μὲν τὸ πρ.* E H K Z v *ἐπεὶ δ' ὡς* A *ἐπειδῶς* P 14 *τὰ τοιαῦτ' ἐ.* M Φ *ἐρ.τὰ τοιαῦτα* Q 15 *ἀριστώντων scripsi: ἀριστούντων libri* 16 *παρατιθ.* P 17 *τούτω* P *ἀρτύσαντος* V *ἀρτίσαντι* Q P 18 *μέντι* P *ἀποδοθέντι* R 19 *ἐνεφώρει* b 1534. 1547. *δὲ* R Z *ἀγροιώτης* b 1530. 1534. Neu. *ἀγριώτης* b 1547 *καθ' αὐτὸν* A H K Z v *καθ' ἀυτὸν* P *ἔλεγεν* M E P

ἔδεσμα ἄριστα ἕψηται καὶ οὐδενὸς αὐτῷ δεῖ πρὸς τὸ καλῶς ἔχειν· εἰ δὲ καὶ δίχα προφάσεως βούλεται τὸν αὐτοῦ δοῦλον μαστιγοῦν ὁ οἰκοδεσπότης, τί πρὸς ἐμέ“; τοῦ δὲ Ξάνθου ἀσχάλλοντος καὶ οὐχ ἡδέως διακειμένου, ἐπεὶ μηδὲν ὁ ξένος περιειργάζετο, τέλος πλακοῦντες ἠνέχθησαν. ὁ δὲ ξένος, ἅτε δὴ μήπω πλακοῦντος γευσάμενος, σωρεύων καὶ συνειλῶν αὐτοὺς ὡς ψωμοὺς ἤσθιε. τοῦ δὲ Ξάνθου τὸν ἀρτοποιὸν αἰτιασαμένου καὶ „τί δή ποτε, ὦ κατάρατε“, φαμένου „καὶ μέλιτος δίχα καὶ πεπέρεως τοὺς πλακοῦντας ἐσκεύασας“; ἐκεῖνος ἔφη· „εἰ μὲν ὠμός ἐστιν, ὦ δέσποτα, ὁ πλακοῦς, ἐμὲ τύπτε, εἰ δ' οὐχ ὡς ἔδει ἐσκεύασται, μὴ ἐμὲ ἀλλὰ τὴν δέσποιναν αἰτιῶ.“ καὶ ὁ Ξάνθος· „εἰ πρὸς τῆς ἐμῆς τοῦτο γέγονε γυναικός, ζῶσαν αὐτὴν ἀρτίως κατακαύσω.“ καὶ πάλιν τῇ γυναικὶ νεύει αὐτῷ συνυποκριθῆναι δι' Αἴσωπον. κελεύσας οὖν κληματίδας εἰς τὸ μέ- p. 52 b. σον ἀχθῆναι, πυρὰν ἀνῆψε. καὶ λαβόμενος τῆς γυναικός, ἐγγὺς τῆς πυρᾶς ἤγαγε, προσδοκήσιμος ὢν αὐτὴν εἰς τὸ πῦρ ἐπαφεῖναι. διέτριβε δέ πως

1 ἄριστον P ἔψηται Q H 2 εἰ] ὁ Q 3 ἑαυτοῦ A ἑάυτοῦ P αὐτοῦ M Q D R E H K Z v ὁ οἰκ. μαστ. Φ 4 τοῦ ξ. δὲ Φ ἀσχάλοντος V D E H ἀσχάλοντος (λ supra) Q m. pr. ἀσχάλοτος (ον supra) R m. pr. οὐχ' E H οὔχως εἰδέως P εἰδ. m. pr. *in ras.* 5 μὴδὲν H περιεργάζετο A 6 7 πλακοῦντες] κ A 2 *bis fecit ex* ν ὅτε b 1530 7 μηδέπω P συνελὼν R 8 ὡς ψωμοὺς *in marg. add.* V m. pr. 9 ἀρτοποιῶν P αἰτησαμένου V αἰτισαμένου A αἰτιασαμένους P αἰκισαμένου D τί *om.* Z 11 ἔφη] *sic libri; differt pars exemplorum ed. Ald.* 12 δὲ οὐχ R δ' ὄυχως P (*supra* ω *rasura*) δ' οὐχ' ὡς Q 14 πρὸ R 15 γυνεκὸς A κατασκευάσω a (*sed in nonnullis exemplis exstat* κατακαύσω) 16 αὐτῶ *libri* συνειποκρ. P 17 δι'] δ' Z εἰς τὸ μ. κλημ. ἀχθ. Q 18 πῦρ R Q D ἀνῆψαι V 19 *post* ἤγαγε *erasa l.* ν Q προδοκ. A 1. σ *add.* A 2 προσδοκίσιμος b 1530 20 ἐπαφῆναι V, D 1, *corr.* D 2

καὶ περιεβλέπετο τὸν ἄγροικον, εἴ πως ἀναστὰς τοῦ τοιοῦδε τολμήματος εἷρξαι αὐτὸν ἐγχειρήσειεν. ὃ δὲ καθ' ἑαυτὸν αὖθις διεσκοπεῖτο ὡς „αἰτίας μὴ παρούσης, τί δή ποτε οὕτως ὀργίζεται"; εἶτά φησιν· „οἰκοδεσπότα, εἰ τοῦτο κέκρικας δεῖν γενέσθαι, ὑπόμεινόν με μικρὸν μέχρις ἂν ἀπελθὼν ἐνέγκω μου καὶ αὐτὸς ἐξ ἀγροῦ τὴν γυναῖκα, ὡς ἂν ἄμφω κατὰ τὸ αὐτὸ κατακαύσῃς". ταῦτα τοῦ ἀνδρὸς ὁ Ξάνθος ἀκούσας καὶ τὸ τούτου ἀκέραιον καὶ γενναῖον θαυμάσας, τῷ Αἰσώπῳ φησίν· „ἴδε ἀληθῶς ἄνθρωπος ἀπερίεργος. ἔχεις τὰ νικητήρια λαβών, Αἴσωπε. ἅλις ἔχει σοι τοῦ λοιποῦ. τὸ δ' ἐντεῦθεν ἐλευθερίας τῆς σῆς ἐπιτεύξῃ".

XV *Τῆς δ' ἐπιούσης ὁ Ξάνθος ἐπέταξε τῷ Αἰσώπῳ εἰς τὸ βαλανεῖον ἀπελθεῖν καὶ σκέψασθαι, εἰ μὴ πολὺς πάρεστιν ὄχλος, βούλεσθαι γὰρ αὐτὸν λουθῆναι. ἀπιόντι δὲ ὁ στρατηγὸς συναντήσας καὶ τοῦ Ξάνθου γνοὺς αὐτὸν ὄντα, ἤρετο ποῖ πορεύοιτο. τοῦ δὲ „οὐκ οἶδα" φαμένου, νομίσας ὁ στρατηγὸς τὴν ἐρώτησιν αὐτοῦ παρ' οὐδὲν λογισθῆναι, εἰς εἱρκτὴν*

1 *περιεβλέπετο in* R *corr. ex περιέβλεπετο* *ἄγρικον* P *ἀγροῖκον* E *τοῦ τοιοῦ δὲ* Z *τουτοιού-του δὲ* P; *in* Q *syllaba δε in rasura, in* R *l. υ u. τοῦ et l. ι u. τοι correctae sunt* 2 *εἴρξας* Q (*accentus in rasura*), *εἶξαι* A *εἴξαι* P *ἐγχειρήσιεν* Z 3 *αὑτὸν* K Z v 4 *δήποται* Q *οὗτος* V *in serie uerborum* (*in marg. οὕτως* m. pr.) A *οὗτος* P *οἰκοδέσποτα* R K Z v, *om.* Φ 6 *με in* Q *add. in linea extrema* m. pr., *μοι* V R, *δήμε* Φ *ἂν in* A *add.* A 2 7 *ὡσὰν* H *κατατοαυτὸ* V, P (*sed eraso accentu qui erat in κατὰ*), *κατὰ τοαυτὸ* M, D (*ex corr.*) 8 *ἀκ. ὁ ξ.* R 9 *θαῦμα,* P 10 *αἰσῶπο* P *ἀπ. ἀνθρ.* Φ D (*etiam* Q *ἀνθρ. ἀπ.*) 11 *ἅλλις* P *ἔχει*] *ἔχοις* V (*l. ο detrita*), *ἔχω* Q (*ω in ras.*) *σοι*] *σου* M *τοῦ*] *του* M, *acc. del.* 12 *τὸ δὲ* A *τοδὲ* P *εὐτεῦθεν* H *ἐπιτέξῃ* A 15 *αὑτὸν* b 16 *καὶ*] *τῆς* b 1534 17 *ξάντου* Z *ἤ. ποῦ* A D Q *ἤρετό που* P *ἤ. πῆ* M E H *πορεύετο* Z 19 *οὑτοῦ* a *παρουδὲν* H E *εἰρκτὴν* V Q *ἑρρκτὴν* P

αὐτὸν ἀπαχθῆναι κελεύει. ἀπαγόμενος τοίνυν ὁ Αἴσωπος ἔκραξεν· „ὁρᾷς, ὦ στρατηγέ, ὅπως ὀρθῶς ἀπεκρίθην; ἃ γὰρ μὴ προσεδόκησα, καὶ συνήντησά σοι, καὶ εἰς εἱρκτὴν ἤδη ἀπάγομαι.“ καὶ ὁ στρατηγὸς ἐκπλαγεὶς ἐπὶ τῷ τῆς ἀπολογίας ἑτοίμῳ, ἀφῆκεν ἀπιέναι· Αἴσωπος δὲ παραγενόμενος εἰς τὸ βαλανεῖον καὶ πλῆθος ἐν αὐτῷ θεασάμενος ὄχλου, καὶ λίθον ὁρᾷ κατὰ τὸ τῆς εἰσόδου μεσαίτατον κεί- p. 54 b. *μενον, ἐφ' ὃν ἕκαστος τῶν εἰσιόντων τε καὶ ἐξιόντων τὸν πόδα προσέπταιε. τοῦτον δὲ εἷς τις εἰσιὼν ἐφ' ᾧ λούσασθαι, ἄρας μετέθηκεν. ὑποστρέψας οὖν πρὸς τὸν δεσπότην, „εἰ κελεύεις“ φησί „δέσποτα, λούσασθαι, ἕνα ἄνθρωπον ἐν τῷ βαλανείῳ τεθέαμαι“. καὶ τοῦ Ξάνθου ἐλθόντος καὶ τὸ πλῆθος τῶν λουομένων ἰδόντος καὶ „τί τοῦτο,“ εἰπόντος „Αἴσωπε; οὐχ ἕνα ἄνθρωπον ἔφης ἑωρακέναι;“ ὁ Αἴσωπος „ναί·“ φησί „τὸν γὰρ λίθον ἐκεῖνον“, τῇ χειρὶ δείξας, „πρὸ τῆς εἰσόδου κείμενον εὗρον, ἐφ' ὃν οἱ εἰσιόντες πάντες καὶ ἐξιόντες προσέπταιον. εἷς δέ τις πρὶν ἢ προσπταῖσαι ἄρας μετέθηκεν. ἐκεῖνον οὖν ἕνα ἄνθρωπον εἶπον ἑωρακέναι, προτιμήσας*

1 *inter* τοίνυν *et* ὁ *in* Q *littera erasa* 4 εἱρκτὴν V Q Z H εἱρρκτὴν P 5 ἐκπλαγεὶς *in* K *in marg. suppl.* τῷ] τὸ Q 8 μεσέτατον E μεσάστατον H 9 τῶνει-σιόν τον P, *qualia plerumque praetermisi* 10 προσέπτεαι a εἷς *om.* R δ' εἷς Z 11 ἐφ ὧ D K, ἐφῶ M Q R H, P (*erasa l. ν*), a, ἐφῷ b (Z) μετέθηκεν *corr.* A m. pr. *ex* μεθῆκεν οὖν] δὲ K 13 βαλανίω A τεθέαμε Z 15 ἰδόντες (ος *suprascr.*) Q m. pr. αἴσωπ (ε *suprascr.*) Q, *post* π *rasura* 16 οὐχ' E H 17 καὶ ὁ αἴσωπος V, *om.* Φ Q φησιν E K Z v 18 δείξας τῇ χειρὶ Q; *in* D *post* ἐκεῖνον *lacuna est septem fere litterarum* 19 οἱ *om.* Q εἰσίοντες Z καὶ οἱ ἐξ. D πρὸς πταίσαι (*uel* ..σας) P 20 μετέθηκε R 21 ἕνα ὄντα ἄνθρ. Q ἕνα ἄτον P

τῶν ἄλλων". καὶ ὁ Ξάνθος· „οὐδὲν παρὰ τῷ Αἰσώπῳ ἀργὸν πρὸς ἀπολογίαν."

XVI Ἄλλοτέ ποτε τοῦ Ξάνθου ἐξ ἀφέδρου ἐπανιόντος, καὶ πυθομένου τὸν Αἴσωπον, τί δή ποτε οἱ ἄνθρωποι μετ' ἀπόπατον τὰ τῆς γαστρὸς ἐκκρίματα βλέπουσιν, ἐκεῖνος ἔφη· „κατὰ τοὺς πάλαι χρόνους ἀνήρ τις τῶν τρυφερώτερον ζώντων πολὺν χρόνον ὑπὸ σπατάλης ἐν τῇ ἀφόδῳ ἐκάθητο, ὡς καὶ τὰς οἰκείας ἐκεῖ διατρίβων ἀποπατῆσαι φρένας. ἐξ ἐκείνου τοίνυν δεδοικότες οἱ λοιποὶ τῶν ἀνθρώπων πρὸς τὰ τῆς γαστρὸς ἑαυτῶν ἀφορῶσι λύματα, μήπως καὶ αὐτοὶ τοῦτο πεπόνθασιν. ἀλλὰ σύ, δέσποτα, μὴ φοβοῦ· οὐ γὰρ ἔχεις φρένας."

XVII Ἐν ἡμέρᾳ δέ τινι συμποσίου συγκροτηθέντος καὶ τοῦ Ξάνθου σὺν τοῖς ἄλλοις τῶν φιλοσόφων ἀνακλιθέντος, καὶ τοῦ πότου ἤδη ἐπικρατήσαντος, συχνὰ προβλήματα μεταξὺ τούτων ἐκαλινδεῖτο. καὶ τοῦ Ξάνθου ἀρξαμένου ταράττεσθαι, Αἴσωπος παρεστὼς ἔφη· „δέσποτα, ὁ Διόνυσος τρεῖς κέκτηται κράσεις· τὴν μὲν πρώτην ἡδονῆς, τὴν δὲ δευτέραν μέθης, τὴν δὲ τρίτην
p. 56 b. ὕβρεως. καὶ ὑμεῖς οὖν πεπωκότες ἤδη καὶ ἡσθέντες,

1 *post* αἰσώπω *add.* φησὶν Φ 2 πρὸς] εἰς Φ (D) E H K Z v 3 ἄλλο τε ποτὲ K ἐξαφόδρου (ε *supra* ό) R m. pr. ἐξ ἀφέδρας Q ἐξαφέδρου H 5 μετὰ πόπατον P ἐκκρίμματα V ἐκκρίματα (μ *supra*) R m. pr. ἐκρίματα E H ἐκρίμματα b 1530 6 παλαιοὺς P K Z v, παλεοὺς A 7 τρυφερότερον R A τρυφερώτερων K *inter* ζώντων *et* πολὺν *in* Q *erasum* πο 8 τῇ *scripsi:* τῷ V, *om. ceteri* καὶ *om.* Φ οἰκίας P 9 ἐξεκείνου H 10 τὰ] τὰς K 11 ἑαυτῶν *om.* E H K Z v σι λυ *et* 13 ἐν *in ras.* M 2 12 ἀλλὰ σὺ Q *sed* ὺ *loco l. l.* οἱ *erasarum* m. pr. ἀλλασὺ P ἀλλά συ b 1534 ἀλλὰ σοὶ Z ἀλλά σοι a, b 1530 (E?) 15 τῶν φιλοσόφων] φίλοις Φ ἀνακλινθέντος D K Z v 18 δεσπότα P 19 μὲν *bis* Z 20 μέθυς P 21 καὶ ὑμεῖς] ὑμεῖς Q οὖν] μὲν οὖν Φ ἡθέντες P

τὰ ἐφεξῆς καταλίπετε.“ καὶ ὁ Ξάνθος ἤδη μεθύων φησί· „σιώπα, τοῖς ἐν Ἅιδου συμβούλευε“. καὶ ὁ Αἴσωπος· „οὐκοῦν καὶ εἰς Ἅιδου κατασπασθήσῃ“. τῶν δὲ σχολαστικῶν τις ὑποβεβρεγμένον ἤδη τῇ μέθῃ τὸν Ξάνθον ἰδὼν καὶ τὸ ὅλον εἰπεῖν οἰνοπλῆγα, „καθηγητά“, φησί „δύναταί τις ἐκπιεῖν τὴν θάλατταν ἄνθρωπος“; καὶ ὅς· „πάνυ μὲν οὖν. ἐγὼ γὰρ αὐτὸς ταύτην ἐκπίομαι“. καὶ ὁ σχολαστικός· „εἰ δ' οὐ δυνήσῃ, τί ποτέ σοι τίμημα ἐπιγράψω“; καὶ ὁ Ξάνθος· „τὴν οἰκίαν μου τίθημι πᾶσαν. καὶ ἐπὶ τούτοις καταθέμενοι τοὺς δακτυλίους, τὰς συνθήκας ἐκύρωσαν. τότε μὲν οὖν διελύθησαν· τῇ δ' ὑστεραίᾳ πρωίας ἐξεγερθέντος τοῦ Ξάνθου, καὶ τήν τε ὄψιν νιψαμένου καὶ τὸν δακτύλιον ἐν τῷ νίπτεσθαι μὴ ἰδόντος, καὶ τὸν Αἴσωπον περὶ αὐτοῦ πυθομένου, ἐκεῖνος „οὐκ οἶδα“, φησί „τί ποτε γέγονεν. ἓν δ' οἶδα μόνον, ὅτι τῆς οἰκίας σαυτοῦ ἀλλότριος γέγονας“. καὶ ὁ Ξάνθος· „ὅτι τί δή“; καὶ ὁ Αἴσωπος· „ὅτι τὴν χθὲς μεθύων συνέθου τὴν θάλατταν ἐκπιεῖν·

1 τὰ] τοὺς V κατελίπετε V R καταλίπετε, α loco erasae l. ε Q, καταλίπεται D καταλίπατε Φ E H 2 ἄδῃ E H K Z v 3 οὐκ οὖν Z εἰςάδου P ut 2 ἐνάδου κατασπασθείσῃ Φ E, κατασπαθήσῃ D 4 ὑπὸ βεβραγμένον P, ὑποβεβρεγμένος (ν supra) D, ν add. D 2 τῆς μέθης V 5 τὸ om. E H K Z v 6 φησιν E δύναταί] αί Q 2 pro ε 7 θάλλατταν priore l. λ deleta R, θάλασσαν V 8 ἐκπίωμαι R 9 ἠδοῦ P δυνήθῃ R σοι τὸ τίμ. (τήμ. P) Φ 10 τὴν] τὶν P τίθη μοι P 11 τοὺς δακτ. καταθ. Q 12 διελύσαν (θη supra) Q (m. pr.?), διελεύθησαν b 1530 13 ἐξεγερθένθος Z ἐξεργεθέντος D 13 τὴν τε R τὴν δὲ Z 14 νιψάμενος R τὸν] τὸ Φ τῷ om. A 15 ἰδόντος] εἰδότος Φ 16 ἐκεῖνος om. A 17 ἕν δ' M Q b ἓν A (om. δ') ἓν δ' corr. ex ἐν δ' R. ἐνδοῖδα P σαυτοῦ] αὐτοῦ D 18 καὶ ὁ Ξ. om. Φ inter ξ. et ὅτι in D deletum καὶ 19 ἰχθὲς A θάλασσαν A πιεῖν Q

κἀπὶ ταῖς ὁμολογίαις κατέθου καὶ τὸν δακτύλιον. κἀκεῖνος· „καὶ πῶς ἄρ' ἐγὼ μεῖζον πίστεως ἔργον δυνήσομαι; ἀλλὰ σοῦ νῦν δέομαι, εἴ τις ξύνεσις, εἴ τις δεινότης καὶ ἐμπειρία, ξυμπαρίστασο καὶ βοήθειαν ὄρεγε, ὡς περιγενέσθαι ἢ τάς γε συνθήκας λῦσαι.“ καὶ ὁ Αἴσωπος· „περιγενέσθαι μὲν οὐκ ἔνι, λυθῆναι δὲ τὰς ὁμολογίας ποιήσω. ἐπειδὰν γὰρ αὖθις τήμερον εἰς ταὐτὸ συνέλθητε, μηδ' ὁτιοῦν φανῇς δειλιάσας, ἀλλ' ἅπερ ὡμολόγησας παροινῶν, ταῦτα καὶ νήφων λέγε. κέλευσον μέντοι στρώματα p. 58 b. *καὶ τράπεζαν παρὰ τὴν ἠιόνα τεθῆναι καὶ παῖδας ἑτοίμους σὺν ἐκπώμασιν ὀρέγειν σοι τὸ θαλάττιον ὕδωρ. ἐπειδὰν δὲ σύμπαντα θεάσῃ τὸν ὄχλον συνδεδραμηκότα ἐπὶ τὴν θέαν, αὐτὸς ἀναπεσὼν κέλευσον ἐκ τῆς θαλάττης πλησθῆναι τὸ ἔκπωμα. καὶ τοῦτο λαβὼν ἐν ἐπηκόῳ πάντων εἰπὲ τῷ συνθηκοφύλακι· „τίνας παρ' ὑμῖν πεποιήκαμεν τὰς συνθήκας“; καὶ ὃς ἀποκρινεῖταί σοι, ὡς ὡμολόγησας τὴν θάλατταν ἐκπιεῖν. στραφεὶς οὖν σὺ πρὸς ἅπαντας,*

1 *κατέθου*] *μετέθου* V 2 *ἆρ'* A *ἆρ* P *πίστεος* b 1530. 1534 3 *ἀλλά σου* M Q D A K E H Z v *ἀλλάσσου* P *νῦν om.* R Φ *σύνεσις* M R Q D Φ *σύνεσις corr. e σύνθεσις* Z *σύνθεσις* H E K v 4 *ξυμπαρύστασο* P 5 *ὥσπερ γενέσθαι* R *γε om.* Φ 7 *δὲ*] *μὲν* D *ὁμ.* Q *corr. ex ὡμ.* *ποιή* (σ supra lin.) D 8 *τἀὐτὸ* E H *ταυτὸ ceteri libri praeter* V *μὴ δ' ὁτιοῦν* R Q *μηδοτιοῦν* M D Z H E K *μηδε τιοῦν* A *μὴ δὲ τι οὖν* P *φανεὶς* V, b 1534 9 *ἀλλάπερ* P, D 1 (*corr.* D 3) *παροινῶν* (K Z) v: *παρ' οἶνον* V M R Φ Q D E H (Q *οἶν* (ον supra lin.), *v* m. pr. *in ras.*) 10 *μὲν τὰ* Q. *μ. καὶ τράπαιζαν καὶ στρ.* P, *μ. τρ. καὶ στρ.* A 11 *παῖδα* R *παίδας* Q 13 *θεάσει* P *συνδεδρ. τὸν ὄχλον* Q 14 *ἐπει* P *θεὰν* A 16 *ἐπικόῳ* H 17 *ὑμῖν corr. ex ἡμῖν* Q m. pr. *πεποιήμεθα* Φ 18 *ἀποκρίνεταί* R D, *ἀποκρίνεῖταί* P; (*in* Q ..*ται corr.* m. pr. *ex* ..*τε*) *ὁμολ.* A D K *οὐμολ.* P 19 *θάλασσαν* K Z v, E (*sed ττ supra lin.*)

οὕτω φράσον· „ἄνδρες Σάμιοι, ἴστε καὶ ὑμεῖς πάντως πλείστους ὅσους ποταμοὺς ἐκβάλλοντας εἰς τὴν θάλατταν. ἐγὼ δὲ συνεθέμην μόνην τὴν θάλατταν ἐκπιεῖν, οὐ μὴν καὶ τοὺς ἐξιόντας εἰς αὐτὴν ποταμούς. οὗτος οὖν ὁ σχολαστικὸς ἀπελθὼν πρότερον ἐπισχέτω τοὺς ποταμοὺς ἅπαντας, εἶτα δ' εὐθὺς ἐγὼ τὴν θάλατταν μόνην ἐκπίομαι.“ ὁ δὲ Ξάνθος τὴν μέλλουσαν ἐκ τούτου τῆς συνθήκης διάλυσιν ἔσεσθαι γνούς, ὑπερήσθη. τοῦ δήμου τοίνυν παρὰ τὸν αἰγιαλὸν συρρεύσαντος ἐπὶ θέαν τοῦ πραχθήσεσθαι μέλλοντος, καὶ τοῦ Ξάνθου κατὰ τὰ διδαχθέντα πρὸς τοῦ Αἰσώπου δράσαντος καὶ εἰπόντος, οἱ Σάμιοι ἀνεβόησαν εὐφημοῦντες αὐτὸν καὶ θαυμάζοντες. ὁ δὲ σχολαστικὸς προσπεσὼν τηνικαῦτα τῷ Ξάνθῳ, νενικῆσθαί τε ὡμολόγει καὶ τὰς συνθήκας ἐδεῖτο λῦσαι· ὃ καὶ πεποίηκε Ξάνθος δυσωποῦντος τοῦ δήμου.

XVIII *Ἀφικομένων δ' αὐτῶν εἰς τὴν οἰκίαν, Αἴσωπος προσελθὼν τῷ Ξάνθῳ φησίν· „ὁ*

1 *οὕτως φρ.* Q *φρ. οὕτως* Φ (*οὗτως* P, *ω fecit* m. pr. *ex ο*) *πάντων*[ς] D, *ς add.* D 2 2 *ἐμβάλλοντας* Φ, Q (*sed μ* m. pr. *pro erasa l. κ*) 3 *θάλασσαν* V Φ K Z v *μόνον*[ν] D (*μό*) 4 *ἐξ.* A 2 *fecit ex ἀξ.* A; *εἰσιόντας* R, Q 2 *in marg.*, E 5 *οὗτως* P 5—6 *uu. οὗτος...ἅπαντας intra lineas et in marg. add.* Q m. pr. 7 *ἐκπίωμαι* Q 8 *μέλλον* P *τούτης τῆς* E 9 *παρὰ*] *περὶ* V 10 *αἰγυ*[ϊ]*αλόν* R *συρεύσαντος* P *συ*[ρ]*ρεύσ.* Q m. pr. *ἐπὶ θέα* R *πραχθ.*] *inter α et χ erasa l. γ* Q 11 *διδαχθέντα*] *δι in ras.* Z; *διαταχθέντα* R *δια*[τα]*χθέντα* P m. pr. 12 *πρὸς τοῦ Αἰσ. om.* Φ *δράσαντος*] *πράξαντος* P 13 *ἀνενόησαν* P *εὐφημοῦνταις* P 14 *σχολαστικῶς* P *προσπεσ*[ω]*ὸν* Q *τι νι καύτα* P 15 *ὁμολῶγει* P; *ὡμ. ex ὁμ. corr.* D 16 *λύσαι* Q *πεποίηκε ὁ ξ.* A 17 *αὐτῶν* P 18 *προεξελθὼν* Φ

πάντα σοι τὸν βίον χαρισάμενος ἐγὼ οὔκουν ἄξιός εἰμι[, δέσποτα,] τυχεῖν ἐλευθερίας“; καὶ ὁ Ξάνθος λοιδορήσας αὐτὸν ἀπήλασε λέγων· „μὴ γὰρ οὐ βουλο- p. 60 b. *μένῳ μοι ἦν τοῦτο πρᾶξαι; ἀλλ' ἔξελθε πρὸ τοῦ πυλῶνος καὶ σκέψαι. κἂν ἴδῃς δύο κορώνας, ἀνάγγειλόν μοι· ἀγαθὸς γὰρ οἰωνὸς οὗτος· ἐπεὶ εἰ μίαν ἴδοις, τοῦτο πονηρόν.“ προελθὼν οὖν ὁ Αἴσωπος καὶ συμβὰν οὕτω δύο κορώνας ἐπί τινος ἰδὼν δένδρου καθεζομένας, εἰσελθὼν τῷ Ξάνθῳ ἀνήγγειλεν. ἐξιόντι δὲ τῷ Ξάνθῳ ἡ ἑτέρα τούτων ἀπέπτη. καὶ ὁ Ξάνθος θατέραν μόνην ἰδὼν ἔφη· „οὐκ εἶπάς μοι, κατάρατε, δύο ἑωρακέναι“; καὶ ὅς· „οὕτως· ἀλλ' ἡ ἑτέρα ἀπέπτη“. καὶ ὁ Ξάνθος· „ἐπέλιπέ σοι, δραπέτα, τὸ χλευάζειν με“; καὶ κελεύει αὐτὸν γυμνωθέντα τύπτεσθαι. τοῦ δ' Αἰσώπου μαστιζομένου, προσελθών τις ἐκάλει ἐπὶ δεῖπνον τὸν Ξάνθον. καὶ ὁ Αἴσωπος [ἔτι] τυπτόμενος ἀνεβόησεν· „οἴμοι τῷ δυστήνῳ· ἐγὼ μὲν γὰρ ὁ τὸ δικόρωνον ἰδὼν*

1 *χ., ἐγώ·* a   *οὐκ in serie uerborum, γρ. οὔκουν in margine* E   *οὐκανάξιος* P   2 *δέσποτα om.* V: *habent ceteri*   *λοιδορησάμενος* Q   3 *ἀπέλασε* V   *βολομένῳ* M   *βουμένῳ* (λο *supra*) Q, λο Q 2   4 *ἦν* K *in marg.*, D *intra lineas* m. pr.   *πράξαι* R P   *ἐξέλθε* Z   5 *σκέψαι] αι* Q m. pr. *ex* ε   *ἴδῃς* Q   *κωρῶνας* P, *κορ. factum ex κωρ.* Q, *κόρ.* D   *ἀναγκ.* A   6 *ἐπεὶ] πλὴν?*   7 *ἴδῃς* (οις *supra*) E *ἴδῃς* V K Z v   *πονηρῶν* P   *προελθὼν* M R Φ: *προσελθὼν ceteri*   *ὁ om.* M R Q D H E   8 *οὕτω om.* Φ   *ἰδὼν ἐ. τ. δ.* Q, *ἰδὼν in* D *om. adiecit intra uersus* D 2   9 *προσελθὼν* E H K Z v   11 *οἶπας* H E   12 *δύο καταρ. ἐ.* Q   *οὗτος* P   13 *ἑτέρη* D   *σοι] Sintenis ad Plut. Cat.* 13, 23. *Wyttenb. t.* VIII, 1 p. 655. *Interpr. ad Thom. Mag. p.* 349 *Bern.*   14 *χλεβάζειν* R   15 *αἰσόπου* A   *μαστιζομένου* V *μαστιγομένου* A *μαστιγωμένου* R P E H *μαστιγουμένου* M Q D K Z v   16 *ἐπὶ τὸ δ.* E H K Z v, *ἐπει δ.* P   17 *τυπτόμενος* V: *ἔτι (ἔτυ* P*) τυπτόμενος* M R Q D Φ E H K Z v   *ἀνενόησεν* P   18 *τῷ om.* A   *ὁ τὸ] ὁ in* A *add.* m. pr.; *ὅτι* *Q D*   *δίκωρον* R   *ἰδὼν] εἰδὼς* Φ

τύπτομαι, σὺ δ' ὁ μίαν ἰδὼν μόνην εἰς εὐωχίαν ἄπει. ἕωλος ἄρ' ἦν ἡ οἰωνοσκοπία." καὶ ὁ Ξάνθος τὸ ἀγχίνουν αὐτοῦ θαυμάσας, παύσασθαι κελεύει τυπτόμενον.

XIX Μετὰ δ' οὐ πολλὰς ἡμέρας φιλοσόφους καὶ ῥήτορας καλέσας ὁ Ξάνθος, ἐκέλευσε τῷ Αἰσώπῳ πρὸ τοῦ πυλῶνος στῆναι καὶ μηδένα τῶν ἰδιωτῶν εἰσελθεῖν συγχωρῆσαι, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους. τῇ δὲ ὥρᾳ τοῦ ἀρίστου κλείσας Αἴσωπος τὸν πυλῶνα, ἐντὸς ἐκαθέσθη. τῶν κεκλημένων δέ τινος ἐλθόντος καὶ τὴν θύραν κόπτοντος, Αἴσωπος ἔνδοθεν ἔφη· „τί σείει ὁ κύων;" ὃ δὲ νομίσας κύων κληθῆναι, ὀργισθεὶς ἀνεχώρησεν. οὕτως οὖν ἕκαστος ἀφικνούμενος, αὖθις ἀπῄει σὺν ὀργῇ, νομίζων ὑβρίζεσθαι, τοῦ Αἰσώπου ταὐτὰ πάντας ἔνδοθεν ἐρωτῶντος. ἑνὸς δ' αὐτῶν κόψαντος καὶ „τί σείει ὁ κύων"; ἀκούσαντος, καὶ „τήν τε κέρκον καὶ τὰ ὦτα" ἀποκριθέντος, Αἴσωπος αὐτὸν ὀρθῶς δοκιμά- p. 62 l
σας ἀποκεκρίσθαι, ἀνοίξας πρὸς τὸν δεσπότην ἤγαγε καὶ φησίν· „οὐδεὶς τῶν φιλοσόφων συνεστιαθῆναί σοι ἦλθεν, ὦ δέσποτα, πλὴν οὗτος μόνος". καὶ ὁ Ξάνθος σφόδρα ἠθύμησε, παραλελογίσθαι οἰηθεὶς ὑπὸ τῶν κληθέντων. τῇ δ' ὑστεραίᾳ συνελθόντες

1 σύ δ' M 2 ἕωλος Q P Z b οἰνοσκοπία (ω supra) D οἰνοσκοπία R 3 ἀγχοίνουν D κελεύει παύεσθαι Q (αι corr. ex ε) 4 δ' οὐ] δὲ Q 6 στῆσαι R μὴδένα H 7 εἰσελθεῖν M pr. ex corr. ἢ om. Φ 10 inter κόπτον et τος in Q quattuor litterae ab initio uersus erasae 11 ἔνδον Q τίσει ει ὁ P ὁ] ὁ δὲ b 1530 12 ὀργισθεὶς in A add. A 2 οὗτος A οὗτος P 13 ἀπείη E ὑβρίσθαι A 14 ταυτὰ M V R, Q (eraso spiritu) E Z v ταῦτα A ταύτα P ἐρωτόντος E 15 αὐτῶν P Z τί συ εἰ ὁ P 16 τε in M supra uersum add. M 2 ut uidetur 17 δοκ. ὀρθ. ἀπ. Q 18 ἤγαγεν M 19 συνεσθιαθῆναι V συνεστιασθῆναι D 20 οὗτος καὶ μ. E 21 ἠθύμησε erasa l. ν Q ἠθύμησεν M 22 ὑπὸ] παρὰ (ὑπὸ supra) R m. pr. τῆς δ' ὑστεραίας MRQDΦEHKZv

οἱ κληθέντες ἐπὶ τὴν διατριβήν, ἐνεκάλουν τῷ Ξάνθῳ, φάσκοντες· „ὡς ἔοικας, ὦ καθηγητά, ἐπεθύμεις μὲν αὐτὸς ἐξουδενῶσαι ἡμᾶς, αἰδούμενος δέ, τὸν σαπρὸν ἐπὶ τοῦ πυλῶνος ἔστησας Αἴσωπον, ὡς προπηλακίσαι καὶ κύνας ἡμᾶς ἀποκαλέσαι.“ καὶ ὁ Ξάνθος· „ὄναρ τοῦτ' ἔστιν, ἢ ὕπαρ“; κἀκεῖνοι· „εἰ μή ῥέγχομεν, ὕπαρ“. καὶ δὴ τάχος μετακληθεὶς Αἴσωπος καὶ ἐρωτηθεὶς σὺν ὀργῇ, τοῦ χάριν ἀτίμως τοὺς φίλους ἀπέστρεψεν, ἔφη· „οὐχὶ σύ μοι, δέσποτα, ἐνετείλω, μή τινα τῶν ἰδιωτῶν καὶ ἀμαθῶν ἀνδρῶν ἐᾶσαι πρὸς τὴν σὴν συνεισελθεῖν εὐωχίαν, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους“; καὶ ὁ Ξάνθος· „καὶ τίνες οὗτοι; οὐ τῶν σοφῶν“; καὶ ὁ Αἴσωπος· „οὐδεμιᾷ μηχανῇ· αὐτῶν γὰρ κοπτόντων τὴν θύραν, κἀμοῦ ἔνδοθεν ἐρωτῶντος „τί ποτε σείει ὁ κύων“, οὐδ' ὁστισοῦν αὐτῶν συνῆκε τὸν λόγον. ἐγὼ γοῦν ὡς ἀμαθῶν πάντων φανέντων, οὐδένα τούτων εἰσήγαγον, πλὴν τὸν σοφῶς τοῦτον ἀποκριθέντα μόνον.“ οὕτως οὖν τοῦ Αἰσώπου ἀπολελογημένου, ὀρθῶς ἅπαντες λέγειν αὐτὸν ἐψηφίσαντο.

2 φάσκοτες a, λέγοντες D Φ ἔοικεν R 5 προπηλακίσαι V προπηκίσαι Q, λα Q2 καύνας Φ ἐπικαλέσαι P 6 ἔστιν H: ἐστι A, ceteri libri ἐστὶν ὕπαρξ· P κἀκεῖνος V M E H 7 ῥέγχωμεν D τάχα R 8 ἀτ. τ. φ. V M R D: τ. φ. ἀτ. Q E H K Z v, τ. φιλοσόφους (in A corr. m. pr. ex φίλους) ἀτίμους Φ 9 ἀπέστρεψας Q σὺ in K corr. e σοι μοι] με Q 10 ἀμαθῶν in A fecit ex ἀγαθῶν m. pr. 11 inter σὴν et σ. in R deletum εισελσυνεισῆλθεν συνελθεῖν Q D E H K Z v ἢ] ἡ P 12 σ. καὶ μόνους Φ, σ. καὶ λογίους D 13 οὐδὲ μιᾶ Q 14 μ. α.· καὶ γὰρ R μ.: α. καὶ γὰρ M Q D E H K Z v μ.· α. γὰρ καὶ Φ 15 ποτε om. R σύει E οὐδ' ὁ. Q eraso qui in ὁ erat accentu, οὐδόστ. Z 16 λόγων P μαθῶν (in uersus initio) P 18 σοφὸν A σοφῶν P μόνον scripsi: μοι libri οὗτος P 19 ἅπαντες] οἱ πάντες Q

Καὶ μεθ' ἡμέρας πάλιν τινάς, ὁ Ξάνθος ἑπομένου τοῦ Αἰσώπου πρὸς τὰ μνήματα παρεγένετο, καὶ ἃ ἐν ταῖς λάρναξιν ἐπιγράμματα ἦν ἀναγινώσκων, ἑαυτὸν ἔτερπε. τοῦ δ' Αἰσώπου ἔν τινι τούτων ἐγκεχαραγμένα στοιχεῖα ταῦτα ἰδόντος, α. β. δ. ο. ε. ϑ. χ., ἐπιδείξαντός τε τῷ Ξάνθῳ καὶ ἐρομένου εἰ ἄρα ταῦτα εἰδείη, ἐπιμελῶς ἐκεῖνος σκεψάμενος, οὐχ οἷός τ' ἐγένετο τὴν τούτων εὑρεῖν διασάφησιν, καὶ ὡμολόγησεν ἀπορῆσαι τοῖς ὅλοις. καὶ ὁ Αἴσωπος· „εἰ διὰ ταύτης τῆς στήλης, ὦ δέσποτα, ϑησαυρὸν ὑποδείξω σοι, τίνι με ἀμείψῃ;“ καὶ ὅς· „ϑάρσει· λήψῃ γὰρ τὴν ἐλευϑερίαν σου καὶ τὸ ἥμισυ τοῦ χρυσίου.“ τότε ὁ Αἴσωπος ἀποσχὼν τῆς στήλης βήματα τέτταρα καὶ ὀρύξας, ἀνέλαβέ τε τὸν ϑησαυρὸν καὶ ἤνεγκε τῷ δεσπότῃ, λέγων· „δός μοι τὴν ἐπαγγελίαν, δι' ἧς εὗρες τὸν ϑησαυρόν“. καὶ ὁ Ξάνθος· „οὐχ ὅσα κἀμὲ εἰδέναι, εἰ μὴ καὶ τὸν νοῦν τῶν στοιχείων μοι φράσεις. τὸ γὰρ μαϑεῖν τοῦτο πολὺ τοῦ εὑρήματος ἐμοὶ τιμιώτερον“. καὶ ὁ Αἴσωπος· „ὁ τὸν ϑησαυρὸν κατορύξας ἐνταῦϑα ὡς σοφὸς ἀνὴρ τὰ στοιχεῖα διεχάραξε ταῦτα, ἃ καὶ φησίν· α, XX

p. 64 b.

1 *μεϑημέρας* R 2 *παρεγένοντο* Φ 3 *ἁ* E *τοῖς* V R *cf.* Jacobs Ach. Tat. 600 *λάρναξι γράμματα* Φ 4 *ἔτερπεν* M D *δ'*] *δὲ* Φ 5 *ἐγγεχαραγμένα* P, *κεχαραγμένα* Q *ταῦτα*] *ταύ* P *in uersu extremo* *α. β. γ. δ.* Z *ε in* Q *postea adiecit* m. pr., *o in* D D 3 6 *ἐρωμένου* R P E H 7 *ἀρα* P E H *εἰδείη*] *ει fecit ex οι* D 1; *εἰδήει* E H *ἐκεῖνος om.* Q *οὐχ'* H 8 *οἷός τε* Q *οἷος τ'* M D H E K *οἷ ός τεγένετο* P *δι' ἀς ἄφησιν* P 9 *ὑμολ.* P 11 *ἀποδείξω* Q *ἀμείψει* D 12 *λήψει* V *σου in* A *add.* A 2 *τὸ om.* P *ἥμεισυ* P *ἵμισυ* b 1530 13 *post χρυσίου in* P *deletum σου,* K *in marg. χρυσίου* 14 *τέτταρα* M H: *τέσσαρα* V R Q D Φ E K Z v *ἀνέλαβε corr. ex ἀνέβαλε* A *τε τὸν*] *τόν τε* Φ 17 *οὐχ'* E H 18 *φράσῃς* P K Z v 20 *ὡς*] *ὅς* P 21 *τὰ om.* R *καὶ*] *δή?* *φησὶ* V R E H

ἀποβάς· β, βήματα· δ, τέτταρα· ο, ὀρύξας· ε, εὑρήσεις· θ, θησαυρόν· χ, χρυσίου.“ καὶ ὁ Ξάνθος· „ἐπειδήπερ οὕτως ἐπήβολος εἶ καὶ πανοῦργος, οὐ λήψῃ σου τὴν ἐλευθερίαν“. καὶ ὁ Αἴσωπος· „ἀναγγελῶ δοθῆναι, ὦ δέσποτα, τὸ χρυσίον τῷ βασιλεῖ Βυζαντίων. ἐκείνῳ γὰρ τεταμίευται“. καὶ ὁ Ξάνθος· „πόθεν τοῦτ' οἶσθα“; κἀκεῖνος· „ἐκ τῶν στοιχείων. τοῦτο γάρ φησιν· α, ἀπόδος· β, βασιλεῖ· δ, Διονυσίῳ· ο, ὅν· ε, εὗρες· θ, θησαυρόν· χ, χρυσίου.“ καὶ ὁ Ξάνθος τοῦ βασιλέως ἀκούσας εἶναι τὸ χρυσίον, τῷ Αἰσώπῳ ἔφη· „λαβὼν τὸ ἥμισυ τοῦ ἑρμαίου, ἡσύχασον“. κἀνεῖνος· „οὐ σύ μοι νῦν τοῦτο παρέχεις, ἀλλ' ὁ τὸ χρυσίον ἐνταυθὶ κατορύξας. καὶ ὅπως, ἄκουσον. τοῦτο γὰρ λέγει τὰ γράμματα· α, ἀνελόμενοι· β, βαδίσαντες· δ, διέλεσθε· ο, ὅν· ε,

1 τέσσαρα V R Φ K Z v ὀρύξας] ὀξέως Φ (ὀξ. P) εὑρήσας b (*praeter* Neuelet.) 2 καὶ ὁ ξάνθος *bis* K ἐπείπερ A ἐπήπερ P ἐπιδήπερ H 3 οὗτος D ἐπίβολος b 1530. 1534, ἐπήβουλος E H ἐπίβουλος V, b 1547, ed. Neuel. λήψει E 4 καὶ ὁ αἴσ. *om.* Φ 5 δοθῆναι φησὶν ὦ Φ τὸ χρυσίον *om.* Φ Q 7 τοῦτ' οἶσθα M D Q R A E, Z (*post* α *littera erasa*), K v: τοῦτο οἶσθα P τοῦτο οἶδας V κἀκεῖνος *om.* Φ 8 τοῦτο *factum ex* τούτω *in* D, τούτω P φηv (σι supra) Q, σὶ Q 2; φασὶν A E φασήν P 9 ε *intra lineas in* M *suppleuit* M 1, *in* A A 2, *om.* E H Z K a θ *in* K *postea add.* m. pr. 10 ἀκούσας *post* τοῦ β. *conlocant* V M R Q D, *ante* τ. β. H E K Z v, *post* τὸ χρυσίον Φ (τ. β. ε. τὸ χ. ἀκ.); εἶναι *om.* Q 11 ἔφη τῶ αἰσ. Q, τῷ αἰσ. *om.* Φ 12 κἀκεῖνος *om.* Q 1 *add.* Q 2 νῦν μοι V τού (τ supra) P 13 περέχεις A ὃ R τὸ *om.* Z v χρησίον a ἐνταυθὶ V 1 *mutauit in* ἐνταυθοῖ; ἐνταῦθα Φ; *ceteri* ἐνταυθοῖ, (θ supra) *in* E H *factum ex* ἐνταῦθα 14 γὰρ] καὶ b 15 ἀνελόμενοι K βαδίσαντες] σ *ex* ζ *in* A *fecit* A 2 δι ἔλεσθαι P ε M Q D Φ, Z (*ex corr.*?) b: *om.* V R E H K a

ὕρετε· θ, θησαυρόν· χ, χρυσίου." καὶ ὁ Ξάνθος ,δεῦρο" φησίν ,,εἰς τὴν οἰκίαν, ὡς ἂν καὶ τὸν θη- p. 66 b. αυρὸν διελώμεθα, καὶ σὺ τὴν ἐλευθερίαν ἀπολάῃς". ἐλθόντων οὖν, ὁ Ξάνθος φοβούμενος τὸ τοῦ Αἰσώπου λάλον, εἰς εἱρκτὴν αὐτὸν ἐκέλευσεν ἐμβληῆναι. καὶ ὁ Αἴσωπος ἀπαγόμενος ,,τοιαῦται" φησίν εἰσὶν αἱ ὑποσχέσεις τῶν φιλοσόφων; οὐχ ὅτι γὰρ ὐκ ἀπολαμβάνω μου τὴν ἐλευθερίαν, ἀλλὰ καὶ εἰς εσμωτήριον κελεύεις βληθῆναί με." ὁ μὲν οὖν Ξάν-ος ἐκέλευσεν αὐτὸν ἀπολυθῆναι, καὶ πρὸς αὐτὸν φη· ,,πάνυ καλῶς φής, ἵν' ἐλευθερίας τυχών, σφο-ρότερός μου γένῃ κατήγορος". ὁ δὲ Αἴσωπος εἶπεν· ,ὅτι ποτέ με κακὸν ἔχεις ποιεῖν, ποίει. πάντως καὶ κων ἐλευθερώσεις με."

XXI

Κατὰ δὲ τοὺς καιροὺς τούτους συνέπεσέ τι τοιῦτον ἐν Σάμῳ. πανδήμου ἑορτῆς ἀγομένης αἴφνης ἰετὸς καταπτὰς καὶ τὸν δημόσιον ἁρπάσας δακτύιον, εἰς δούλου κόλπον ἀφῆκεν. οἱ μὲν οὖν Σάιοι θροηθέντες καὶ εἰς πλείστην περὶ τοῦδε τοῦ ημείου πεσόντες τὴν ἀγωνίαν, κατὰ ταὐτὸν ἀθροιθέντες, ἤρξαντο δεῖσθαι τοῦ Ξάνθου, ἅτε πρώτου

1 θ *om.* K 2 ὡσὰν H E καὶ τὸν] τὸν A 4 ἐλθόντων Z καὶ ὁ ξ. A, *sed* καὶ *punctis deletum* φοβ. τοῦ ἰσ. τὸ λ. Q 5 εἱρκτὴν V P, Q (*ex corr.*), Z 6 τοιαῦται ῃ m. pr. *fecit ex* τοιαῦτα, ταῦτα φησίν· αὗταί ε. Φ εἰσὶν *om.* Q οὐχ' Q E H οὐκ *in marg. suppl.* D 3 μου *in* A *add.* m. pr., *om.* Z 9 με *ex* μὴ *fecit* A m. pr. ε; V Q 10 καὶ πρὸς αὐτὸν ἔφη *om.* Φ 11 φής] φῇς V ὴς D ἵν P 12 δ' Z 13 ὅ τί (ὅτί Q H) ποτέ με Q D H K v ὅ τί ποτέ με R κακῶς ἔχεις R κακὸν ἔχοις ἔχεις κακὸν K v, Z (*sed post* με *hoc est signum* i) *ante* άντως *littera erasa in* Q 14 ἐλευθερώσῃς V 17 δημόον A δημόσων P 18 κόλπων Q P οὖν *intra uersus* M ῃ m. pr. 19 θορηβηθέντες a θορυβηθέντες Z b πλείτην *corr. ex* πλεῖστον R m. pr. πλήστην H τοῦδε] τούον R 20 κατὰ ταυτὸν *libri praeter* Q H E *qui* καταταυτὸν

τῶν πολιτῶν ὄντος καὶ φιλοσόφου, σφίσι τὴν κρίσιν τοῦ σημείου διασαφῆσαι. ὃ δὲ τοῖς ὅλοις ἐπαπορῶν, χρόνον ᾔτησε. καὶ ἀφικόμενος οἴκαδε, πολὺς ἦν ἀθυμῶν καὶ τῇ λύπῃ βαπτιζόμενος, οἷα δὴ μηδὲν κρῖναι δυνάμενος. ὁ δ' Αἴσωπος τὴν ἀθυμίαν συννοήσας τοῦ Ξάνθου, προσελθὼν λέγει· „τοῦ χάριν, ὦ δέσποτα, οὕτω διατελεῖς ἀθυμῶν; ἐμοὶ προσανάθου, χαίρειν εἰπὼν τῷ λυπεῖσθαι· αὔριον δ' εἰς ἀγορὰν προελθών, εἰπὲ τοῖς Σαμίοις ὡς „Ἐγὼ μὲν οὔτε σημειολυτεῖν ἐπαιδεύθην οὔτ' οἰωνοσκοπεῖν, παῖς δέ μοι πρόσεστι πολλῶν πεῖραν εἰδώς· αὐτὸς ὑμῖν τὸ ζητούμενον λύσει.“ κἂν μὲν αὐτὸς ἐπιτύχω τῆς
p. 68 b. λύσεως, δέσποτα, σὺ τὴν δόξαν ἀποίσῃ τοιούτῳ χρώμενος δούλῳ· ἂν δ' ἀποτύχω, ἐμοὶ μόνῳ ἡ ἐντεῦθεν προστριβήσεται ὕβρις.“ πεισθεὶς οὖν ὁ Ξάνθος καὶ τῇ ὑστεραίᾳ εἰς τὸ θέατρον ἀπαντήσας καὶ καταστὰς εἰς τὸ μέσον, κατὰ τὰς ὑποθήκας Αἰσώπου διελέχθη τοῖς συνελθοῦσιν. οἳ δ' εὐθέως ἠξίουν κληθῆναι τὸν Αἴσωπον. τοῦ δ' ἀφικομένου καὶ στάντος ἐπὶ τὸ μέσον, οἱ Σάμιοι τὴν ὄψιν αὐτοῦ

2 ὄλλοις R 3 χρόνων P οἴκα-δὲ *eraso accentu graui* R 4 τῇ Q *in ras.* m. pr., τι P μηδὲν Q *eraso qui in* η *erat accentu*, μὴδὲν H 5 κρίναι V ὃδ' v ἐνοήσας (σν *superscr.*) V m. pr. συνοήσας P, A *et* D m. pr. (ν *add.* A 2 D 2), b 1530 ὑπονοῆσαι P ὑπνοῆσαι A 8 τῷ] τὸ V 9 προελθών, ε *corr. e* ς P προσελθὼν R Q D E H K Z v εἶπε A ὑπὲ P σαμίας S 10 σημειωλυτεῖν Q οὔτ' οἰόνσκ. R οὔτοι ὠνοσκ. P 11 εἰδώς *mire dictum pro* ἔχων, εἰληφώς αὐτὸς] οὗτος? ὑμῶν (υμῖν *superscr.*) R m. pr. ἡμῖν M 12 τὸ λυτούμενον R λυ (σει *superscr.*) D, σει D 2 κἂν] καὶ εἰ Q 13 ἀποίσει D 14 δ' *om.* b ἡ] ἢ P 16 τῇ ὑστεραία V: τῆς ὑστεραίας *ceteri; in* A ὑστερ. *corr. ex* ὑστηρ. καταστὰς] στὰς Φ 17 Αἰσ.] τοῦ αἰσ. Φ διειλέχθη M, R (*corr. ex* δειειλ.), Q A διηλέχθη V 19 τὸν αἰσ. κληθ. H E K Z v (ἔσωπον E) ἀφικνουμένου V 20 ἐπὶ τὸ μέσον V, Q (τὸ m. pr. *corr. ex* τοῦ): ἐπὶ τοῦ μέσου *ceteri*

ταὐοήσαντες, ἐρεσχελοῦντες ἐφώνουν· „αὕτη ἡ ις σημεῖον λύσει; ἐκ τοῦ αἰσχροῦ τούτου τί ποτε λὸν ἀκουσόμεθα;“ καὶ γελᾶν ἤρξαντο. καὶ ὁ ᾽σωπος κατασείσας τῇ χειρὶ καὶ ἡσυχίαν αἰτήσας νέσθαι, φησίν· „ἄνδρες Σάμιοι, τί μου τὴν ὄψιν ώπτετε; οὐκ εἰς τὴν ὄψιν, ἀλλ᾽ εἰς τὸν νοῦν ἀπο- ἐπειν χρή. πολλάκις γὰρ καὶ τῇ φαύλῃ μορφῇ ηστὸν νοῦν ἡ φύσις ἐνέθηκεν. ἢ τὴν ἔξωθεν τῶν ραμίων μορφὴν σκοπεῖτε ὑμεῖς, ἀλλ᾽ οὐ τὴν ἐντὸς ῦσιν τοῦ οἴνου;“ ταῦτα τοῦ Αἰσώπου πάντες ούσαντες, ἔλεγον· „Αἴσωπε, εἴ τι δύνασαι, λέγε πόλει“. καὶ ὃς μετὰ παρρησίας ἔφη· „ἄνδρες ίμιοι, ἐπειδήπερ ἡ τύχη φιλόνεικος οὖσα δόξης ῶνα τέθεικε δεσπότῃ καὶ δούλῳ, κἂν μὲν ὁ δοῦ- ς ἥττων τοῦ δεσπότου φανῇ, διὰ μαστίγων ἐλεύ- ται, εἰ δ᾽ ἀμείνων, οὐδὲν ἔλαττον καὶ οὕτω ηγαῖς ξανθήσεται, εἰ ὑμεῖς διὰ τῆς ἐμῆς ἐλευ- ρίας παρρησίαν χαρίσοισθέ μοι, ἐγὼ νῦν ὑμῖν εῶς τὸ ζητούμενον φράσω.“ τότε ὁ δῆμος ἀπὸ ᾶς γλώττης πρὸς τὸν Ξάνθον ἐβόων· „ἐλευθέρω- ν Αἴσωπον, ὑπάκουσον Σαμίοις. χάρισαι τὴν ἐλευ-

1 *κατανοήσαντες*] *θεασάμενοι* R 2 *λύσει*] *ει corr. ex*
D 3 *ὁ om.* A 1 *add.* A 2 4 *κατασιγήσας* E. *cf.* 280, 8
ιενέσθαι om. Φ 8 *ἐπέθηκεν* V *ἐνέθηκε* Φ *ἀνέθηκεν* E H
9 *ἐ. μορφὴν τῶν κεραμείων* Q *κεραμείων* R Q *οὐ τὴν*
ὸς γεῦσιν] *οὐκ εἰς τὴν γεῦσιν* Φ 11 *ἀκ. π.?* *εἴ τι*] *ὅτι*
in Q *ει in ras.* m. pr. *δύναται* ed. Neuel., *δύνασαι corr. ex*
ν. P 13 *φιλόνεικος*] *debebat scr. aut φιλόνικος* (*ut est in*
aut φιλονεικής: quorum hoc praestat 13 *δόξ᾽ ἀγῶνα* R
14 *τέθηκε* V P H ed. Neuel. *δεσπ.*] *καὶ δεσπ.* Φ, *in*
καὶ punctis deletum *κἂν*] *ἂν* Z 15 *ἤ. φανῇ τοῦ δ.*
E K Z v *τοῦ δεσπότου om.* D 16 *ἄμεινων* Z
δὲν] *οὐδ᾽ ἂν* A *οὐδὰν* P *οὕτως* V 17 *ἐμῆς om.* b;
; *ἐν ἐμῆς, sed ἐμῆς corr. ex ἐμοί,* A; *τὴς ἐμὴς ἐμῆς* P
παρρησίαν om. Φ *χαρίσησθε* V *χαρίσεσθε* R *χαρίσαι-*
ε? *νῦν in* A *add.* A 1 20 *εὐόων* Q P 21 *ὑέπα-*
υσον P *σαμίοις*] *συ μίης* P

θερίαν αὐτοῦ τῇ πόλει.“ ὁ δὲ Ξάνθος οὐκ ἐπένευε. καὶ ὁ πρύτανις ἔφη· „Ξάνθε, εἰ μή σοι δοκεῖ ὑπα- p. 70 b. κοῦσαι τῷ δήμῳ, ἐγὼ τῇσδε τῆς ὥρας Αἴσωπον ἀπελεύθερον ἂν ποιήσαιμι, καὶ τότε σοι ὁμότιμος ἔσται.“ τηνικαῦτα τοίνυν ὁ Ξάνθος ἀνάγκῃ τὴν ἐλευθερίαν ἐπέδωκε. καὶ ὁ κήρυξ ἐβόα· „Ξάνθος ὁ φιλόσοφος ἐλευθεροῖ Σαμίοις Αἴσωπον.“ κἂν τούτῳ πέρας ὁ τοῦ Αἰσώπου λόγος εἰλήφει, φαμένου πρὸς τὸν Ξάνθον ὡς „καὶ ἄκων ἐλευθερώσεις με.“ Αἴσωπος οὖν ἐλευθερίας τυχών, στὰς εἰς τὸ μέσον ἔφη· „ἄνδρες Σάμιοι, ὁ μὲν ἀετός, ὡς ἴστε, βασιλεὺς τῶν ὀρνίθων ἐστίν. ὅτι δὲ τὸν στρατηγικὸν δακτύλιον οὗτος ἁρπάσας ἀφῆκεν εἰς δούλου κόλπον, τοῦτο σημαίνειν δῆλον, ὅτι τῶν νυνὶ βασιλέων τις βούλεται ὑμῶν τὴν ἐλευθερίαν δουλῶσαι, καὶ τοὺς κυρίους νόμους ἀκύρους δεῖξαι. ταῦτα οἱ μὲν Σάμιοι ἀκούσαντες, κατηφείας

1 ἐπένευεν M 3 τῆς δὲ Z; in R τῇςδε corr. ex τῆς δὲ ὥρας] cf. alteram recensionem αἴσωπον om. Φ ἐλεύθερον H E Z K v 4 ποιήσαι μοι P ποιῆσαι μι E 5 ἐλευτερίαν Z 6 ἀπέδωκε R Φ E K Z v εὐόα P 7 σαμίης P Αἴσωπον] τὸν αἴσωπον E K Z v κἂν Rm. pr., κἀκ (κἂν supra) deletum. κἂν b κὰν P 8 τούτω factum ex τοῦτο Z λόγος εἰλήφει om. Φ redolet sermonem Noui Foederis 9 ὡς καὶ] ὡς Φ inter με et Αἴσωπος in A unus uersus in serie orationis et tres in margine erasi, unus (qui erat κακὸν εἰπεῖν ποίει. πάντως καὶ ἄκων ἐλευθερώσεις με) detritus 10 οὖν] τοίνυν Q τὸ] τὸν pars edd. 11 μέσων P ὡς in margine suppleuit K ἴσθε R K 12 στρατηκὸν A στρατη cum compendio quo significatur κὸν P 13 οὗτος ἀφαρπάσας Q ἁρπάσας οὗτος Φ ἀρπ. mut. in ἁρπ. M δοῦλον Z δοῦλον P δούλου a 14 σημαίνειν (σημένειν P) δ.] σημεῖον δῆλον Q. σημειώσειν βούλεται K Z v τῶν om. A 1, add. A 2 βασιλεύων A 15 τίς R Q D P Z v, τὶς K ὑμῶν] ὑμῖν Q ἡμῶν P 16 μυρίους D, κ supra l. μ D 2 δεῖξαι non oportet mutari in ἀποδεῖξαι 17 ταῦτα om. Φ μὲν] μὲν οὖν Φ κατηφίας P

ἐπλήσθησαν. μετὰ δ' οὐ πολὺν χρόνον καὶ γράμ- XXII
ματα παρὰ Κροίσου τοῦ Λυδῶν βασιλέως ἧκει Σαμίοις κελεύοντα τὸ ἀπὸ τοῦδε φόρους αὐτῷ παρέχειν, εἰ δὲ μὴ πείθοιντο, πρὸς μάχην ἑτοίμους εἶναι. ἐβουλεύσαντο μὲν οὖν ἅπαντες — ἔδεισαν γὰρ ὑπήκοοι γενέσθαι τῷ Κροίσῳ — συνοῖσον εἶναι μέντοι καὶ Αἴσωπον ἐρωτῆσαι. κἀκεῖνος ἐρωτηθεὶς εἶπε· „τῶν ἀρχόντων ὑμῶν γνώμην δεδωκότων εἰς φόρου ἀπαγωγὴν ὑπακούειν τῷ βασιλεῖ, συμβουλὴν μὲν οὐδ' ὥς, λόγον δὲ ἐρῶ ὑμῖν, καὶ εἴσεσθε τὸ συμφέρον. ἡ τύχη δύο ὁδοὺς ἔδειξεν ἐν τῷ βίῳ, θατέραν μὲν ἐλευθερίας, ἧς ἡ μὲν ἀρχὴ δύσβατος, τὸ δὲ τέλος ὁμαλόν· θατέραν δὲ δουλείας, ἧς ἡ μὲν ἀρχὴ εὐπετής τε καὶ βάσιμος, τὸ δὲ τέλος ἐπώδυνον.“ ταῦτα ἀκούσαντες οἱ Σάμιοι, ἀνεβόησαν· „ἡμεῖς ἐλεύθεροι ὄντες ἑκόντες οὐ γινόμεθα δοῦλοι“, καὶ τὸν πρεσβευτὴν οὐ σὺν εἰρήνῃ ἀπέπεμψαν. ὁ μὲν οὖν Κροῖσος ταῦτα μαθών, ἐβούλετο πόλεμον κατὰ Σαμίων κινεῖν, ὁ δὲ p. 72 b.

1 πολλὺν D χρόνων P καὶ *om.* Φ 2 κρόισων P τοῦ] τῶν Q ἧκι P 3 τοαποτοῦδε V M, τοαποτοῦδε D *et* τοαποτουδε Q *erasis accentibus et spiritibus* 4 πύθοιντο Q πείθειντο E H πείθοντο P ἕτοιμος A, *corr.* A 2 5 οὖν] γὰρ Φ, *om.* E H *post* ἅπαντες *add. in margine* φόρους δοῦναι τῷ βασιλεῖ Q 2 ἔδησαν P γὰρ] δ' Φ 6 μέντοι ἔἶναι K Z v; εἶναι *om.* Q 7 καὶ] καὶ τὸν Q εἶπεν M 8 *in* Q ὑμῶν m. pr. *fecit ex* ἡμῶν. ἡμῶν (D K) Z v φόρων Q φόρον R 9 μὲν *in* A *add.* A 2 10 οὐδ' ὥς,] *fortasse* οὐδαμῶς. —οὐδῶς P (δ *corr. ex* ν) οὐ δίδωμι Q δὲ *om.* Φ εἴσεσθε Z, *l.* ε *extrema e corr.* τὸ] τὸν A 12 θατέρας Φ 14 τε *om.* Q 15 ἀκουσαντε (ς *supra*) Q ς Q 2 17 οὐγυνόμεθα P 18 *ante* ἀπέπ. *in* R *deletum* ἀπέψ (μ *supra*) 19 ἐβούλετο V: ἐβουλεύετο M R Q Φ (ἐβουλέβετο P); ἐβουλεύετο (σα *supra*) D, σα D 2; ἐβουλεύσατο H E K Z v κινῆσαι Φ

πρεσβευτὴς ἀνήνεγκεν, ὡς οὐκ ἂν δυνηθείη Σαμίους ὑπὸ χεῖρα λαβεῖν, Αἰσώπου παρ' αὐτοῖς ὄντος, καὶ γνώμας ὑποτιθέντος. „δύνῃ δὲ μᾶλλον," εἶπεν „ὦ βασιλεῦ, πρέσβεις ἀποστείλας ἐξαιτῆσαι παρ' αὐτῶν Αἴσωπον, ὑποσχόμενος αὐτοῖς ἀντ' αὐτοῦ χάριτας ἄλλας τε δώσειν, καὶ λύσιν τῶν ἐπιταττομένων φόρων. καὶ τότε τάχα οἷός τε ἔσῃ τούτων περιγενέσθαι." καὶ ὁ μὲν Κροῖσος κατὰ ταῦτα πρεσβευτὴν ἀποστείλας, ἔκδοτον ᾔτει τὸν Αἴσωπον. Σάμιοι δὲ τοῦτον ἐκδόσθαι γνώμης ἐγένοντο. Αἴσωπος δὲ τοῦτο μαθών, ἐν μέσῳ τε τῆς ἀγορᾶς ἔστη καὶ φησίν· „ἄνδρες Σάμιοι, κἀγὼ μὲν περὶ πολλοῦ ποιοῦμαι παρὰ τοὺς πόδας ἀφικέσθαι τοῦ βασιλέως· ἐθέλω δὲ ὑμῖν ἕνα μῦθον εἰπεῖν. καθ' ὃν χρόνον ὁμόφωνα ἦν τὰ ζῶα, πόλεμον οἱ λύκοι τοῖς προβάτοις συνῆψαν. τῶν δὲ κυνῶν συμμαχούντων τοῖς θρέμμασι καὶ τοὺς λύκους ἀποσοβούντων, οἱ λύκοι πρεσβευτὴν ἀποστείλαντες, ἔφασαν τοῖς πρόβασιν, εἰ βούλοιντο βιοῦν ἐν εἰρήνῃ

1 ἀνήγγελεν Q σαμίους om. Φ 3 γνῶμοις P ὑποτιθέντες Φ δύνῃ] εἰ δύνη Q 4 ὦ βασιλεῦ εἶπε Φ, Q (erasa l. ν); ἀποστείλας in Z factum ex ἀπὸστειλας ἐξαίτησαι Q eraso qui in η erat accentu circumflexo 5 αὐτοῖς post δώσειν conlocat Φ 6 ἄλλάς τε R P λύσειν M 7 ἐπιτε[γ]ταμένων Q ἐπι[τα]ττομένων R m. pr. οἷος τε M R Z H E οἷος τὲ K οἷος τ' Q D 8 περιγεναίσθαι P 9 ταὐτὰ P τὰ αὐτὰ A πρέσβεις Φ ἤττει P 10 ἐκδόσθε P 11 ἐγέ[ον]ντο (τ pro erasa l. ε) m. pr. Q, ἐγίνοντο R τοῦτο] τούτον P τε] δὲ K Z a b 1530 (om. b 1534, 1543, Neuel.) τὲ M E H Q 12 φησί Φ E φησιν (corr. ex φηση) ταῦτα Z σάμοιοι P κἀγὼ] μᾶλλον Φ 13 περιπολλοῦ R P, D (extrito acc. graui) 14 θέλω V 15 ὁμόφρονα ἤγουν ὁμόφωνα Q 16 λῦκοι D 18 λύκοι corr. ex λάκοι P 18 ἔφησαν Φ, ἔφασαν H sed α in ras. 19 προβάτοις Φ βούλοντο P

καὶ μηδένα πόλεμον ὑποπτεύειν, τοὺς κύνας αὐτοῖς ἐκδοῦναι. τῶν δὲ προβάτων ὑπ' ἀνοίας πεισθέντων καὶ τοὺς κύνας ἐκδεδωκότων, οἱ λύκοι τούς τε κύνας διεσπάραξαν καὶ τὰ πρόβατα ῥᾷστα διέφθειραν." οἱ Σάμιοι τοίνυν τὸ τοῦ μύθου βούλημα συννοήσαντες, ὥρμησαν μὲν παρ' ἑαυτοῖς κατασχεῖν τὸν Αἴσωπον. ὃ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ τῷ πρεσβευτῇ συναποπλεύσας, πρὸς Κροῖσον ἀπήει. ἀφικομένων δ' αὐτῶν εἰς Λυδίαν, ὁ βασιλεὺς ἐπίπροσθεν αὐτοῦ στάντα τὸν Αἴσωπον θεασάμενος, ἠγανάκτησε λέγων· „ἴδε ποταπὸν ἀνθρώπιον ἐμποδών μοι γέγονε νῆσον ὑποτάξαι τοσαύτην;" καὶ ὁ Αἴσωπος· „μέγιστε βα- p. 74 b.
σιλεῦ, οὐ βίᾳ οὐδ' ἀνάγκῃ πρὸς σὲ παρεγενόμην, ἀλλ' αὐθαίρετος πάρειμι. ἀνάσχου δέ μου μικρὸν ἀκοῦσαι. ἀνήρ τις ἀκρίδας συλλέγων καὶ ἀποκτιννύς, εἷλε καὶ τέττιγα. ἐπεὶ δὲ κἀκεῖνον ἠβούλετο κτεῖναι, φησὶν ὁ τέττιξ· „ἄνθρωπε, μή με μάτην ἀνέλῃς. ἐγὼ γὰρ οὔτε στάχυν βλάπτω, οὔτ' ἄλλο τι

1 *μὴδένα* H 2 *ὑπ' ἀνοίας om.* R 3 **τούς τε** *corr.* D *ex* **τοὺς** 4 *τὰ πρόβ. ...τοίνυν in marg. suppl.* Z *διέφθηραν* P 6 *συνοήσαντες* V R P, *pars edd.* *μὲν*] *μὴ* E H 8 *συναποβλέψας* Φ 10 *ἠγανάκτει* V 11 *ποταπὸν*] *πον in ras.* Q; *ποταπῶν* P *ποταμὸν* a, *ποταπόν μοι* Q (*altero pr. μοι 11 non omisso*) *ἀνθρωπίον* D *inter μοι et γέγονε in* Z *λέγεται est deletum* *νῆσον om.* A 1, *suppl.* A 2 *inter νῆσ et ον in* Q *littera erasa* 12 *ὑποτάξαι* R *μέγισται* P 13 *οὐδ'* V: *οὐδὲ ceteri* *προσὲ* P *πρὸς σε* Z *πρὸς σε uel πρός σε edd.* *παραγενόμην* E H *παραγενόμενων· ἀλαυθαίρετος* P 14 *αὐθέρετος* K *πάρημι* V *ἀνέσχου* A, *ἀνάσχου* M *sed ά ut uidetur e corr.* *μου om.* V

15 *ἀποκτιννὺς* MDHΦFZa: *ἀποκτείνεις* (ύ *supra*) V m.pr. *ἀποκτινὺς* *l. ι facta ex ει* E *ἀποκτιννὺς* (ε *supra*) K *ἀποκτειννὺς* Q b, *ἀποκτανὺς* R 16 *τέττιγα*] P *in marg. γρ. τινά* *ἠβούλετο* V m. pr. *in marg., in serie uerborum εἵλετο. ἐβούλετο* Q 18 *στάχυς* V *βλάπτω erasa l. ν* D *ἄλλό τι* M D E H, Q V R J (*coniunctis uu.*), *ἀλλότι* P *ἄλλοτι* F Z v

τῶν ἁπάντων σε ἀδικῶ, τῇ κινήσει δὲ τῶν ἐν ἐμοὶ ὑμένων ἡδὺ φθέγγομαι, τέρπων τοὺς ὁδοιπόρους. φωνῆς οὖν παρ' ἐμοὶ πλέον οὐδὲν εὑρήσεις.“ κἀκεῖνος ταῦτα ἀκούσας, ἀφῆκεν ἀπιέναι. κἀγὼ γοῦν, ὦ βασιλεῦ, τῶν σῶν ποδῶν ἅπτομαι, μή με εἰκῇ φονεύσῃς. οὐδὲ γὰρ οἷός τ' εἰμὶ ἀδικῆσαί τινα, ἐν εὐτελείᾳ δὲ σώματος γενναῖον φθέγγομαι λόγον.“ ὁ δὲ βασιλεὺς θαυμάσας ἅμα καὶ οἰκτείρας αὐτόν, ἔφη· „Αἴσωπε, οὔκουν ἐγώ σοι δίδωμι τὸ ζῆν, ἀλλ' ἡ μοῖρα. ὃ γοῦν θέλεις, αἴτει καὶ λήψῃ.“ καὶ ὅς· „δέομαί σου, βασιλεῦ, διαλλάγηθι Σαμίοις“. τοῦ δὲ βασιλέως εἰπόντος „διήλλαγμαι“, πεσὼν ἐκεῖνος ἐπὶ τὴν γῆν, χάριτάς τε αὐτῷ ὡμολόγει, καὶ μετὰ τοῦτο τοὺς οἰκείους συγγραψάμενος μύθους, τοὺς καὶ μέχρι νῦν φερομένους, παρὰ τῷ βασιλεῖ κατέλιπε. δεξάμενος δὲ παρ' αὐτοῦ γράμματα πρὸς Σαμίους, ὡς ἕνεκεν Αἰσώπου τούτοις διήλλακται, καὶ δῶρα πολλά, πλεύσας ἐπανῆλθεν εἰς Σάμον. οἱ μὲν οὖν Σάμιοι τοῦτον ἰδόντες, στέμματά τε αὐτῷ προσήνεγκαν καὶ χοροὺς ἐπ' αὐτῷ συνεστήσαντο. ὁ δ'

1 σε *om.* Q, σὲ K ἐνεμοὶ P H a; *in* D ἐν *add.* D 2 3 παρεμοὶ Q *ut saepe* οὐδὲν πλέον Q εὑρήσεης P 4 γοῦν] οὖν R 5 τῶν ποδῶν σῶν J (β α) ἅπτ. ποδῶν R φωνεύσῃς F 6 γὰρ *om.* A οἷοστ' Q R Z οἷ ὅς τι μὶ P τίνα A *in marg.* γρ. τί, τί P 7 εὐτελία P 8 οἰκτήρας F αὐτὸν] αὐτοῦ E H 9 οὐκοῦν Z 10 μίρα V ὃ P θέλοις P λήψει D K 12 βασιλελέως P διήλλαγμαι] αι Q 2 *in rasura* 13 τῆς γῆς Q ὡμολόγει *factum in* D *ex* ὁμ., *in* K *ex* ὁμ.; ὁμολόγει E μετατοῦτο M 14 οἰκίους Z συγκρ. P καὶ μέχρι νῦν M V, R (νυν), Φ D καὶ μέχρι καὶ νῦν E H (*ante* μέχρι *in H deletum* νῦν) μέχρι καὶ νῦν F J K Z v μέχρι νῦν (*om. u.* καὶ) Q 16 δεεξάμενος Z δὲ *om.* R 17 διήλακται D διήλλεκται R 18 οὖν *om.* Z 19 ἰδόντες] ες Z *in ras. maiore;* ἴδοντες R D τε *om.* A Z

αὐτοῖς τά τε τοῦ βασιλέως ἀνέγνω γράμματα, καὶ ἀπέδειξεν ὡς τὴν εἰς αὐτὸν γενομένην παρὰ τοῦ δήμου ἐλευθερίαν ἐλευθερίᾳ πάλιν ἠμείψατο.

XXIII Μετὰ δὲ τοῦτο τῆς νήσου ἀπάρας, περιήει τὴν οἰκουμένην, τοῖς ἁπανταχοῦ τῶν φιλοσόφων διαλεγόμενος. ἀφικόμενος δὲ καὶ πρὸς Βαβυλῶνα καὶ τὴν (p. 76 b.) ἑαυτοῦ σοφίαν ἐπιδειξάμενος, μέγας παρὰ τῷ βασιλεῖ Λυκήρῳ ἐγένετο. κατ᾽ ἐκείνους γὰρ τοὺς χρόνους οἱ βασιλεῖς πρὸς ἀλλήλους εἰρήνην ἔχοντες, καὶ τέρψεως χάριν προβλήματα τῶν σοφιστικῶν πρὸς ἀλλήλους γράφοντες ἔπεμπον. ἅπερ οἱ μὲν ἐπιλυόμενοι φόρους ἐπὶ ῥητοῖς πρὸς τῶν πεμπόντων ἐλάμβανον· εἰ δὲ μή, τοὺς ἴσους παρεῖχον. ὁ τοίνυν Αἴσωπος τὰ πεμπόμενα τῶν προβλημάτων Λυκήρῳ συνὼν ἐπέλυε, καὶ εὐδοκιμεῖν ἐποίει τὸν βασιλέα. καὶ αὐτὸς δὲ διὰ Λυκήρου ἕτερα τοῖς βασιλεῦσιν ἀντέπεμπεν, ὧν ἀλύτων μενόντων, φόρους ὁ βασιλεὺς ὅτι πλείστους εἰσέπραττεν.

XXIIII Αἴσωπος δὲ μὴ παιδοποιησάμενος, ἕνα τινὰ τῶν εὐγενῶν, Ἔννον τὴν κλῆσιν, εἰσεποιήσατό τε καὶ ὡς γνήσιον παῖδα τῷ βασιλεῖ προσενέγκας συνέστησε. μετὰ δ᾽

1 τάτε] τὰ Φ ἀνέγνω om. Φ 2 ὡς εἰς τὴν αὐτῶν Φ ὡς εἰς τὴν αὐτὸν (*accentus grauis corr. e circumflexo*) Q γενομενειν P γεναμένην E H 3 ἐλευθερίᾳ] ἐλευθερίους Φ 4 ἀπάρρας P περήει Q D 5 φιλολόγων M Q D φιλοσῶφων P 6 δὲ καὶ] δὲ Z 7 ἐπιδεικνύμενος Φ (ἐπιδυκν. P) 8 ^{λυ}κήρῳ R m. pr. κατεκύνους P *ut saepe* γὰρ *in* A *fecit ex* οὖν A 2. *inter* γὰρ *et* τοὺς *in* Q *duodecim fere litterae erasae.* χρόνους] καιροὺς D 10 τέρψαως P σοφιστικὸν P σοφιστῶν A 12 ἐπηρητοῖς P. τῶν] τὸν P 13 εἰ V Φ K, ed. Neuelet.: οἱ M Q D R H E Z v 15 ἐπέλυεν M 17 ἀντέπεμψεν Z, ψ *ex corr. in ras.* 19 ἕνα τινα M D R H E Z K ἔνναθηνᾶ P 20 Ἔννον] *id est* Αἶνον τε *om.* P ὡς] ὃς P 21 συνέστησεν D μεταδ᾽οὐ E H *ut saepe*

οὐ πολὺν χρόνον τοῦ Ἔννου τῇ τοῦ θεμένου παλλακῇ συμφθαρέντος, Αἴσωπος τοῦτο γνούς, ἀπελαύνειν ἔμελλε τῆς οἰκίας. ὃ δὲ τῇ κατ' ἐκείνου ὀργῇ ληφθείς, ἐπιστολήν τε πλασάμενος παρ' Αἰσώπου δῆθεν πρὸς τοὺς ἀντισοφιζομένους Λυκήρῳ, ὡς αὐτοῖς ἕτοιμός ἐστι προστίθεσθαι μᾶλλον ἢ τῷ Λυκήρῳ, τῷ βασιλεῖ ἐνεχείρισε, τῷ τοῦ Αἰσώπου ταύτην σφραγισάμενος δακτυλίῳ. ὁ δὲ βασιλεὺς τῇ [τε] σφραγῖδι πεισθεὶς καὶ ἀπαραιτήτῳ ὀργῇ χρησάμενος, παραχρῆμα τῷ Ἑρμίππῳ κελεύει, μηδὲν ἐξετάσαντα οἷα δὴ προδότην διαχειρίσασθαι Αἴσωπον. ὁ δὲ Ἕρμιππος φίλος τε ἦν τῷ Αἰσώπῳ καὶ τότε δὴ τὸν φίλον ἐπέδειξεν. ἔν τινι γὰρ τῶν τάφων
p. 78 b. *μηδενὸς εἰδότος κρύψας τὸν ἄνθρωπον, ἐν ἀπορρήτοις ἔτρεφεν. Ἔννος δέ, τοῦ βασιλέως κελεύσαντος,*
XXV *πᾶσαν τὴν διοίκησιν Αἰσώπου παρέλαβε. Μετὰ δέ τινα χρόνον Νεκτεναβὼ βασιλεὺς Αἰγυπτίων πυθό-*

1 πολλὺν P αἴννου V ἐννου R ἔννου *in* A *add.* m. pr. τῇ τοῦ] τοῦ τὲ K θεμίου (*ea lineola qua nomina personarum significari solent supra scripta* θεμ̄ίου) V M (λ) παλακῇ Q m. pr., παλακῇ Φ 2 συφθαρέντος K συμφαρέντος H 3 ἤμελλε Q ἔμελε P 4 ἐπιστολὴν *omisso* τε K πλασάμενος Q m. pr., *sed alterum* σ *supra scripsit* Q 2. πλασσάμενος v 5 ἀντιφιζομένους A (*sed postea add.* σο), P; σοφιζομένους *in serie uerborum*, ἀντι *in marg.* K ὡς ... λυκήρω *in* D *bis scripta erant* 6 ἔστιν a Λυκήρῳ] λυκήρω τῶ βασιλεῖ R, H *sed in hoc uu.* τῶ β. *deleta* 7 ἐνεχείρισεν K Z 8 σφαγισάμενος a, *ed.* 1547 τῇ V: τῇ τε *ceteri* 9 σφραγῖδι M Q: σφραγίδι *ceteri* 10 παραχρῆμα] παρὰ χρῆμα H παραυτίκα *erasis qui in* α *erant accentu et spiritu* Q ἑρμίππῳ *narrationis scriptor pro magistratu uidetur habuisse* μὴδὲν H ἐξετάξαντα Φ 12 δ' Z ἔρμηππος P 13 τὸν αἴσωπον φίλον Q τὸν φίλων P τῶν φίλων D ἐν] ἓν D 14 μὴδενὸς H κρύψας *ex* κρύψαντος *fecit* P m. pr. κρύψαντος R E H ἄνθρωπον] αἴσωπον Q 15 Ἔννος] Ἔ *in rasura* m. pr. V 16 παρέλαβεν M, *in* P *ex* ν *statim facta est l.* μ *uocabuli* μετὰ 17 χρόνων P Νεκτεναβὼ] κτε *corr. ex* κτα R m. pr., νεκτεναβῶ P Q *semper*

μενος Αἴσωπον τεθνηκέναι, πέμπει Λυκήρῳ παραχρῆμα ἐπιστολήν, οἰκοδόμους αὐτῷ ἀποστεῖλαι κελεύουσαν, οἳ πύργον οἰκοδομήσουσι μήτ' οὐρανοῦ μήτε γῆς ἁπτόμενον, ἀλλὰ καὶ τὸν ἀποκρινούμενον ἀεὶ πρὸς πάνθ' ὅσα ἂν ἐρωτῴη. καὶ τοῦτο ποιήσαντα, φόρους εἰσπράττειν, εἰ δὲ μή, κατατίθεσθαι. ταῦτα τῷ Λυκήρῳ ἀναγνωσθέντα εἰς ἀθυμίαν ἐνέβαλε, μηδενὸς τῶν φίλων δυναμένου τὸ πρόβλημα τὸ περὶ τοῦ πύργου συνεῖναι. ὁ μέντοι βασιλεὺς καὶ κίονα τῆς ἑαυτοῦ βασιλείας ἔλεγεν ἀπολωλεκέναι τὸν Αἴσωπον. Ἕρμιππος δὲ τὴν τοῦ βασιλέως δι' Αἴσωπον λύπην μαθών, προσῆλθε τῷ βασιλεῖ καὶ ζῆν ἐκεῖνον εὐηγγελίσατο, προσθεὶς ὡς τοῦδε χάριν αὐτὸν οὐκ ἀνεῖλεν, εἰδὼς ὡς μεταμελήσει ποτὲ τῷ βασιλεῖ τῆς ἀποφάσεως. τοῦ δὲ βασιλέως διαφερόντως ἐπὶ τούτοις ἡσθέντος, Αἴσωπος ῥυπῶν καὶ αὐχμῶν ὅλος προσηνέχθη, καὶ τοῦ βασιλέως, ὡς εἶδεν αὐτὸν, δακρύσαντος καὶ λούσασθαί τε καὶ τῆς ἀλ-

1 *παραχρῆμα λυκ.* Q 2 *οἰκοδήμους* P *ἐπιστεῖλαι* Φ *κελεύουσα* P 3 *πῦργον* V R D E H *μήτ' οὐρανὸν* K *μήτον οὐρανὸν* (*sic: ὀυνὸν*) P 4 *ἀλλὰ καὶ* (*καὶ intra uersus* m. pr.) V, (*καὶ intra uersus* Q 2) Q: *ἀλλὰ* M *in folio extremo*, D Q 1, R Φ E H; *καὶ* K Z v *ἀποκρινόμενον* D 5 *ἐρωτῴῃ deletis litteris* ι *quae infra scriptae sunt* D. (*ἐρωτῷ* with η above M, *non aliter*). *ἐρωτῶσι* K Z v 6 *εἰς πρ.* D (Q *ut uidetur*) R v 7 *εἰς om.* R E H K Z v *ἀθυμί* V *ἐνέβαλεν* M *ἐνέβαλλε* Q 8 *μήδενος* Z *μὴδενὸς* H *δυναμένων* Q 9 *συνῆναι* V 10 *κίωνα* V *τῆς αὐτοῦ* A *τοῖς αὐτοῦ* P *ἀπολωλέναι* Q *ἀπωλολεκέναι* P *ἀπολωλεκέναι corr. ex ἀπολολ.* Z 11 *δι' αἴσωπον om.* Φ 12 *τῶ* V: *τε τῷ ceteri* 13 *ἐκεῖνος* P *εὐηγελλίσατο* (*alteram l. λ add.* m. pr.) P *ὡς τοῦδε*] *αὐτοῦ δὲ* Z K *αὐτοῦ δὴ* v 14 *ἀνελεῖν* b *μεταμελήσῃ* V, R (*uolebat primo σης*), E (*σῃ factum ex σει*), H K Z *μελήσῃ* (σ above) v *τῷ βασιλεῖ om.* V 15 *ἀποφάεως* A *διαφερόντος* Φ *διαφέροντος* R 17 *ὅλως* V 18 *καὶ λούσασθαί*] *καὶ om.* v

λης ἐπιμελείας ἀξιωθῆναι κελεύσαντος, Αἴσωπος μετὰ τοῦτο καὶ ὑπὲρ ὧν κατηγορήθη τὰς αἰτίας ἀπεσκευάσατο· ἐφ' οἷς καὶ τοῦ βασιλέως τὸν Ἕννον ἀναιρεῖν μέλλοντος, Αἴσωπος αὐτῷ συγγνώμην ᾐτήσατο. ἑπομένως δὲ τούτοις ὁ βασιλεὺς τὴν τοῦ Αἰγυπτίου ἐπιστολὴν τῷ Αἰσώπῳ ἐπέδωκεν ἀναγνῶναι. ὁ δ' αὐτίκα τὴν λύσιν συνεὶς τοῦ προβλήματος, ἐγέλασέ τε καὶ ἀντιγράφειν ἐκέλευσεν, ὡς ἐπειδὰν χειμὼν παρέλθῃ, πεμφθῆναι τούς τε τὸν πύργον οἰκοδομήσοντας καὶ τὸν ἀποκρινούμενον πρὸς τὰ ἐρωτώμενα.
p. 80 b. ὁ βασιλεὺς οὖν τοὺς μὲν Αἰγυπτίους πρέσβεις ἀπέστειλεν, Αἰσώπῳ δὲ τὴν ἐξ ἀρχῆς διοίκησιν ἐνεχείρισεν ἅπασαν, ἔκδοτον αὐτῷ παραδοὺς καὶ τὸν Ἕννον. ὁ δὲ Αἴσωπος παραλαβὼν τὸν Ἕννον, οὐδὲν ἀηδὲς αὐτὸν ἔδρασεν, ἀλλ' ὡς υἱῷ πάλιν προσσχών, ἄλλους τε καὶ τούτους ὑπετίθει τοὺς λόγους.

XXVI „Τέκνον, πρὸ πάντων σέβου τὸ θεῖον, τὸν βασιλέα δὲ τίμα· καὶ τοῖς μὲν ἐχθροῖς σου δεινὸν σεαυτὸν παρασκεύαζε, ἵνα μὴ καταφρονῶσί σου· τοῖς δὲ

1 ἀξιοθῆναι V αἴσωπος ... μέλλοντος 4 *in margine inferiore suppleuit* A m. pr. 2 μετατοῦτο M D, *om.* Φ ἀπεσκεβάσατο P 3 τὸν ἔννον *intra lineas suppleuit* D m. pr. 4 συγνώμην V 5 ἑπομενέις P ἑπομένω E ὁ *ex corr.* Z τὴν] καὶ τὴν Q 8 χειμὼν] ὁ χειμὼν Q D, W, *nescio an rectius* 9 πεμφθῆναι] (πεμφῆναι H) *debebat* πέμψει *uel certe* πέμψειεν ἄν. *u.* 251, 11 τούς τε] τούτοις τούς τε Q αὐτούς τε R E H πῦργον V D R H E οἰκοδομήσαντας D P K 10 καὶ *bis* Z ἀποκρινόμενον D ἀποκρίνούμενον *sed* ποκρ *e corr.* Z πρως τὰ P ἐρωτώμενα V Q E: ἐπερωτώμενα M Φ D, R (..μένα), H K Z v 11 οὖν] ὖν P *spatio unius litterae uacuo* τοὺς μὲν] τοὺς μὲν τοὺς A (*uolebatne* μέντοι?) 12 ἐξάρχῆς M Q E: ἐξαρχῆς *ceteri* 14 δ' Φ Z ἄηδες Z 15 αὐτὸν] αὐτῷ V E υἱῷ] υἱὸν Φ πάλλιν P προσοχὼν *libri* 16 ὑπετέθη P 17 παραίνεσις αἰσώπου P *rubro. uide commentationem* 18 δὲ τίμα *om.* A, δὲ *om.* P τοῖς *ex* τοὺς *corr.* D μὲν *om.* R σου *om.* Φ σέαυτὸν P σαυτὸν A 19 παρασκεύαζε V παρασκευάσαι Φ καταρρονῶσί D

φίλοις πρᾶον καὶ εὐμετάδοτον, ὡς εὐνουστέρους σοι μᾶλλον γίνεσθαι. ἔτι τε τοὺς μὲν ἐχθροὺς νοσεῖν εὔχου καὶ πένεσθαι, ὡς μὴ οἵους τε εἶναι λυπεῖν σε· τοὺς δὲ φίλους κατὰ πάντα εὖ πράττειν βούλου. αἰεὶ τῇ γυναικί σου χρηστῶς ὁμίλει, ὅπως ἑτέρου ἀνδρὸς πεῖραν μὴ ζητήσῃ λαβεῖν. κοῦφον γὰρ τὸ τῶν γυναικῶν ἐστι φῦλον καὶ κολακευόμενον ἐλάττω φρονεῖ κακά. ὀξεῖαν μὲν πρὸς λόγον κτῆσαι τὴν ἀκοήν, τῆς δὲ γλώττης ἐγκρατὴς ἔσο. τοῖς εὖ πράττουσι μὴ φθόνει, ἀλλὰ σύγχαιρε. φθονῶν γὰρ σεαυτὸν μᾶλλον βλάψεις. τῶν οἰκετῶν σου ἐπιμελοῦ, ἵνα μὴ μόνον ὡς δεσπότην σε φοβῶνται, ἀλλὰ καὶ ὡς εὐεργέτην αἰδῶνται. μὴ αἰσχύνου μανθάνειν ἀεὶ τὰ κρείττω. τῇ γυναικὶ μηδέποτε πιστεύσῃς ἀπόρρητα, ἀεὶ γὰρ ὁπλίζεται, πῶς σου κυριεύσει. καθ' ἡμέραν καὶ εἰς τὴν αὔριον ἀποταμιεύου. βέλτιον γὰρ τελευτῶντα ἐχθροῖς καταλεῖψαι, ἢ ζῶντα τῶν φίλων ἐπιδεῖσθαι. εὐπροσήγορος ἔσο τοῖς συναντῶσιν, εἰδὼς ὡς καὶ τῷ κυναρίῳ ἄρτον ἡ οὐρὰ προσπορίζει. ἀγαθὸς γενόμενος μὴ μετανόει.

1 *πράον* Z 2 *τε supra lineam add.* M, *om.* Φ E K Z v 3 *εὔχον* P *πένεσθαι*] *ἑ ex αι factum* Q *οἵούς τε* P *λυπεῖν*] *καὶ λυπεῖν* Φ Q D 4 *βούλει* P 5 *αἰεὶ* H, *et fortasse* E *l. ι postea adiecta*, *ἀεὶ* Φ Q D; *illud retinui quia uersus in his uerbis latet* *χρηστὸς* M *χρηστὰ* Φ Q D 6 *μὴ post ὅπως conlocat* Q *ἀνδρῶς* V 7 *ἐστι om.* V; *τὸ τῆς γυναικός ἐστι φῦλον* Φ *φῦλον ex φύλλον fecit* Q m. pr. 8 *μὲν*] *μὴ* H E K Z v (*om.* ed. 1534) *λόγους fecit ex λόγων* Q m. pr. 9 *ἐγγρατῆς* P *ἔσω* D 11 *σου*] *om.* V; *σου μᾶλλον* Q 12 *φοβοῦνται* P 13 *αἰδοῦνται* A *αἰδούνται* P 14 *μὴ δέ ποτε* D H E 15 *σοῦ* K *κυριεύσῃ* P *καθημ.* Q D R P 17 *ἐχθροῖς*] *τοῖς ἐχθροῖς* Φ *καταλήψαι* P 20 *προςκομίζει* D *ἀγαθὸς γενόμενος* K Z v: *ἀγαθὸς γινόμενος* V *ἀγαθὸς δυνάμενος* M R E H *ἀγαθοποιεῖν δυνάμενος* W Φ, Q (*ἀγαθο-π.*); D m. pr. *sed* D 2 *ς et accentum adiecit litterasque ποι δυνάμ punctis infra scriptis deletas uoluit* (*ἀγαθὸς ποιεῖν δυνάμενος*) *δυνάμενος*

ψίθυρον ἄνδρα ἔκβαλε σῆς οἰκίας, τὰ γὰρ ὑπὸ σοῦ p. 82 b. λεγόμενα καὶ πραττόμενα ἑτέροις φέρων ἀναθήσει. πρᾶττε μὲν τὰ μὴ λυπήσοντά σε, ἐπὶ δὲ τοῖς συμβαίνουσι μὴ λυποῦ. μήτε πονηρὰ βουλεύσῃ ποτὲ μήτε τρόπους κακῶν μιμήσῃ.“ Τούτοις τοῦ Αἰσώπου τὸν Ἔννον νουθετήσαντος, ἐκεῖνος τοῖς τε λόγοις καὶ τῇ οἰκείᾳ συνειδήσει οἷά τινι βέλει πληγεὶς τὴν ψυχήν, μετ' οὐ πολλὰς ἡμέρας τὸν βίον μετήλλαξεν.

XXVII Αἴσωπος δὲ τοὺς ἰξευτὰς πάντας προσκαλεσάμενος, ἀετῶν νεοττοὺς τέτταρας συλληφθῆναι κελεύει. συλληφθέντας οὖν οὕτως ἔθρεψεν, ὡς λέγεται, καὶ ἐπαίδευσεν, ὅπερ οὐ πάνυ τί με πειθόμενον ἔχει, ὡς παῖδας διὰ θυλάκων αὐτοῖς προσηρτημένων βαστάζοντας εἰς ὕψος αἴρεσθαι, καὶ οὕτως ὑπηκόους τοῖς παισὶν εἶναι, ὡς ὅποιπερ ἂν ἐκεῖνοι βούλοιντο ἵπτασθαι ἄν τε εἰς ὕψος, ἄν τε εἰς γῆν χαμάζε. τῆς δὲ χειμερινῆς ὥρας παραδραμούσης καὶ ἦρος διαγελάσαντος, ἅπαντα τὰ πρὸς τὴν ὁδὸν συσκευασάμενος Αἴσωπος, καὶ τούς τε παῖδας λαβὼν καὶ τοὺς ἀετούς,

ἀγαθοποιεῖν μὴ ἀπαναίνου L Mo 1 ψιθυρόν? ψύθειρον P 2 καὶ πραττόμενα *om.* Φ φέρον P 3 πρᾶττε M: πράττε *ceteri* μὲν τὰ μὴ] μὴ τὰ R E H K Z v λυπήσαντά Q (ταμηλυπεισωντάσαι P) σιμβένουσιν μιληποῦ P 5 μιμήσῃ] σῃ *corr. ex* σει D, μημείσει P τούτα P 6 ἐκύνος τίς τε λ. κ. τι εἰκία σηνειδήσῃ P 7 οἰκία K τινα βέλη V πληγῆς P 8 πολὰς Q 1, *corr.* Q 2 μετήλαξεν P κατήλλαξεν R διήλλαξεν V 9 πάντας *om.* D 10 τέτταρες P καὶ λεύει P 11 *post* οὕτως *distinxit* a, *ante* οὕτως Q D Φ E H 12 ἐπέδευσεν P τι] τοι A 13 ἔχῃ P προσηρτυμένων A πρὸς ἠρτιμένον P προσηρτησμένων R προσηρτισμένων. E H 14 οὗτος P 15 τις π. ἦναι P ὅπῃ περ Q D ὅπερ R ὅτιπερ E H ὅπουπερ K Z v ἐκύνην βούληντο ἥπτ. P 16 ἵπτασθαι] αι *corr. ex* ε Z χαμάζαι P χαμᾶζε M H v χάμαζε Z; *ceterum non dubito quin utrumque et* εἰς γῆν *et* χαμάζε *a scriptore sit profectum* τῆς] τις P 17 ὅρας P 18 ἅπαντα] καὶ ἅπαντα P ὁδῶν P σκευασάμενος Q 19 τούς τε D, τε *om.* M Q ἀετοὺς] νεοττοὺς τῶν ἀετῶν Φ

ἀπῆρεν εἰς Αἴγυπτον, πολλῇ φαντασίᾳ καὶ δόξῃ
πρὸς κατάπληξιν τῶν ἐκεῖ κεχρημένος. Νεκτεναβὼ
δ' ἀκούσας παραγεγονέναι τὸν Αἴσωπον, „ἐνήδρευ-
μαι“, φησὶ τοῖς φίλοις, „μεμαθηκὼς Αἴσωπον τε-
θνηκέναι“. τῇ δ' ἐπιούσῃ κελεύσας ὁ βασιλεὺς πάν-
τας τοὺς ἐν τέλει λευκὰς περιβαλέσθαι στολάς, αὐτὸς XXVIII
κιρρὰν ἐνεδύσατο καὶ διάδημα καὶ διάλιθον κί-
ταριν. καὶ καθεσθεὶς ἐφ' ὑψηλοῦ δίφρου, καὶ τὸν
Αἴσωπον εἰσαχθῆναι κελεύσας, „τίνι με εἰκάζεις,“
εἰσελθόντι φησίν „Αἴσωπε, καὶ τοὺς σὺν ἐμοί“;
καὶ ὅς· „σὲ μὲν ἡλίῳ ἐαρινῷ, τοὺς δὲ περὶ σὲ τού-
τους ὡραίοις στάχυσι.“ καὶ ὁ βασιλεὺς θαυμάσας
αὐτὸν καὶ δώροις ἐδεξιώσατο. τῇ δὲ μετ' ἐκείνην
ἡμέρᾳ πάλιν ὁ μὲν βασιλεὺς στολὴν λευκοτάτην ἐν- p. 84 b.
σκευασάμενος, τοῖς δὲ φίλοις φοινικᾶς κελεύσας λα-
βεῖν, εἰσελθόντα τὸν Αἴσωπον τὴν προτέραν αὖθις
πεῦσιν ἐπύθετο. καὶ ὁ Αἴσωπος „σὲ μὲν“ εἶπεν
„εἰκάζω ἡλίῳ, τοὺς δὲ περὶ σὲ τούτους ἀκτῖσι“. καὶ

1 ἀπῆρε A ἀπείρεν P δόξα] splendor 2 νεκτεναβῶ P semper, κτεναβῶ E 4 φησὶ τοῖς φίλοις *coniungenda esse cum sententia tum* W *docent*: μετακαλεσάμενος τοὺς φίλους εἶπεν. τοῖς φίλοις φησί Φ μεθηκὼς (μα *supra*) V 6 λ. περιβαλλέσθαι σ. V E λ. στολὰς περιβαλέσθαι V; περιβ. στολὰς *om.* P 7 κιρρὰν *scripsi*: ἐρίαν Q; ἐρέαν *ceteri libri, quod scriptum oportuit* ἐρεᾶν; ἱερὰν W ἐνδύσατο A καὶ διάδημα *om.* Φ διὰ λίθου Φ (διά P) κίδαριν Q Φ 9 τίνι (τίνει P) με εἰσελθόντα εἰκ. φησίν Φ 10 συνεμοὶ καιὸς P 11 περὶ σε D Z περισὲ P 12 στάχισι A στάχει P ἀστάχυσι Q 13 ἐδεεξιώσατο Z *ut uidetur* 14 ὁ βασ. πάλιν λευκ. στολὴν ἐνσκ. (*om. p.* μὲν) Φ στολὴν *om.* R E H Z K v 15 φοινικὰς V R b; *in* Q *acc. acutus radendo factus e circumflexo* λαβεῖν] βαλεῖν V D ἐνδυθῆναι Φ 16 εἰσελθῶντα Z τὸν αἴσ.... αὖθις *in rasura* P m. pr. 17 πεῦσιν *fecit ex* πεῦσις R m. pr. πεύσην P εἶπεν *om.* K

18 σε *in rasura trium litterarum* D ἀκτίσιν V *l.* ν *puncto infra scripto deleta*, ἀκτῖσι *extrita l.* ν D ἀκτῖσιν M ἀκτίσι R Q, P (ἀ.)

ὁ Νεκτεναβώ· „οἶμαι μηδὲν εἶναι Λυκῆρον πρός γε τὴν ἐμὴν βασιλείαν“. καὶ ὁ Αἴσωπος μειδιάσας ἔφη· „μὴ εὐχερῶς οὕτω περὶ ἐκείνου, ὦ βασιλεῦ, λογίζου· πρὸς μὲν γὰρ τὸ ὑμέτερον ἔθνος ἡ ὑμῶν ἐπιδεικνυμένη βασιλεία δίκην ἡλίου σελαγεῖ· εἰ δὲ Λυκήρῳ παραβληθείη, οὐδὲν ἂν δέοι μὴ τὸ φῶς τοῦτο ζόφον ἀποδειχθῆναι“. καὶ ὁ Νεκτεναβὼ τὴν τῶν λόγων εὐστοχίαν ἐκπλαγείς, „ἤνεγκας ἡμῖν“ ἔφη „τοὺς μέλλοντας τὸν πύργον οἰκοδομεῖν;“ καὶ ὅς· „ἕτοιμοί εἰσιν, εἰ μόνον ὑποδείξεις τὸν τόπον“.

XXVIIII μετὰ τοῦτο ἐξελθὼν ἔξω τῆς πόλεως ὁ βασιλεὺς ἐπὶ τὸ πεδίον, ὑπέδειξε διαμετρήσας τὸν χῶρον. ἀγαγὼν τοίνυν Αἴσωπος ἐπὶ τὰς ὑποδειχθείσας τοῦ τόπου γωνίας τέτταρας τοὺς τέτταρας τῶν ἀετῶν ἅμα τοῖς παισὶ διὰ τῶν θυλάκων ἀπηρτημένοις, καὶ οἰκοδόμων τοῖς παισὶ μετὰ χεῖρας δοὺς ἐργαλεῖα, ἐκέλευσεν ἀναπτῆναι. οἳ δὲ πρὸς ὕψος γενόμενοι „δότε ἡμῖν“ ἐφώνουν „λίθους, δότε κονίαν, δότε ξύλα, καὶ τἆλλα

1 Νεκτεναβὼ] βασιλεὺς Q λυκήρω V, λυκήρον Q. λυκήρω *mutauit in* λυκήρον D 2 *cf.* W γε *om.* R E K Z v, *in* H *erasa est* 2 μηδειάσας E 3 ἔφη V: *om. ceteri* οὔτω Q, σ *add.* Q 2 ἐκεῖνον Q ὦ β. λογίζου V: λέγε ὦ β. *ceteri* (*in* D λέγε *fecit ex* λέγειν m. pr.) 4 μὲν *om.* V τὸ] τὸν A ἡ *om.* R A H ἡμῶν A, ed. Neuel. 5 ἐποιδεικνύμενοι P δεικνυμένη M εἰ] οἱ P 7 τοῦτον *ut uidetur* M ἀποδιχθ. P 8 ἡμὴν P ὑμῖν b 1530, 1534 9 πῦργον V R D E *post* οἰκοδομὴν *in* P *deletum* ἔφη 10 ὑποδείξῃς V P 11 μετατοῦτο M D E 12 ὑπέδειξε *in margine suppl.* K διαμερήσας A (ερ *in rasura*) 13 τοίνυν] οὖν ὁ Φ ὑποδειχθήσας Q 14 τέττερας A τοὺς τέσσαρας R 15 τῶν *in* A *add.* A 2 ἀπηρτισμένοις E οἰκοδομεῖν A οἰκοδομὴν P 16 τοῖς *bis* Z, *alterum extritum* χεῖρα Q χείρας Z μεταχεῖρας H 17 ὕψος *om.* R, *in* Z ψ *factum ex* π ὑμὶν P ὑμῖν b 1530, 1547 18 ἐφώνουν] ω *corr. ex* ο Z K κονείαν P κονίαν ξύλα (*om. u.* δότε) K τ' ἄλλα V Q E H R τ' ἀλλα Z τάλλα P τἆλλα M v

τῶν πρὸς οἰκοδομὴν ἐπιτηδείων. ὁ δὲ Νεκτεναβὼ τοὺς παῖδας θεασάμενος εἰς ὕψος ὑπὸ τῶν ἀετῶν ἀναφερομένους, ἔφη· „πόθεν ἐμοὶ πτηνοὶ ἄνθρωποι;“ καὶ ὁ Αἴσωπος· „ἀλλὰ Λυκῆρος ἔχει. σὺ δὲ θέλεις ἄνθρωπος ὢν ἰσοθέῳ ἐρίζειν βασιλεῖ“; καὶ ὁ Νεκτεναβώ· „Αἴσωπε, ἥττημαι. ἐρήσομαι δέ σε, σὺ δέ μοι ἀπόκριναι.“ καὶ φησίν· „εἰσί μοι θήλειαι ὧδε ἵπποι, αἵπερ ἐπειδὰν ἀκούσωσι τῶν ἐν Βαβυλῶνι ἵππων χρεμετιζόντων, εὐθὺς συλλαμβάνουσιν. εἴ σοι πρὸς τοῦτο πάρεστι σοφία, ἐπίδειξαι.“ καὶ ὁ Αἴσωπος· „αὔριον ἀποκρινοῦμαί σοι, βασιλεῦ.“ ἐλθὼν δ' οὗ κατήγετο, αἴλουρον τοῖς παισὶν ἐκέλευσε συλλαβεῖν, καὶ συλληφθέντα δημοσίᾳ περιάγεσθαι μαστιζόμενον. οἱ δὲ Αἰγύπτιοι τὸ ζῷον σεβόμενοι, οὕτω κακῶς πάσχον αὐτὸ θεασάμενοι, συνέδραμον, καὶ τὸν αἴλουρον τῆς χειρὸς τῶν μαστιγούντων ἐκσπάσαντες, ἀναγγέλλουσιν ὡς τάχος τῷ βασιλεῖ τὸ πάθος. ὃ δὲ καλέσας τὸν Αἴσωπον, „οὐκ ᾔδεις“

XXX (beside line 8)

p. 86 b. (beside line 9)

1 ἐπιτηδίων P Z K 2 παῖδας *om.* Z παίδας Q εἰς ὕ. ὑπὸ τ. ἀ. ἀν. A *bis*; ὑπὸ τ. ἀ. εἰς ὕ. ἀν. K Z v 3 ἀναφερουμένους P ἐμοὶ] μοι Φ; *tres lineae quae antecedunt bis scriptae punctis deletae sunt* 4 λυκοῦργος a *cf.* W. 6 νεκτεν. *fecit ex* νεκταν. R m. pr.; ναικτεναβῶ P ἥττ. E δέ σε] σε Φ 7 δέ μοι] δέ με Φ ἀπόκρινε E φησὶ E 8 ὡ δε R; *in* Q ὧδε *factum ex* ὡδε; ᾧδε M οἵπποι αἵπερ ἐπιδᾶν ἀκούσω σοι τὸν ἐ. β. ἵππον P 9 χρεμετιζόντων *om.* Φ συλλαμβανοῦσιν D 10 εἴ σοι] οἶσι P παρέστισο A σοφίας Q: *nescio an librarius* πάρεστί τι *scriptum esse putauerit* 11 αὔριον *post* σοι *conlocant* K Z v, *om.* D 12 δ' οὗ] δ' οὖν A, δ' *add.* A 2; δοῦ P δ' οὐ H αἴλουλον V 13 δημόσια V μαστιζ. περιαγ. Q 14 οἱ δ' Q τὸ] τῶ P σενόμενοι V a; σεβόμενοι (β *supra* ν) K σεβ., *sed* εβ *in rasura* Z; τιμώμενοι Φ 15 οὕτως Q πάσχων P 16 τῶν αἰλούρων P μαστιγέντων P 17 ἀναγγέλουσιν V D E H ὡςάχος P 18 $\overset{\kappa}{\text{οὐ}}$ D εἴδεις Q

φησίν „Αἴσωπε, ὡς θεὸς σεβόμενος παρ' ἡμῖν ἐστιν αἴλουρος; ἵνα τί γοῦν τοῦτο πεποίηκας;“ καὶ ὅς· „Λυκῆρον τὸν βασιλέα ἠδίκησεν, ὦ βασιλεῦ, τῆς παρελθούσης νυκτὸς οὗτος ὁ αἴλουρος· ἀλεκτρυόνα γὰρ αὐτοῦ πεφόνευκε μάχιμον καὶ γενναῖον, προσέτι μὴν καὶ τὰς ὥρας αὐτῷ τῆς νυκτὸς σημαίνοντα.“ καὶ ὁ βασιλεύς· „οὐκ αἰσχύνῃ ψευδόμενος, Αἴσωπε; πῶς γὰρ ἐν μιᾷ νυκτὶ αἴλουρος ἀπ' Αἰγύπτου ἦλθεν εἰς Βαβυλῶνα“; κἀκεῖνος μειδιάσας φησί· „καὶ πῶς, ὦ βασιλεῦ, ἐνΒαβυλῶνι τῶν ἵππων χρεμετιζόντων, αἱ ἐνθάδε θήλειαι ἵπποι συλλαμβάνουσιν;“ ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας, τὴν αὐτοῦ φρόνησιν ἐμακάρισε.

XXXI μετὰ δὲ ταῦτα μεταπεμψάμενος τῶν ἀφ' Ἡλίου πόλεως ἄνδρας ζητημάτων σοφιστικῶν ἐπιστήμονας, καὶ περὶ τοῦ Αἰσώπου διαλεχθεὶς αὐτοῖς, ἐκάλεσεν ἅμα τῷ Αἰσώπῳ ἐπ' εὐωχίαν. ἀνακλιθέντων οὖν αὐτῶν, τῶν Ἡλίου πολιτῶν τίς φησι πρὸς τὸν Αἴσω-

1 *θ. π. ἡ. ἐστὶ σεβόμενος αἴλ.* Φ *ἐστιν*] *ἐστὶν ὁ* Q
2 *ἱνατί* Q *ἵνα τὶ* D *ἵνα τὶ* K *ὅς factum ex ὡς* K
3 *βασιλεὺς* Z 4 *ἀλεκτρύονα* R 5 *προσετίθει μὴν* Φ. *προσέτι γε μὴν* K Z v *rectius.* 6 *τῆς νυκτὸς post σημαίνοντα* (*σημένον τὰ* P) *conlocat* Φ *σημαίνοντος* V 8 *αἴλουρος om.* Φ, *αἴλουρον* K 9 *φησὶν* R H E K Z v 10 *ἵππων ex ἵππον corr.* Z *χρεμμετιζόντων factum ex χρημμητ.* P *χρθμμετ.* A, *supra scripsit ε* A 2, *χρεμεντιζόντων* K *χρεματιζόντων* J *in marg.* (*ή*) D 11 *συλαβ.* (λμ *supra*) M *συλαβάνουσιν* (λμ *supra*) Q
12 *τὴν φρ. αὐτοῦ* F K Z v *ἐμακάρισεν* M Q Φ E 13 *μεταμεμψάμενος* Q, *πεμψάμενος* Φ *τῶν ἀφ' ἡ.* V: *ἀφ' ἡ. celeri ἡλιου πόλεως deleto qui in ι erat accentu* D *ἡλιουπόλεως* M Q E J 14 *σοφιστῶν* R *ἐπιστημόνας* D 16 *ἀνακλινθέντων* F J v, *in* K *l. ι supra lineam adiecta* (*..κλιθ..*), *ἀνακλιθέντων factum ex ἀνακλιθένθων in* Z.; *ἀνακληθέντων* P 17 *ἡλίου πολιτῶν* R, P (*sed coniunctis uocabulis*), A F K Z v: *ἡλιουπολιτῶν* V M Q H E J *ἡλιουπολιτων* D *cf.* Lobeck Pathol. elem. I, 565

που· „ἀπεστάλην παρὰ τοῦ θεοῦ μου πεῦσίν τινα πυθέσθαι σου, ὡς ἂν αὐτὴν ἐπιλύσῃς.“ καὶ ὁ Αἴσωπος· „ψεύδῃ· θεὸς γὰρ παρὰ ἀνθρώπου οὐδὲν δεῖται μαθεῖν. σὺ δ' οὐ μόνον σαυτοῦ κατηγορεῖς, p. 88 b. ἀλλὰ καὶ τοῦ θεοῦ σου.“ ἕτερος πάλιν εἶπεν· „ἔστι ναὸς μέγας καὶ ἐν αὐτῷ στῦλος, δώδεκα πόλεις ἔχων, ὧν ἑκάστη τριάκοντα δοκοῖς ἐστέγασται. τούτους δὲ περιίασι δύο γυναῖκες.“ καὶ ὁ Αἴσωπος ἔφη· „τοῦτο τὸ πρόβλημα καὶ οἱ παρ' ἡμῖν ἐπιλύσονται παῖδες· ναὸς μὲν γάρ ἐστιν οὗτος ὁ κόσμος, στῦλος δὲ ὁ ἐνιαυτός, αἱ δὲ πόλεις οἱ μῆνες, καὶ δοκοὶ αἱ τούτων ἡμέραι, ἡμέρα δὲ καὶ νὺξ αἱ δύο γυναῖκες, αἳ παραλλὰξ ἀλλήλας διαδέχονται.“ τῇ δὲ ἐφεξῆς ἡμέρᾳ XXXII συγκαλέσας τοὺς φίλους ἅπαντας ὁ Νεκτεναβώ φησι· „διὰ τὸν Αἴσωπον τοῦτον ὀφλήσομεν φόρους τῷ βασιλεῖ Λυκήρῳ.“ εἷς δέ τις αὐτῶν εἶπε· „κελεύσωμεν αὐτῷ προβλήματα φράσαι ἡμῖν, περὶ ὧν οὔτ' εἴδο-

2 ὡσὰν Q ὦ σὰν P (ὧς ἂν b 1534) ἐπιλύσησ (ης m. pr. *in locum erasi* ειν) Q, ἐπιλύσῃς b (διαλύσῃς W): ἐπιλύσῃ *ceteri libri* 3 Q *in margine:* Homericum dictum θεοὶ δέ τε πάντα ἴσασι 4 σύ δ' M 5 ἀλλὰ καὶ] ἀλλὰ Φ σοῦ Z πάλιν] δὲ πάλιν D 6 νάος Z στῦλος Q *ex corr.:* στύλος *ceteri* 7 ὧν P *(saepe)* a ἑκάστῃ a δοκεῖς P ἐστέργασθαι D ἐστέγασθαι Z ταύτας (ας *fecit ex* ους m. pr.) Q 8 ἔφη *om.* Φ 9 περίβλημα R E H 10 ἔστην P στῦλος Q: στύλος *ceteri* δ' ὁ M Q D Φ E K F v 11 αἱ δὲ πόλεις] πόλεις δὲ? πόλις P 12 αἱ δύο] δύο Q αἳ] αἱ Z, *pars edd.* αἳ P 13 παραλὰξ V παρὰξ (αλλ supra) Q δέχονται Z F v, διέρχονται K τῇδε Q τῇ δ' Z ἐφεξῆς V R E H K Z v: ἑξῆς M D Φ ἑξῆς Q 14 τοὺς] οὺς P νεκταβώ (εν supra) R φησὶν *l. ν deleta* E 16 λυκήτρω A λυκήώρ' K εἶπεν M, εἶπε *erasa l. ν* Q κελεύσομεν F K Z v 17 φρᾶσαι V H εἰ·δομεν D εἴδωμεν P, οἴδομεν F (*sed corr.* F 2) Z K a, *pars edd.* οἴδαμεν *ed.* 1534. 1547. Neuel.

μεν, οὔτ' ἠκούσαμεν". ἀρεστὸν οὖν τοῦτο τῷ Νεκτεναβῷ δόξαν, καλέσας τὸν Αἴσωπον ἔφη· „φράσον ἡμῖν, Αἴσωπε, πρόβλημα περὶ οὗ οὔτ' εἴδομεν οὔτ' ἠκούσαμεν." καὶ ὅς· „αὔριον περὶ τούτου ὑμῖν ἀποκρινοῦμαι". ἀπελθὼν οὖν καὶ συνταξάμενος γραμματεῖον, ἐν ᾧ περιείχετο Νεκτεναβὼ ὁμολογῶν χίλια τάλαντα τῷ Λυκήρῳ ὀφείλειν, πρωίας ἐπανελθὼν τῷ βασιλεῖ τὸ γραμματεῖον ἐπέδωκεν. οἱ δὲ τοῦ βασιλέως φίλοι πρὶν ἀνοιχθῆναι τὸ γραμματεῖον, πάντες ἔλεγον· „καὶ εἴδομεν τοῦτο καὶ ἠκούσαμεν, καὶ ἀληθῶς ἐπιστάμεθα." καὶ ὁ Αἴσωπος· „χάριν ὑμῖν οἶδα τῆς ἀποδόσεως ἕνεκεν". ὁ δὲ Νεκτεναβὼ τὴν ὁμολογίαν τῆς ὀφειλῆς ἀναγνοὺς, εἶπεν· „ἐμοῦ Λυκήρῳ μηδὲν ὀφείλοντος πάντες ὑμεῖς μαρτυρεῖτε;" κἀκεῖνοι μεταβαλόντες εἶπον· „οὔτ' εἴδομεν οὔτ' ἠκούσαμεν". καὶ ὁ Αἴσωπος· „καὶ εἰ ταῦθ' οὕτως ἔχει, λέλυται τὸ ζητούμενον". καὶ ὁ Νεκτεναβὼ πρὸς ταῦτα· „μακάριός ἐστι Λυκῆρος τοιαύτην σοφίαν ἐν τῇ βασιλείᾳ ἑαυτοῦ κεκτημένος". τοὺς οὖν συμφω-

1 οὔτ' εἰσακούσαμεν R οὔτ' ἠκ. Z (*sed* ἡ *factum ex* ει), ὄὗτειкού-μεν P οὔτ' ἀκούσαμεν A, οὔτ' εἰκούσαμεν H *uu.* ἀρεστὸν οὖν ... ἠκούσαμεν *propter eundem exitum* (περὶ οὗ ... ἠκούσαμεν) *exciderunt in librorum* V R E H F J K Z v *codice archetypo, seruati sunt in solis* M, A P, Q D *et in altera recensione* ἀρεστὸν M Q D: ἀρκετὸν A ἀρκετῶν P (ἀρεσθεὶς W) νεκτεναβὼ M 4 ἠκούσαμεν] η *in rasura* D περὶ] ἐπὶ b τούτων Q ἥμην P 6 περιεῖχετο K Z νεκτεν. *fecit ex* νεκταν. R m. pr. μεκτεν. (ν *suprascr.*) K ὁμολογῶ V ὁμολογῶν *in* A *add.* A 2 7 ὀφείλην P 8 τὸ γραμματεῖ V *in linea extrema*, γραμματεῖον *factum ex* ιον P ἐπέδωκεν *om.* R 9 γραμματόιον P 10 οἴδομεν P 12 ἀποδώσεως E H ἕνεκεν] εν *factum ex* α Q δὲ *om.* F 14 μὴ·δὲν H F μαρτυρείται P 15 μεταβαλλόντες P E μεταβάλλοντες A 19 εἰκούσαμεν R H καὶ ὁ αἴσωπος *om.* Q; *sed inter* καὶ *et* εἰ *in margine suppleuit* Q 2 ὁ αἴσωπος εἶπεν 17 καὶ ὁ Νεκτ. ... κεκτημένος (19) *om.* Φ πρὸς ταῦτα *om.* K 19 ἑαυτοῦ] αὐτοῦ R E

νηθέντας φόρους παραδοὺς τῷ Αἰσώπῳ, ἐν εἰρήνῃ p. 90 b.
ἀπέστειλεν. Αἴσωπος δ' εἰς Βαβυλῶνα παραγενόμενος, διεξῆλθέ τε Λυκήρῳ τὰ ἐν Αἰγύπτῳ πραχθέντα πάντα καὶ τοὺς φόρους ἀπέδωκε. Λυκῆρος δ' ἐκέλευσεν ἀνδριάντα χρυσοῦν τῷ Αἰσώπῳ ἀνατεθῆναι. μετὰ δ' οὐ πολὺν χρόνον Αἴσωπος εἰς Ἑλ- XXXIII
λάδα ἐβουλεύσατο πλεῦσαι. καὶ δὴ τῷ βασιλεῖ συνταξάμενος ἀπεδήμησεν, ὅρκον δοὺς αὐτῷ πρότερον, ἦ μὴν ἐπανήξειν εἰς Βαβυλῶνα κἀκεῖ τοῦ λοιποῦ διαβιώσειν. περιιὼν δὲ τὰς Ἑλληνίδας πόλεις καὶ τὴν ἑαυτοῦ σοφίαν ἐπιδεικνύμενος, ἦλθε καὶ εἰς Δελφούς. οἱ δὲ Δελφοὶ διαλεγομένου μὲν ἠκροῶντο ἡδέως, τιμῆς δὲ καὶ θεραπείας εἰς αὐτὸν οὐδ' ὁτιοῦν ἔδρασαν. ὃ δὲ πρὸς αὐτοὺς ὑπολαβὼν ἔφη· „ἄνδρες Δελφοί, ἔπεισί μοι ξύλῳ ὑμᾶς εἰκάζειν τῷ ἐν θαλάσσῃ φερομένῳ· κἀκεῖνο γὰρ ὁρῶντες ἐκ πολλοῦ διαστήματος ὑπὸ κυμάτων φερόμενον, πολλοῦ τινος ἄξιον εἶναι οἰόμεθα, ἐπειδὰν δ' ἐγγυτάτω προσέλθῃ, εὐτελέστατον φαίνεται. κἀγὼ γοῦν πόρ-

1 φόρους *post* αἰσώπω *conlocat* Φ 2 δὲ V D 3 διεξῆλθεν Q τε] τῷ Φ Q D τε *bis* H 4 ἀπέδωκεν M 5 δὲ κέλευσεν P ἀνατιθέναι K 6 μετὰ δὲ οὐ Z μετ' οὐ R ἐλάδα (λ *suprascr.*) Q λ *add.* Q 2 ἐλλάδα A 7 ἐβουλεύσαντο P 8 ὅρκον V R Q D E H ὅρκω A ὅρκω P αὐτῷ *fecit ex* αὐτὸν R m. pr. πρότ. *in* Q *correctum ex* πρωτ. 9 ἦ μὴν *om.* Φ 10 διαβιώη Q διαβιωην (σειν *suprascr.*) D (σειν *et puncta quibus deletur* ην D 2); διαβιώσασ A διαβιῶσην P; διαβιώσειν *factum ex* διαβιῶσαι Z περιὼν Q D Φ δὲ *in* A *add.* A 2 πόλις P *hic illic* 11 ἦλθεν R P ἦλθε *erasa l.* ν Q 12 μὲν *in* A *add.* A 2 13 οὐδ' ὁτιοῦν A οὐδ' ὁτιοῦν P οὐδὸ-τιοῦν *eraso qui in* ὸ *erat accentu* R οὐδοτιοῦν *celeri* 14 ἔδρασαν οὐδοτιοῦν F J K Z v ἔδρασεν P ὑπαλαβὼν R 15 Δελφοὶ] δέλφοι A ἀδελφοὶ R ἔπεισή P E H ἔπεισί Z εἰκάζειν ὑμᾶς Q 16 θαλάττῃ K Z v κἀκεῖνο] *post* ο *littera erasa* Q 18 ἐπειδὰν A 19 πόρρωθεν P

ρωθεν τῆς ὑμῶν πόλεως ὤν, ὥς τινας τῶν ἀξίων λόγου ὑμᾶς ἐθαύμαζον· νυνὶ δ' ἐλθὼν ὡς ὑμᾶς, πάντων ὡς εἰπεῖν ἀνθρώπων εὗρον ἀχρειοτέρους· οὕτω πεπλάνημαι." ταῦτα ἀκούσαντες οἱ Δελφοὶ καὶ δείσαντες μήπως Αἴσωπος καὶ πρὸς τὰς ἄλλας πόλεις βαδίζων κακῶς αὐτοὺς λέγῃ, βουλὴν ἐβουλεύσαντο δόλῳ τὸν ἄνθρωπον ἀνελεῖν. καὶ δῆτα χρυσῆν φιάλην ἐκ τοῦ παρ' αὐτοῖς ἱεροῦ τοῦ Ἀπόλλωνος ἀνελόμενοι, λάθρα τοῖς Αἰσώπου κατέκρυψαν στρώμασι. τοῦ δ' Αἰσώπου τὰ ὑπ' αὐτῶν ἀγνοοῦντος σκαιωρηθέντα, ἐξελθὼν ἐπορεύετο εἰς Φωκίδα. οἱ Δελφοὶ δ' ἐπιδραμόντες καὶ κατασχόντες αὐτόν, ἀνέ-
p. 92 b. κρινον ὡς ἱεροσυληκότα. τοῦ δ' ἀρνουμένου μηδὲν πεπραχέναι τοιοῦτον, ἐκεῖνοι πρὸς βίαν τὰ στρώματα ἀναπτύξαντες τὴν χρυσῆν εὗρον φιάλην. ἣν καὶ ἀναλαβόντες, τοῖς ἐν τῇ πόλει πᾶσιν ἐπεδείκνυσαν οὐ σὺν ὀλίγῳ θορύβῳ. ὁ μὲν οὖν Αἴσωπος τὴν ἐκείνων συννοήσας ἐπιβουλήν, ἐδεῖτο αὐτῶν ἀπολυ-

1 ἀξίων λόγου, *sed* λόγου *factum ex* λόγων D; ἀξιολόγων Q 2 νῦν A δὲ ἐλθὸν P ὑμὰς A ἱμὰς P 3 ἀχρειοτέρους] ο *corr. ex* ω D 4 ἀδελφοὶ P 5 δύσαντες P μή πως v 6 *ante* βαδίζων *in* R *deletum* βαδιζη^σ^ο λέγῃ, *sed* η *ex corr.* D E; λέγει Φ λεγεῖ^η^ K 7 δόλῳ *om.* Q, δόλον R H ἀνελὴν P χρυσὴν E H 9 λάθρα a ἐγκατέκρυψαν? ἐνέκρυψαν *pars librorum alterius recensionis* στρώματι A 10 ὑπὸ Z 11 εἰς V W: πρὸς *ceteri, sed in* H *ante* πρὸς *deletum* εἰς φωκίδδα P οἱ δὲ δελφοὶ ἐ. *erasa inter* οἱ *et* ε *l.* δ Q οἱ δὲ δελφοὶ δ' ἐ. Z 13 ἱεροσυλυκότα E H τοὖδ' a τοῦ δὲ Z ἀρνυμένου R μὴδὲ *accentus l.* ὲ *in rasura* Q, μιδὲν P μὴδὲν H 14 *inter* πεπραχ *et* ἑναι *erasa l.* θ Q τοιοῦτο F K Z v, τοιούτων P προςβίαν Q στρώμματα R 15 χρυσὴν A E H, *in* Q ἣν *corr. ex* ἦν. κεφαλὴν^ι^ K, κε *punctis deletum* 16 ἐπεδύκνυσαν P ἐπεδείκνυον R 18 συνοήσας V συν ο ήσας P αὐτῶν *om.* Φ, αὐτὸν Z

θῆναι. οἳ δ' οὐ μόνον οὐκ ἀπέλυσαν, ἀλλ' ὡς ἱεροσυλήσαντα καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλον, θάνατον αὐτοῦ καταψηφισάμενοι. Αἴσωπος δὲ μηδεμιᾷ μηχανῇ τῆς πονηρᾶς τῆσδε τύχης σωθῆναι δυνάμενος, ἑαυτὸν ἐπὶ τῆς εἱρκτῆς ἐθρήνει καθήμενος. τῶν συνήθων δέ τις αὐτῷ, Δημᾶς τοὔνομα, πρὸς αὐτὸν εἰσελθὼν καὶ ἰδὼν οὕτως ὀλοφυρόμενον, τὴν αἰτίαν τοῦ πάθους ἤρετο. καὶ ὃς ἔφη· „γυνή τις προσφάτως τὸν ἑαυτῆς ἄνδρα θάψασα, καθ' ἡμέραν ἀπιοῦσα πρὸς τὸ μνημεῖον ἐθρήνει. ἀροτριῶν δέ τις οὐ πόρρω τοῦ μνήματος, εἰς ἐπιθυμίαν ἧκε τῆς γυναικός. καὶ καταλιπὼν τοὺς βόας, ἦλθε καὶ αὐτὸς πρὸς τὸ μνῆμα καὶ καθίσας συνεθρήνει τῇ γυναικί. τῆς δὲ πυθομένης τί δήποτε καὶ αὐτὸς οὕτως ὀδύρεται, „ὅτι κἀγώ" φησίν „εὐπρεπῆ γυναῖκα κατώρυξα. καὶ ἐπειδὰν κλαύσω, τῆς λύπης κουφίζομαι." ἡ δέ· „κἀμοὶ τοῦτ' αὐτὸ προσγίνεται". κἀκεῖνος· „εἰ τοίνυν τοῖς αὐτοῖς περιπεπτώκαμεν πάθεσι, τί δήποτε ἀλλήλοις μὴ σύνιμεν; ἐγώ τε γὰρ φιλήσω σὲ ὡς ἐκείνην, κἀμὲ σὺ

1 οἵ δέ Z μόνων P ἀλλ'] ἀλλὰ καὶ Φ ὥς Z ἱεροσυλλήσαντα E H ἱεροσύλητα F 2 καὶ εἰς] εἰς Φ $\overset{\text{νε}}{\text{ἔβαλον}}$ A 3 μὴ δὲ μιᾶ Q D P H μηδὲ μιᾶ A 4 μιχανῇ E H τῆς δὲ R Z P (τὴς) τῆς δε pars edd. 5 εἵρκτης V εἱρκτῆς M P, in D ειρ́κτῆς corr. ex ειρ́κτῆς, εἱρκτὸς A 6 δήμας E δημὰς P δαμᾶς v ὄνομα in τοὖν. mutauit D 7 εἰσελθών] ἐλθὼν A ελθῶν P (ab initio folii) 8 uu. γυνή τις in Z bis scripta, semel deleta 9 φάψασα E? καθημ. M Q D 10 ἀροτριῶν] ῶν ex corr. A 11 ἧκε] ἤκε E H ἦλθε Φ 12 πρὸς in A add. A 2 13 πυθομένοις P 14 τί-δήποτε Z τί δή ποτε E H K v ubique τὶ δή ποτε R τίδήποτε a καγώ D H καγῶ P, ut saepe 15 φησι P εὐπρεπῆ a κατῶρυξαι P 16 $\overset{\text{ω}}{\text{κλαύσας}}$ D ω add. D 2 τῆς] τις P 17 τὴν αὐτὴν b 1530 18 πάθεσιν Q 19 $\overset{\text{ει}}{\text{σύνιμεν}}$ D ει D 2 σύνειμεν R E H F J K Z v ἐγὼ τε R K Z σε M Q E H D Z F J v ἐκείνων P κἀμέγε σὺ Q κἀμὲ σὺ D

πάλιν ὡς τὸν σαυτῆς ἄνδρα.“ ταῦτα ἔπεισε τὴν γυναῖκα, καὶ δὴ συνῆλθον. ἐν τούτῳ δὲ κλέπτης ἐλθὼν καὶ τοὺς βόας λύσας ἀπήλασεν. ὃ δ’ ἐπανελθὼν καὶ τοὺς βόας μὴ εὑρηκώς, κόπτεσθαί τε καὶ οἰμώζειν ἰσχυρῶς ἐνεστήσατο. ἐλθοῦσα δὲ καὶ ἡ
p. 94 b. γυνὴ καὶ ὀλοφυρόμενον εὑροῦσα, φησί· „πάλιν κλαίεις“; κἀκεῖνος „νῦν“ εἶπεν „ἐπ’ ἀληθείας κλαίω“. κἀγὼ γοῦν πολλοὺς διαδρὰς κινδύνους, νῦν τῷ ὄντι θρηνῶ, λύσιν τοῦ κακοῦ μηδαμόθεν εὑρίσκων.“ μετὰ ταῦτα παρῆσαν καὶ οἱ Δελφοὶ καὶ ἐκβαλόντες αὐτὸν τῆς εἱρκτῆς εἷλκον βιαίως ἐπὶ τοῦ κρημνοῦ. ὃ δὲ πρὸς αὐτοὺς ἔλεγεν· „ὅτε ἦν ὁμόφωνα τὰ ζῶα, μῦς βατράχῳ φιλιωθείς, εἰς δεῖπνον αὐτὸν ἐκάλεσε. καὶ ἀγαγὼν εἰς ταμιεῖον πλουσίου, ἔνθα πλεῖστα τῶν ἐδωδίμων ἦν, „εὐωχοῦ“ φησί „φίλε βάτραχε“. μετὰ δὲ τὴν ἑστίασιν καὶ ὁ βάτραχος τὸν μῦν ἐπὶ τὴν οἰκείαν ἐκάλεσε δίαιταν. „ἀλλ’ ἵνα μὴ ἀποκάμῃς“

1 σαυτοῖς V P, in A σαυτῆς corr. ex σαυτοῦ 2 ἐν τούτω .. ἐνεστήσατο (5) in A in margine suppleuit m. pr. 3 λύσας ... τοὺς βόας in margine suppl. Z ὅδεπ. P ὃ δὲ ἐ. A, Coraes Aesop. f. 343, 13 ὅδε ἐ. Z 4 βόας] βο P εὑρηκὼς accentus grauis factus e circumflexo R εὑρηκῶς P κόπτεσθαι] μὴ κόπτετε K, μὴ punctis deletum, in marg. σθαι 5 οἰμόζειν Z ἀνεστήσατο V δὲ R δε Z, om. D δὲ καὶ] καὶ om. Φ 6 ὁλοφ. R P 7 κλαίοις P 8 νῦν τωόντι A Q Z J v, νυντωόντι E F νυντωὄντι H 9 λύσειν R m. pr. λύσειν H λύσην P μηδαμόθεν] in η erasus accentus Q 10 μεταταῦτα M ἐκβάλοντες V 11 εἰρκτῆς Φ εἷλκον corr. ex ἡ. Q βεβαίως Q κριμνοῦ P 13 μὺς Z ἐκάλεσεν M Q Φ 14 ἀγαγὼν V: ἀπαγαγὼν ceteri et W ταμεῖον V m. pr. τὰ μιεῖον P ταμεῖον F Z b τῶν supra uersum Z 15 ἐδωδύμων V ἐδωδήμων P 16 ἑσθίασιν V K, in Q ἑστ. corr. ex ἑσθ., ἑστίασην P ἐστίασιν pars edd. μὺν A ante τὴν in Q erasum τὴν 17 οἰκίαν R Φ H, in Q l. ι mutata in ει ἐκάλεσεν Q διαῖταν P ἵνα om. Coraës Fab. Aes. 245 p. 162

φησί „νηχόμενος, μηρίνθῳ λεπτῇ τὸν σὸν πόδα τῷ ἐμαυτοῦ προσαρτήσω“. καὶ τοῦτο πράξας, ἥλατο εἰς τὴν λίμνην. αὐτοῦ δὲ καταδύντος εἰς βάθος, ὁ μῦς ἀπεπνίγετο, καὶ θνήσκων εἶπεν· „ἐγὼ μὲν ὑπὸ σοῦ θνήσκω· ἐκδικηθήσομαι δὲ ὑπὸ μείζονος.“ ἐπιπλέοντος τοίνυν τοῦ μυὸς ἐν τῇ λίμνῃ νεκροῦ, καταπτὰς ἀετός, τοῦτον ἀφήρπασε, σὺν αὐτῷ δὲ προσηρτημένον ὁμοῦ καὶ τὸν βάτραχον. καὶ οὕτως ἄμφω κατεθοινήσατο. κἀγὼ τοίνυν βίᾳ πρὸς ὑμῶν ἀποθνήσκων, ἕξω τὸν ἀμυνοῦντα. Βαβυλὼν γὰρ καὶ Ἑλλὰς πᾶσα τὸν ἐμὸν παρ' ὑμῶν ἀπαιτήσουσι θάνατον.“ οἱ μὲν οὖν Δελφοὶ οὐδ' ὣς ἐφείδοντο τοῦ Αἰσώπου. ὃ δ' ἐπὶ τὸ τοῦ Ἀπόλλωνος κατέφυγεν ἱερόν. οἳ δὲ κἀκεῖθεν ἀποσπάσαντες μετ' ὀργῆς, ἐπὶ τὸν κρημνὸν αὖθις εἷλκον. ὃ δ' ἀπαγόμενος ἔλεγεν· „ἀκούσατέ μου, Δελφοί· λαγωὸς ὑπ' ἀετοῦ διωκόμενος, πρὸς κοίτην κανθάρου κατέφυγε, δεόμενος ὑπ' αὐτοῦ σωθῆναι. ὁ δὲ κάνθαρος ἠξίου τὸν ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκέ- p. 96 b.

1 *φησὴν ἠχ.* P *λέπτῃ pars edd.* 2 *προσαρτύσω* Φ *προσαναρτήσω* Q *ἥλατο* A 3 *λύμνην* R H E *καταδύναντος* R E H F J K Z v 4 *ante ὑπὸ add. alterum εἶπεν* A *ὗπεν* P 5 *ἐκδικηθήσωμαι* Q *δ' ὑπὸ* Z *ἐπιπλέωντος* P 6 *τοίνυν*] *οὖν* F K Z v *ἐν om.* Coraës *λύμνῃ* R E H 7 *προσηρτ.*] *προ in rasura* D 8 *ὁμοῦ*] *αὐτῶ* Φ *τὸν*] *τῶν* P *κατιθοινήσατο* P 9 *ὑμᾶς* Φ *ἀποθνησκω* (ν supra) D *ν add.* D 2 10 *ἔξω sed ἐ. corr. ex ἑ.* Q *ἔξω* R P E H *τὸν ἀμυνόντα* K, *in margine τὸν ἀμυνοῦντα* *ἑλὰς* M E H *ἑλλὰς factum ex ἑλλᾶς* R 12 *οὐδ' ὧς* Q Z *οὐδ' ὥς* P *οὐ δ' ὡς* b *ὁ δὲ* Z 13 *ἀππόλλωνος* A 14 *τὸν*] *τινα* Φ *αὖθις om.* Φ; *an scribendum εὐθὺς?* 15 *εἷλκον factum ex εἱ. in* Q, *ex ἧ. in* E *δ' ex corr.* Z *ἐπαγόμενος* A 16 *αδελφοὶ* P 17 *κατέφυγε...καὶ ὑμεῖς* (303, 11) Z *eis quae in medio sunt praetermissis*; *τὰ λοιπὰ τούτου τοῦ μύθου ἐν δευτέρω φύλλω τῶν μύθων εὑρήσεισ. inde scripturam discrepantem adnoto* *κατὲφεγε* A *κατέφυγεν* M E *αὐτοῦ ut uidetur* Q 18 *ἀετὼν* P *τὸν ἀετὸν ἠξίου* E *τὸν οἰκέτην* V *αὐτοῦ τὸν ἱκέτην* E

την, ὀρκίζων αὐτὸν καὶ κατὰ τοῦ μεγίστου Διός, ἦ μὴν μὴ καταφρονῆσαι τῆς μικρότητος αὐτοῦ. ὃ δὲ μετ' ὀργῆς τῇ πτέρυγι ῥαπίσας τὸν κάνθαρον, τὸν λαγωὸν ἁρπάσας κατέφαγεν. ὁ δὲ κάνθαρος τῷ τε ἀετῷ συναπέπτη, ὡς τὴν καλιὰν τούτου καταμάθειν. καὶ δὴ προσελθών, τὰ ὠὰ τούτου κατακυλίσας διέφθειρε. τοῦ δὲ δεινὸν ποιησαμένου, εἴ τις τοῦτο τολμήσειε, κἀπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοττοποιησαμένου, κἀκεῖ πάλιν ὁ κάνθαρος τὰ ἴσα τοῦτον διέθηκεν. ὁ δ' ἀετὸς ἀμηχανήσας τοῖς ὅλοις, ἀναβὰς ἐπὶ τὸν Δία, τούτου γὰρ ἱερὸς εἶναι λέγεται, τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν τῶν ὠῶν ἐπέθηκε, τῷ θεῷ ταῦτα παραθέμενος, καὶ ἱκετεύσας φυλάττειν. ὁ κάνθαρος δὲ κόπρου σφαῖραν ποιήσας, καὶ ἀναβάς, ἐπὶ τοῦ κόλπου τοῦ Διὸς ταύτην καθῆκεν ὁ δὲ Ζεὺς ἀναστὰς ἐφ' ᾧ τὴν ὄνθον ἀποτινά-

1 *ὀρκίζων* V R Φ E H; *in* Q *ὀ. mutatum in ὁ.* *αὐτῶν* P *καὶ κατὰ*] *κατὰ* R Φ E D F J K Z v *δυὸς* P 2 *καταφρονήσειν?* *τὴς σμηκρότητος* P *τῆς μικρότητος corr. ex μακρ.* m. pr., *μικρ. in rasura* A *uu. τῇ πτέρυγι bis scripta, semel deleta in* Z 4 *ἀρπ. in* Q *mutatum in ἁρπ.* *τῷ τε*] *τε om.* Φ 6 *ὠὰ*] *α in* H *add.* m. rec. *τούτου ex τούτο corr.* Q *κατακυλίσας*] *κατακρημνίσας* A *κατὰ κριμνήσας* P *διέφθειρεν* M 8 *τολμήσειεν* V M E H, *εν mutatum in ε* P *κἀπὶ κἀπι* K *κἀπι cum uoc. μετ. coniunctum* R *μετεώροτέρου τ.* V *μετεωρότερον τόπου* R E J F, H (..*ότέρον*) *μετεωρότὲρον τόπον* K *μετεώρου τόπου* Q, *μετεωροτέρου τ. sed corr. ex μετεώρου* D *τοδεύτερον* F K Z v, *om.* P 9 *νεοττυποιησάμενον* A; *inter νεοττο et ποιησαμένου erasa l. ι* Q *ἶσα* R E H K Z v 10 *τούτω* Φ *τούτων* K *ὃ δὲ* Z 11 *εἶναι ἱερὸς* Q 12 *ἐπέθηκε scripsi: ἔθηκεν* Φ *ἔθηκε ceteri libri; quod debebat saltem esse ἐνέθηκε uel ἐνῆκε. ἔθηκεν αὐτὰ ἐπὶ τοῖς τοῦ διὸς γόνασιν* W 12. 13 *post ὠῶν et ταῦτα distinguunt* E H 14 *φιλάττειν* A *κόπρον* D *ποιησάμενος* Φ 15 *ἀναβὰς ἐπὶ τὸν κόλπον τ. δ.,* Q *κατέθηκεν* Φ 16 *ἐφῶ* M Q D Φ R H J F K Z a *ἐφῷ* b 1530 *ὄνθον corr. ex ὄρθ.* R *ἀποτεινάξασθαι* R E H F Z v; *ἀποτιν. eraso qui in o ut saepe positus erat accentu graui* Q

ξασθαι, καὶ τὰ ὠὰ διέρριψεν ἐκλαθόμενος· ἃ καὶ συνετρίβη πεσόντα. μαθὼν δὲ πρὸς τοῦ κανθάρου, ὅτι ταῦτ' ἔδρασε τὸν ἀετὸν ἀμυνόμενος, οὐ γὰρ δὴ τὸν κάνθαρον ἐκεῖνος μόνον ἠδίκησεν, ἀλλὰ καὶ τὸν Δία αὐτὸν ἠσέβησε, πρὸς τὸν ἀετὸν εἶπεν ἐλθόντα, κάνθαρον εἶναι τὸν λυποῦντα, καὶ δὴ καὶ δικαίως λυπεῖν. μὴ βουλόμενος οὖν τὸ γένος τὸ τῶν ἀετῶν σπανισθῆναι, συνεβούλευε τῷ κανθάρῳ διαλλαγὰς πρὸς τὸν ἀετὸν θέσθαι· τοῦ δὲ μὴ πειθομένου, ἐκεῖνος εἰς καιρὸν ἕτερον τὸν τῶν ἀετῶν μετέθηκε τοκετόν, ἡνίκα ἂν μὴ φαίνωνται κάνθαροι. καὶ ὑμεῖς οὖν, ὦ ἄνδρες Δελφοί, μὴ ἀτιμάσητε τοῦτον δὴ τὸν θεόν, εἰς ὃν κατέφυγον, εἰ καὶ μικροῦ τετύχηκεν ἱεροῦ. οὐδὲ γὰρ ἀσεβηθεὶς περιόψεται.“ οἱ δὲ Δελφοὶ τούτων ὀλίγα φροντίζοντες, τὴν ἐπὶ τὸν θάνατον ὁμοίως ἦγον. Αἴσωπος δὲ μηδενὶ τῶν ὑπ' αὐτοῦ p. 98 b.
λεγομένων ὁρῶν καμπτομένους, πάλιν φησίν· „ἄνδρες ἀνήμεροι καὶ φονῶντες, ἀκούσατε· γεωργός τις ἐπ' ἀγροῦ γεγηρακώς, ἐπεὶ μηδέποτε εἰσῆλθεν εἰς ἄστυ, παρεκάλει τοὺς οἰκείους τοῦτο θεάσασθαι. οἳ

1 ἃ καὶ] καὶ *om.* D 2 μαθὸν P 3 ταῦτ' ἔδρασεν (τάὐτέδρ. P) ὁ τὸν ἀ. Φ 3. 5 τὸν ἀέτῶν P 4 ἐκεὶνος *om.* Φ, *in marg. suppl.* E ἠδίκησεν] *l.* ι *ex* ή *facta in* Z τὸν] εἰς τὸν F K Z v 5 δίαν Q αὐτὸν *om.* Φ D ἠσέβησεν M 6 λυποῦντα] ἀδικοῦντα Φ καὶ δὴ (*corr. ex* δὲ Z) καὶ] καὶ δὴ b 7 οὖν *om.* Φ τὸ τῶν] τῶν Q D ἀετὸν *in marg. suppleuit* E; πρὸς τὸν ἀετὸν *om.* Φ 9 μὴ πειθ.] μὴ *om.* P a 10 τὸ κέτον P 11 φαίνονται P E H ἡμεὶς *pars edd.* 12 οὖν *om.* E H ὦ *om.* Q ἀτιμάσειτε P τοῦτον δὴ *om.* Φ 13 εἶκαι μηκροῦ P 14 οὐ δὲ γὰρ b οὐ γὰρ Q ἀσεβὴς R E H ἀσεβεῖς F J K Z v 15 φροντίσαντες, *in margine* φροντίζοντες V 16 ὁμοίως] ὅμως? μηδενὶ] *in* η *erasus accentus grauis* Q. μὴδενὶ H 18 φονῶκτες P φωνῶντες H 19 ὑπ' ἀγροῦ Φ K μὴ δέ ποτε R H μεδέποτε a εἰσε̃λθεν Q εἰς *om.* Q 20 οἰκίους Φ τοῦτο *om.* Φ

δὲ ζεύξαντες ὀνάρια καὶ ἐπὶ τῆς ἀπήνης αὐτὸν ἀναβιβασάμενοι, μόνον ἐκέλευσαν ἐλαύνειν. ὁδεύοντι δὲ χειμῶνος καὶ θυέλλης τὸν ἀέρα καταλαβόντων καὶ ζόφου γενομένου, τὰ ὀνάρια τῆς ὁδοῦ πλανηθέντα, εἴς τινα κρημνὸν ἐξετόπισαν τὸν πρεσβύτην. ὃ δὲ μέλλων ἤδη κατακρημνίζεσθαι, 'ὦ Ζεῦ' εἶπε, 'τί ποτέ σε ἠδίκησα, ὅτι οὕτω παρὰ λόγον ἀπόλλυμαι, καὶ ταῦτα οὔθ' ὑφ' ἵππων γενναίων οὔθ' ἡμιόνων ἀγαθῶν, ἀλλ' ὀναρίων εὐτελεστάτων;' κἀγὼ τοίνυν ἐπὶ τοῖς ἴσοις νῦν δυσχεραίνω, ὅτι μὴ ὑπ' ἐντίμων ἀνδρῶν ἢ ἐλλογίμων, ἀλλ' ὑπ' ἀχρείων καὶ κακίστων ἀπόλλυμαι.“ μέλλων δὲ ἤδη κατὰ τοῦ κρημνοῦ ἀφίεσθαι, τοιοῦτον εἴρηκε πάλιν μῦθον· „ἀνήρ τις τῆς οἰκείας ἐρασθεὶς θυγατρός, εἰς ἀγρὸν ἀπέστειλε τὴν γυναῖκα, μόνην δὲ τὴν θυγατέρα ἀπολαβὼν ἐβιάζετο. ἣ δὲ 'πάτερ', εἶπεν, 'ἀνόσια πράττεις· ηὐχόμην μέντοι ὑπὸ πολλῶν ἀνδρῶν αἰσχυνθῆναι, ἢ ὑπὸ σοῦ τοῦ γεννησαμένου.' τοῦτο τοίνυν καὶ

1 ζ.τὰ ὀνάρια Φ   2 ὀδέβοντι P, ευ *ex corr. in* Z; ὀδεύοντι H E   6 κατὰκριμνήζεσθαι P   ζεῦ *erasa l.* σ A   εἶπεν M D P   7 παραλόγον D, Q *eraso qui in* α *erat accentu graui. eisdem uerbis quibus incipit codicis* P f. 25 *incipit inter fabulas Aesopeas denuo* f. 31 (*quaternionis* ε) = P II ἀπολλυ | μαι μέλλων δ' ἤδη (μέλλον δήδη P I) κατὰ κρημνίζεσθαι (κριμν. P II) εἶπεν (εἴπεν P I) ἀδίκως φθείρομαι· καὶ ταῦθ' οὔθυφ' (*sic uterque*) ἵππων γενομένων οὔθ' ἡμιόνων ἀγαθῶν (ἀγαθὸν P I) κ. τ. λ. P   καὶ ταῦτα..εὐτελεστάτων 9 *om.* A   9 ὀναρίων F   11 ἢ] καὶ P I. II   ἐλογίμων P I   12 μέλλον P II   δ' Φ   τοῦ *om.* Q   13 εἴρικε Q, εἰ' *in rasura* Q 2   μύθον V   14 τῆς *in marg. supplet* F   οἰκίας P I Z   θυγατρὸς ἐρασθεὶς Φ (ἐρ^α^σθεὶς A, α A 2   15 μόνων P I   τὶν P II   θυγατέραν Q   16 πατρὸς A πρ̄ς P II τρεῖς P I (*itaque* πρ̄ς *i. e.* πατρὸς Φ)   ἀνοσία P I. II, ἀνώσια *mutatum in* ἀνόσια K   17 ηὐχομένην (*litterae* εν *punctis deletae*) A   εὐχόμην F K Z v   μέντοι Z, (ἑ *mutauit in* ὲ *et* οι *in rasura adiecit* Z 2); μὲν (*om.* ρ-τοι) Q   18 γεννησαμένου με. V, γενεσαμένου P I   τοῦ-

ἐφ' ὑμῶν, ὦ παράνομοι Δελφοί, λέγω· ὡς ᾑρούμην Σκύλλῃ καὶ Χαρύβδει περιπεσεῖν καὶ ταῖς ἐν Ἀφρικῇ Σύρτεσιν, ἢ παρ' ὑμῶν ἀδίκως καὶ ἀναξίως ἀποθανεῖν. καταρῶμαι γοῦν ὑμῶν τῇ πατρίδι, καὶ θεοὺς μαρτύρομαι, ὡς ἔξω πάσης δίκης ἀπόλλυμαι, οἵ μοι τιμωρήσουσιν εἰσακούσαντες." ἔρριψαν μὲν οὖν αὐτὸν οἱ Δελφοὶ κατὰ τοῦ κρημνοῦ, καὶ ἀπέθανεν. οὐ πολλῷ δ' ὕστερον λοιμῷ συσχεθέντες, p. 100 b.
χρησμὸν ἔλαβον ἐξιλάσκεσθαι τὸν Αἰσώπου θάνατον. ᾧ καὶ ὡς συνειδότες [ἑαυτοῖς] ἀδίκως φονευθέντι, καὶ στήλην ἀνέστησαν. οἱ δ' ἐν τῇ Ἑλλάδι πρωτεύοντες καὶ ὅσοι τῶν σοφωτέρων, καὶ αὐτοὶ τὰ εἰς Αἴσωπον πεπραγμένα μαθόντες, εἴς τε Δελφοὺς παρεγένοντο καὶ σὺν ἐκείνοις σκεψάμενοι, τιμωροὶ καὶ αὐτοὶ τῷ Αἰσώπου θανάτῳ γεγόνασιν.

τον Q τούτο P I. II 1 ὑμᾶς Q D ἡμῶν P II ᾑρούμην D R E H 2 χαρίβδει Φ χάρυβδι J K, Z (ι *corr. ex* ει), v χαρύβδι F, *corr. ex* χάρ. περιπεσὴν P I ταῖς] τοὶς Φ ἐναφρικῇ A 3 σύτερσιν a σύρτεσην P I ἢ παρ'] ὑπαρ' P I 4 καταρ(ρ)ῶμαι Q ρ *add.* Q 2 *in rasura* πατρίδη H P II, Z (*sed l.* η *mutata in* ι) 5 θεοὺς] θεοῖς K Z v 6 οἵ μοι] οἶμοι D F J οἴμοι R, Q (*sed correxit* Q 2); οἶμοι E H οἵ με A οἴμε P I. II (*itaque* οἴμε Φ) τιμωρήσουσι A, τιμ. *corr. ex* τυμ. H μενοὖν Z 7 ἀπέθανε D 8 δύστερον P I συσχεθένθες a 9 ἐξιλάσ(κ)εσθαι A, κ *add.* A 2 αἴσωπον A αἰσόπου P I 10 ὡς *om.* Φ ἑαυτοῖς *om.* V: *habent ceteri* 11 ἀνεστήσαν Z ἑλλάδι D προτευόντες R E H προτεύωντες Z (*in* Q ..οντες, *sed* ο Q 2 *in ras.*) πρωτεύον·τες P II 12 σοφοτέρων Φ R E H τὰ] τὰς K 14 παραγένοντο Φ (*l.* ο *finalis ex corr.* A) 15 θανάτου D τέλος τοῦ βίου τοῦ αἰσώπου Q τέλος βίου αἰσώπου τοῦ μυθοποιοῦ. τέλος. R. τέλος τῷ θεῷ τῷ ἁγίῳ χάρις Τέλος τοῦ βίου αἰσώπου τοῦ μυθοποιοῦ. K. τέλος τοῦ αἰσώπου βίου ὑπὸ Μαξίμου τοῦ Πλανούδου συγγραφέντος b. *subscriptione carent* M A P I. II D E H F J Z a

---

Vitae Aesopi

II

Vita Aesopi quae in editionibus fertur ab Aphthonio conscripta.

Αἴσωπος ὁ λογοποιὸς Λυδὸς μὲν ἦν τὸ γένος, τύχῃ δὲ ἐδούλευεν ἐν Ἀθήναις Ζημάρχῳ τῷ ἐπικαλουμένῳ Κερασίᾳ. σφόδρα δὲ εὐγενὴς γενόμενος τοῖς τρόποις καὶ φιλοδεσπότης θεράπων, τῆς μουσικῆς ἐπιπνεούσης αὐτοῦ τῇ γλώττῃ, ποικίλοις τοὺς Ἕλληνας εἱστιᾶτο μύθοις. μάλιστα οὐκ ἀνεπιτηδείους πρὸς βιωτικὴν παιδείαν καὶ νέων ἀγωγήν, νουθετικοὺς δὲ καὶ ὠφελιμωτάτους λόγους συνταξάμενος, προσενήνοχεν εἰς τὸν βίον, προπλέξας ἀλόγων ζῴων κοινωνίαν, ἐν οἷς ἀνθρώπων σκολιὰ ἔργα καὶ ἤθη ἀθέμιτα καὶ τρόπους παμποικίλους προσει-

. A: Ambr. L. 43 sup. L: Laur. Abbat. 2728. V: Vindob. philos. 178 f. 311.

5 † *Αἰσώπου μῦθοι κατὰ στοιχεῖον ἀπὸ τοῦ α̅ μέχρι τοῦ ω̅ add.* L, *αἰσώπου τοῦ λογοποιοῦ μῦθοι κατὰ στοιχεῖον* V *αἴσ . . . ἐδ.* L *bis* | *μυθοποιὸς et τ. δὲ δοῦλος* L *priore oco* | *τὸ γένος,* (A: *τῷ γένει* V v) *ἐδούλευε δὲ ἐν ἀθήναις ζημάρχῳ τῷ ἐπικαλουμένῳ κερασίᾳ* (A: *καρασίᾳ* V v) A V v: *τύχῃ δὲ ἐδούλευσεν Ἀθηναίῳ τιμάρχῳ τῷ καλουμένῳ κουρσίᾳ* L. *quae mutaui. Demarcho* Hadamarius   8 *τοῖς τρόποις om.* L   10 *εἱστιᾶτο*] *ἠτιᾶτο* L. *εἱστία τοῖς?*   *μῦθοις* V   *μ., μ. uolgo. δ' οὐκ? ἀνεπιτηδείοις* A V *ἂν ἐπιτηδείους* v   12 *ὠφελιμωτάτους λόγους* A V v: *ὠφελίμους* L 13 *προπλέξας scripsi: προσπλέξας* L A V v   10 *ἐν om.* V *15 ἀθέμιτα*] *αὐθαίρετα* A V v

κάσας ἐν τοῖς ἐπιμυθίοις ἐδήλωσε. κατὰ δὲ τὸν τῆς παιδείας νόμον τυχὼν φύσεως ἀρίστης, ἠξιώθη βιβλιοθήκης· ὅθεν τοῖς πολιτευομένοις καὶ τοῖς λέγειν προαιρουμένοις εἰς τὰς περὶ τοὺς ἀγῶνας φιλοτιμίας εὐπορία λόγων αὔξεται. εἰσὶν οἳ μὲν οὖν ἐκ τῶν τραγῳδιῶν τὰ κεφάλαια συναγαγόντες εἰς τὸ μέσον αὐτοῖς τεθείκασιν, ἡγούμενοι δεῖν ταῖς τῶν ἰδίων ἐπιστήμαις τὰς τῶν ποιητῶν γνωμολογίας μάρτυρας παρέξειν καὶ τοὺς τρόπους αὐτῶν θέσθαι πιστοτέρους διὰ τοῦτο. ἄλλοι τινὲς τῶν εἰς τὸν βίον καλῶς εἰρημένων συνενηνόχασι πολὺ πλῆθος ἀποφθεγμάτων, νομίζοντες ἡμᾶς τοὺς τούτων ἐπιμιμνησκομένους μεγάλα πλεονεκτήσειν ἐν τοῖς λόγοις. ἐπικεχειρήκασι δέ τινες τὰς ἐκ τῶν λόγων ἐναντιώσεις καὶ γνώμας ὁμοίως παραβολαῖς συνάπτοντες καθ' ἕκαστον εἶδος παραδοῦναι τοῖς πολιτευομένοις, ὅπως ἐξ ἐκείνου πολλὰς ἔχωσιν ἐπὶ τῶν ἀγώνων χρείας καὶ κατισχύειν διὰ τούτων δύνωνται τοὺς ἀντιλέγοντας. τοῦτον οὖν τὸν τρόπον Αἴσωπος εὗρεν, ὁρῶν χρήσιμον οὖσαν δούλοις καὶ ἐλευθέροις ἐν ταῖς δημηγορίαις τὴν τῶν μύθων δήλωσιν τοῖς

1 μυθ V 2 *in ras.* ἐδήλωσεν A δὲ *om.* L τῆς *om.* A V v 2. 3 *haec obscura sunt. num i. e. a.* ἀντάξιός ἐστι? 5 εἰσὶν οἳ *scripsi:* ὅσοι L A V v 7 δεῖν] δεινὸν L 8 ἐπιστήμαις τὰς Westermann: ἐπιστήμαις εἰς το L, ἀπιστεῖν εἰς τὰς A V, ἀσπιστεῖν εἰς τὰς v 9 μαρτυρίας A V v παρέχειν? 10 διὰ τοῦτο *cum eis quae insequuntur iungunt* A V: *sed tum scriptum oportuit* τὸ αὐτὸ *post* τινὲς *propter siglam facile poterat excidere* δὲ 11 καλῶν L συνενηνόχασιν V 12 ἡμᾶς] πάντως? ἐπιμνησκομένους V 13 μεγάλας πλεονεκτήσεις L ἐν *noli delere* 15 παραβολαῖς] προβολὰς A V v 17 ἐκείνων A ἔχωσιν] *om.* A, ...σιν V 18 χρείας *scripsi:* ἄγειν L A V v δύνανται C 20 εὗρεν αἴσωπος A V v ὅρον C χρησίμην A V v

20*

προόσθεν εἰρημένοις· τῶν γὰρ λεόντων καὶ τῶν λύκων καὶ τῶν ἐλάφων καὶ τῶν ἄλλων θηρίων τὸ ἐπιβάλλον καὶ θαυμασιότητος μετέχον ἐξ αὐτῶν πρὸ ὀφθαλμῶν τιθέμενος ψυχαγωγεῖν εἴωθε τοὺς ἀκούοντας. εὑρίσκομεν γὰρ παραπλησίας αὐτοῦ τὰς διηγήσεις ἐν ταῖς ἀπὸ τῶν ποιημάτων γνωμολογίαις, περιπεφρασμένας μὲν καὶ προσομοιούσας ταύταις καὶ προκεχειρισμένας ὑπ' αὐτῶν, ἔτι καὶ τῶν κεφαλαίων παράλληλα θέντες ἐπ' αὐτῆς τῆς ἀληθείας τὰ ἐν ἑκάστῳ μύθῳ λεγόμενα.

1 *τοῖς* 'für'.. *τῶν γὰρ*] *τὴν γὰρ τῶν* A V v, *καὶ γὰρ τῶν* Hadamarius *καὶ τῶν λύκων om.* L *καὶ λύκων καὶ ἐλάφων* V v 3 *μέτοχον* A 4 *εἰώθει* A V v 5 *παραπλησίως recensio* 3, 310, 5 *rectius* *αὐτοῦ τὰς om.* A V v 6 *ἀπὸ scripsi: ὑπὸ* L A V v 7 *πεφρασμένας* A V v *καὶ προσομοιούσας ταύταις om.* A V v *προσομοίους οὔσας uel προσομοιαζούσας coniecit* Westermann 8 *προσκεχειρισμένας* L *προσκεχρημένας* A V v. *an καὶ πρὸς* (dazu) *κεχωρισμένας ἀπ' αὐτῶν?* *ἔτι*] *ἐπεὶ* A V v 9 *qui haec scripsit, uidetur θέντες aptasse uerbo εὑρίσκομεν et τῶν κ. u. λεγόμενα, ut sint τὰ λ. τῶν κ. i. q. τὰ λ. κεφάλαια. an scr. ἐπὶ κεφαλαίων uel ἐν κεφαλαίῳ i. e.* summatim?

III

Βιβλίον μυθικὸν τοῦ Αἰσώπου, εἰκονίζον ἀπὸ τῶν ἀλόγων ζώων πρὸς τὰς τῆς ἀνθρωπίνης φύσεως πράξεις.

Αἴσωπος ὁ μυθοποιὸς Φρὺξ μὲν ἦν τὸ γένος, τῇ τύχῃ δὲ δοῦλος, μέλας ὑπάρχων καὶ κακοειδὴς εἰς ὑπερβολὴν σφόδρα. τὰ δὲ περὶ αὐτοῦ σαφῶς εἰς τὸ τέλος εὑρήσεις τοῦ βιβλίου. οὗτος ὑπὸ ἀγαθοποιίας εὐπορήσας, ἐχαρίσατο αὐτῷ ἡ τύχη λόγον σοφίας, καὶ γέγονε τῷ νοΐ ἐπιτήδειος. ποικίλους γὰρ μύθους πρὸς συνοπτικὴν παιδείαν καὶ νουθεσίαν ὠφελίμους καὶ νουθετικοὺς συνταξάμενος, εἰσενήνοχεν εἰς τὸν βίον, προπλέξας ἀλόγων ζώων κοινωνίαν ἀνθρώποις, ἤθη ἀθέμιτα καὶ ἔργα καὶ τρόπους ποικίλους προσεικάσας, ἐν τοῖς μύθοις ἐδήλωσεν,

M: Monac. 551. B: Laur. 57, 30. U: Lugd. Vulcan. 93.

2. 3. 4 *om.* B U 2 *εἰκονίζων* M 5 *ἔσωπος* M *Φρὺξ* B, U 2: *Φρὶξ* M, U 1 6 *καὶ om.* B U 7 *τὰ δὲ..βιβλίου om.* B U 8 *ὑπὸ om.* B U *ἀγ. εὐπ.*] *ἀγαθοποιήσας* B *ἀγαθοποιίας* U 9 *σοφίαν* B *ἐχαρήσατο* M *ἐπιστᾶσα* (*..ά..* B) *αὐτῷ ἡ τύχη ἐχαρ. αὐτῷ λ. σ.* U B *τῶνοΐ* M *τῷ νωΐ* U *τὸν οΐ* B *ἐπιτήδιος* M U B *ποικίλοις γὰρ μύθοις* U 11 *παιδίαν* B 12 *ὠφελήμους* M *σὺντ.* U 13 *προσπλέξας* U B 14 *ἀνθρώποις, ἤθη ἀθεμιτα καὶ ἔργα scripsi: ἐν ἀνθρώποις ἔργα καὶ ἤθη ἀθέατα·* U B *ἤθεσί τε καὶ ἔργα·* M *ceteris praetermissis* 15 *προσηκάσας* B U *ἐπιμυθίοις* 307, 1 *ἐδήλωσε* M, U 1

ὅθεν τοῖς πολιτευομένοις εἰς τὰς περὶ τοὺς ἀγῶνας φιλοτιμίας εὐπορία λόγων αὔξεται· τῶν γὰρ λεόντων καὶ τῶν ἐλάφων καὶ τῶν ἄλλων θηρίων τῆς θαυμασιότητος πρὸ ὀφθαλμῶν τιθεμένης, ψυχαγωγεῖν οἶδε τοὺς ἀκούοντας. εὑρίσκομεν δὲ παραπλησίως αὐτοῦ τὰς διηγήσεις ἐν ταῖς τῶν ποιημάτων γνωμολογίαις περιπεφρασμένας καὶ προσομοιοῦν ταύτας· ἔτι καὶ θέας τὰ ἐν ἑκάστῳ μύθῳ λεγόμενα, ἅπερ εἰσὶ ταῦτα.

2 εὐπορεία U B λεώντων U B 4 θαυμασιώτητος M τιθεμένης *scripsi:* τιθέμενος M U B 5 οἶδε *i. e.* solet *scripsi:* οἷα M U B δὲ *om.* U B 7 γνωμολογίαις *scripsi:* γλωττομολογίας M U ἑτοιμολογίας B περιπεφρασμένας *scripsi ex altera rec.:* περιπεφραγμένας M U B προσομοιούσας (..οἷους οὔσας) ταύταις? *cf.* 308, 7. ταῦτας M 8 θέας M θείας U B: θέασαι *malim quam* θέας ἄξια. *cf.* 308, 9 μυθολεγόμενα U B 9 ἅπερ M